fames. Initiū dolorū hi. Vide
te aūt vosmetipsos. Tradent
em̄ vos in cōcilijs: ⁊ in synago
gis vapulabitis: ⁊ ante p̄sides
⁊ reges stabitis ꝓpter me· ī te-
stimoniū illis. Et in oēs gētes
p̄mū oportet p̄dicari euāgeliū
Et cū duxerint vos tradentes
nolite p̄cogitare q̄d loq̄mini:
sed q̄d fuerit datū vobis in il-
la hora· id loq̄mini. Nō enim
estis vos loquētes· sed spūssā-
ctus. Tradet em̄ frat̄ fratrē in
mortē ⁊ pr̄ filiū: ⁊ ꝯsurgēt filij
in parētes: ⁊ morte eos afficiēt
Et eritis odio omnibus hoībus·

riā: ⁊ tūc missa matutinalis fi
at de vigilia cū Gloria ī excelsis.
Sic etiā fiat si festum cadit in
scd̄am feriam. In vigilia scti
Andree Introi.

Dominus secus ma
re galylee vidit du-
os frēs petrū ⁊ an-
dreā: ⁊ vocauit eos: venite post me:
faciā vos fieri piscatores hoīm. Ps̄
Celi enarrāt gl̄iā dei: ⁊ opa manuū
eius annūciat firmamentū. Gloria
in excelsis. nō dicit̄. Coll̄.

Obesumus op̄s deꝰ: vt be
atus andreas apl̄s tuū ꝓ no-
bis imploret auxiliū: vt a no-

demosthenes, dr orties descripsisse Thucydiden, ut sibi autorem eloquentiam quam familiarissimum faceret. 1 Tom. decl. 4. pag. 426 in fine.

Antonius apud Cic. de Or. lib. 2. fol. 351: Thucydides, omnes dicendi artificio mea sententia facile vincit, qui ita creber est rerum frequentia ut verborum prope numerum, sententiarum numero consequatur: ita porro verbis aptus et pressus, ut nescias utrum res oratione, an verba sententijs illustrentur etc.

Phil. in L. C. 176: Bellum Pelop. ex levissimis caussis ortum est, caeso quodam luco qui ritibus Ethnicis habebatur pro consecrato, et quod Pericles incanduerat convitijs offensus quae erant dicta in Aspasiam.

In secundū librū Thucydidis.

Continet hic liber primā calamitosiss. belli σύρροσξιν, quo concidit robur et potentia graeciae. Postq̄ enim primo libro, caussas, occasiones, et consilia exposuit, nunc ad cōmemorationem rerū gestarū accedit. Multi illustres loci sunt in hoc libro. Sicut est descriptio pestis et prodigiorū quae praecesserūt, pōpa sepulturae caesorū in bello, oratio funebris Periclis, et aliae insignes orationes. Deniq totus hic liber dignissimus est qui propter sūmam sapiētiam, doctrinā et uenustatem à studiosis diligenter euoluat^r et exacte cognoscatur: sicut res ipsa et quotidiana tractatio ostendet. Ex IIII Cal. Sept.

D. Vitus Ortel Winschemius Senior

THVCYDIDIS

DE BELLO PE-

LOPONNESIACO, PARS

PRIOR, LIBROS QVATVOR CONTINENS,

ad vsum iuuentutis, quæ studiosa est

Græcæ Linguæ, separatim ex-

cusa, &

A VITO VVINSEMIO

emendata.



No 1.

VITEBERGÆ

EXCVDEBAT LAVRENTIVS

SCHVENCK.

ANNO M. D. LXII.

14111

CLARISSIMO VIRO,

DOCTRINA, VIRTVTE, ET

FIDE PRÆSTANTI, DOMINO PAVLO Prætorio, Illustrissimi & Reuerendissimi Principis ac Domini, D. SIGISMVNDI Archiepiscopi Magdeburgensis Germaniæ Primatis &c. Consiliario, Domino suo & Patrono colendo, Vitus Vuinsemius,

S. P. D.



*ERODOTVM RE*citantem in Olympijs Historiam à se scriptam, cùm Thucydides adolescens adhuc audiret, quasi Enthusiasmo quodam correptus, illacrimasse dicitur: Quod cùm Herodotus animaduerteret, conuersus ad Olorum patrem ipsius, forte in Theatro propè assidentem, felicem te patrem iudico, inquit, Olore, filius enim tuus quasi furore incitatum ad doctrinæ studia animum habet. Non fefellit uirum doctum & sapientem hoc de adolescente iudicium, iam tunc prouidentem, in quantum uirum, si uiueret, euasurus esset. Nam & Galenus talem in eo, qui doctrinæ studia sectatur, impetum atq; ardorem requirit, ubi in tertio libro de naturalibus uiribus sic inquit: Επειδὰν γένηται μειράκιον, ἀληθείας τινὰ ἐρωτικὴν μανίαν, ὥσπερ ἐνθουσιῶντα, καὶ μήθ' ἡμέρας, μήτε νυκτὸς διαλείπειν εὑρίσκον-

τα ἐν συντεταμένον ἐκμαθεῖν, ὅσα τοῖς ἐνδοξοτάτοις εἴρη-
ται τῶν παλαιῶν, Επειδὰν δ' ἐκμάθοι, κρίνειν αὐτὰ καὶ
βασανίζειν χρόνῳ παμπόλλῳ, καὶ σκοπεῖν, πόσα μὲν
ὁμολογεῖ τοῖς ἐναργῶς φαινομένοις, πόσα δὲ διαφέρεται,
καὶ οὕτως τὰ μὲν αἱρεῖσθαι, τάδ' ἀποστρέφεσθαι, Id est,
qui doctrina cæteris præstare uult, eum statim
ab adolescentia ueritatis inuestigandæ furenti
amore incensum esse oportet, & quasi diuino
numine afflatum, ita ut neq; dies nec noctes in-
termittat, quin properet & summis uiribus con-
tendat cognoscere, quidquid ā celebratissimis
ueterum memoriæ proditum est, ubi uerò ea
didicerit dijudicare, & considerare quę cum eui-
denti ueritate consentiant: quę ab ea discrepent,
ita illa quidem sequi, hæc uerò auersari. Hacte-
nus Galenus. Ab hoc igitur animi ardore,
hisq; adolescentiæ rudimentis, & incunabulis
uirtutis progressus Thucydides ea reliquit in-
genij sui, doctrinæ, & sapientiæ monimenta,
quæ meritò tanta cum admiratione ab illo tem-
pore coluit omnis per tot secula posteritas. Ad-
paruit uerò in eo statim in prima ætate hæc ani-
mi concitatio, & impetus quasi diuinus, cùm
audita dulcissimæ historiæ recitatione ita uehe-
menter commotus est, ut lacrimas tenere non
posset.

Habet enim historiarum commemoratio
hoc peculiare θέλγητρον, ut incredibili uoluptate
non iuuenum modō, sed multò magis senum
animos demulceat, nam hi quæ longo uitæ usu
cognita

cognita habent, cũm ea in historia tanquam in illustri pictura expressa uident, cumq; his conferunt, quæ sua ætate acciderunt, ac præterita cum præsentibus componunt, non fieri potest, quin mirifica uoluptate afficiantur. Allicit enim, & quasi in rem præsentem attrahit lectorem rerum gestarum historica expositio, ut ita excitetur, quasi res uel iam agatur uel recens acta sit, hæret affixus animo & tanquam captiuus ducitur, dum nunc lætatur, nunc mœrore afficitur, nunc condolet, nunc congratulatur, nunc spe aut expectatione euentuum suspensus ac solicitus detinetur, Nam uarij casus humani in animis mouent admirationem, expectationem, lætitiam, molestiam, spem, timorem, & si exitu deinde notabili, aut insigni aliquo euentu concluduntur, expletur animus, ut Cicero inquit, iucundissimæ lectionis uoluptate: Rebus enim, quas historia iam olim gestas nobis exponit, mente quasi præsentibus interesse uidemur, iuxta Poëtę dictum:

Et quò non possum corpore, mente feror.

Huc accedit, quòd homines ingenioſi & intelligentes uident res & negocia similia omnibus seculis in mundo accidere. Sicut uerè dictum est à Thucydide, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ. Quamuis igitur in hac mundi languida & infirma senecta duriora, asperiora, magisq; tristia accidunt omnia, Et quemadmodum de corpore senili

Satyricus dixit: *Circumsilit agmine facto*
Morborum omne genus. Tamen inter ea, quæ in his libris referuntur, & inter præsentem Germaniæ statum tanta est similitudo, ut cùm illa aspicimus, nos ipsos quasi in speculo contemplari uideamur, ita agnoscimus imaginem nostrorum temporum, nec fieri potest, quin uehementer commoueantur, qui ista paulò altius considerant. Neq; uerò audiendi sunt, qui uetera nihil ad nos pertinere putant, sicut aliquorum hæ Barbaricæ uoces audiuntur, Quid illa ad nos, aut quid nobis cum illis? Qui si doctrinam omnino nullam pensi habent, saltem non ut bruta animalia, sed ut homines hæc aspicere debebant, ut suæ conditionis ac sortis aliquando si possent, admonerentur: sunt.n. ut Poëta inquit, Lacrimæ rerum & mentem mortalia tangunt. Cùm igitur miserias & istas rerum humanarum uices etiam sine proprio dolore in historia intuemur, tamen ipsa misericordia & admiratio, qua afficimur in hac consideratione & iucunda est, & nos, quid nobis accidere possit, quid porrò fugere, quid sequi debeamus, utiliter commonefacit. Quiq; doctrina pietatis rectè instituti sunt, hi in hoc humanæ uitæ speculum intuentes facilè uident, Satanam nõ pridie aut heri primum principatum in mundo obtinere cœpisse, sicut eum Principem huius mundi filius Dei uocat, sed iam olim ab initio, post primam statim labem, hanc tyrannidem in

miserum

miserum genus humanum occupasse. Hæc doctrina pijs mentibus stimulos addit ad Timorem DEI, acuit curam & solicitudinem in regenda uita & moribus, reprimit cœcos & furiosos impetus, reuocat animos ab insanis consilijs ad cogitationes moderatas & ad consilia salutaria, ne talibus peccatis & ipsi polluamur, neue retibus Satanæ implicemur, & similes pœnas Reip. nostræ nobisq; attrahamus, atque eodem modo pereamus, sicut illos periisse Historia nobis ostendit. Verè enim de ea iam olim cecinit Reuerendus Pater noster:

ὡς καὶ μὲν πέπρωτ' ἀδίκοις, τιμαὶ δὲ δικαίοις,
ἥδε θέσις γραφὴ δείξεται ἱστορία. Id est:
Quòd Deus iniustos punit, iustos quòd honore
Afficit, hoc nobis indicat Historia.

Sed de laude historiæ extant Encomia illustria ab alijs scripta, nobis aliud hoc loco propositum est dicere, nempe de rebus, quas in his libris Thucydides exequitur, deq; huius scriptoris peculiaribus uirtutibus, quem non temerè, neq; leuibus de causis tantopere admirati sunt omnes ingenijs & doctrina præstantes uiri, ab illis inde temporibus, ad nostram usq; ætatem.

Victurus genium debet habere liber:

Inquit Martialis, & habet certè Genium non uulgarem Thucydidea historia. Quodq; olim de Silenis Alcibiadis prouerbio uulgatum est, id de ea aptissimè dici potest. Hanc enim si procul aspicias ac tanquam ā uestibulo salutes, simplicita-

plicitatem illam antiquam, & penè horridam prima fronte præ se ferentem uideas, sin autem quasi in adyta & penetralia ingressus interius ac propius contempleris, tum se uenerandum quoddam numen aperiet, putes te quasi ad uiuam imaginem expressam uidere antiquam illam doctrinam & sapientiam. Quare cùm inter nostri temporis homines ad insaniam usq; ferueat ambitio, non modò profitendi, sed & iactandi sapientiam ac raram quandam Doctrinam, non intempestiuum uidetur hunc scriptorem proponere, tanquam ueræ Doctrinæ & ueræ sapientiæ exemplar. Ea enim non ambitioso splendore ceu fuco se uenditat, tenuis & exilis primo aspecto adparet, interius eximium & diuinũ quiddã reconditum habet, talia & olim fuerunt & adhuc sunt uera Dei dona: Hypocrisis uerò & arrogantia contra κακόζηλος, ἐπίθηκος τῶν ἀληθινῶν θεοῦ δώρων, initiò splendet τηλαυγῶς, in recessu uel nihil uel parum habet. Thucydides autem, Quemadmodum de Amphiarao Aeschylus dixit:

οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει.
Mauult esse bonus, mage quàm bonus esse uideri.

Atq; ut de Homero dixit Horatius:
Non fumum ex fulgore, sed ex fumo dare lucem
Cogitat, ut speciosa dehinc miracula promat.

Quænam igitur sunt illa speciosa miracula in Thucydide? iam dicam.

Primum

Primum enim cũm bellum ciuile eius gentis, quæ ingenijs, doctrina, consilijs & sapientia, uiribus præterea & uirtute inter omnes totius mundi populos illa ætate præcipuè floruit, præcipuè celebrata & præstans fuit, describendum suscepisset, Quod bellum tot annos durauit, tanta concitatione & ardore animorum, tam seuis odijs incensorum, ab hominibus acerrimis & instructissimis gestum, & à ducibus utriusq; partis uigilantissimis ac sagacissimis administratum est: Quoq; bello ita concidit flos, elisum est robur, & quasi à summo fastigio ad imum euersa potentia imperij Græcorum, ut postea nunquam respirare aut uires recipere potuerint: hoc inquam bellum cùm descripturus esset, an leue aut paruum onus ipsum suscepisse putemus? At ille hoc tantum onus ita sustinuit, ita munere suscepto functus est, ut facilè omnibus ante & post se Historiarum scriptoribus palmam præripuerit. Herodotum Historiæ patrem Cicero uocauit, et eundem hoc scripti genus primum exornasse ait, ob hanc fortasse causam, quòd Thucydidem anteceſſit: Aphthonius autem ad uoluptatem & delectationẽ magis quàm ad ueritatem Herodotum cõmemorationem suam inflexisse testatur, multa .n. fabulosa intertexuit, ut hominum aures demulceret, id quod fortè poëmata magis decet quàm historiam. Thucydidem uerò omnibus his secluſis solam ueritatem secutum esse manifestum est, hu-

ic enim non ut res exornaret, sed ut bona fide referret, studium fuit, Vt qui intelligeret veritatem suo natiuo colore satis speciosam esse, nec peregrè accersito fuco indigere, sicut de optimo pingendi artificè Poëta dixit:

Qualis Apelleis est color in tabulis.

Quantò igitur veritate voluptas inferior, tantò Thucydide Herodotus meritò censetur. Non tantum enim fabulosa omisit Thucydides, verùm & quæ ociosa aut leuia uisa sunt omnia præcidit, tantum illa, quæ unaquaq; in re maximi momenti esse putauit, executus est. Acerrimi autem ingenij & magni iudicij est uidere, quid qualibet in re præcipuè obseruandum & delegendum, quid in primis commemoratione dignum, & utile in uita sit, id præ omnibus præstitit Thucydides, Quæ causa est cur eum cæteris præferam, quemadmodum & alij multi fecerunt, à qua sententia non me autoritate Ciceronis abduci patiar, qui ubi de Historiarum scriptoribus iudicat, aliud spectare uidetur, nempe quod dicendi genus usui forensi, & quidem Romano magis accommodatum sit. Aliter autem Demosthenes iudicauit, qui tanti fecit Thucydidem, ut eum ipse manu sua octies descripserit: Et cùm incendio in publica Bibliotheca exemplum periisset, atq; à multis maximi detrimenti loco eius iactura deploraretur, promisit se memoriter ab interitu hoc totum scriptum uindicaturum esse. Sed iudicium de

scripto-

ſcriptoribus alijs relinquamus. Hoc certum eſt Thucydidem, id quod multi teſtati ſunt, omnium optimè docere, utpote cui hoc unum propoſitum fuit, ut poſteritati oſtenderet, quantum mali ſit in bello ciuili, & hac quaſi horribili imagine obiecta omnium ætatum homines ā bellis ciuilibus deterreret.

Dicunt eum primum, quidquid in hoc bello ubicunq; locorum memoria dignum geſtum eſt, accuratiſſimè & magnis ſumtibus per certæ fidei homines inquiſiuiſſe, quod illi uiro potenti & diuiti non difficile fuit: ex metallis enim auri in Thracia ampli prouentus illi fuerunt, & res familiaris magnificè iuſtructa. Poſtea hęc ſic conquiſita in commentarios congeſſit, donec tandem ab occupationibus & miſerijs publicæ gubernationis liberatus, & ocium nactus in Scaptehyla oppido Thraciæ, è regione Thaſſi, ubi illi fructuoſiſſimæ auri uenæ erant, ſub Platano, in amœno ſeceſſu, ex commentarijs illis delegit ac ſecreuit, quæ certiora, quæq; præcipuè digna uiſa ſunt, ut poſteritatis memoriæ mandarentur, ea deinde denuò perpoliuit, & in hoc hiſtoriæ corpus redegit, occaſionibus, conſilijs, & rerum momentis exactiſſimè obſeruatis, Inſertis etiam illuſtriſſimis orationibus, quo in genere neminem inueniri eo ſapientiorem Aphthonius teſtatur, & ſunt certè in illis expreſſæ atq; effictæ hominum ingenioſiſſimorum & ſapientiſſimorum cogitationes, cor-

Scapteſylen Stephanus uocat, in libro de Vrbibus.

nes, consilia & sententiæ, præcipuē uerō diræ cupiditates, quæ & olim fuerunt & adhuc sunt faces bellorum ciuilium, & mutationum in rebuspub: ac ruinarum causæ. Neqꝫ tantum operæprecium, sed & iucundum est uidere in orationibus illis antidicis, quomodo uiri sapientes usuqꝫ exercitatissimi inter se ingeniorum ui concertarint: Et existimet pro se quisqꝫ, quām grata atqꝫ utilis ea sit palæstra homini ingenioso, συζητικῷ, & in gubernatione politica uersanti, nullus scriptor Thucydidem in hoc genere assequi potuit, tentarunt quidem aliqui, sed satis infelici conatu, longo interuallo ā tergo relicti. Neqꝫ hoc postremo loco ponendum est, quōd lapsus & errata utriusqꝫ partis in hoc bello singulari prudentia obseruata & diligenter descripta sunt, ut posteri uiderent, quæ causæ tam florentes Respublicas euertissent: rectē enim Cicero dixit, nihil ad diuturnitatem memoriæ tam stabile esse, quām id in quo aliquid offenderis: & sapientis est, ex aliorum erratis sua corrigere, atqꝫ ut senex in fabula ait, ex alijs periculum facere, tibi quod ex usu siet. Porrō præstantium uirorū Eiconas adeō illustres nullo in scriptore uideas, optimus .n. morū & ingeniorum pictor iudicatus est Thucydides, & mirus artifex in Prosopographijs, sic Pausaniam, sic Themistoclem, sic Periclem, Niciam & alios pingit, in quibus uidere est, quomodo Themistocli atqꝫ Pausaniæ Superbia, & ā rerum feliciter

ter gestarum successu insolentia exitio fuit, dum æquo iure inter suos, & mediocri dignitate, atq; illa dulcissima ἰσονομία contenti esse non possunt, & quàm ingeniosè ab Ephoris deprehenditur Pausanias, quàm miserabiliter cadit uterq; liberator Græciæ, quorum consilio & uirtute tanti exercitus hostium profligati, libertas defensa, lux & salus patriæ reddita erat, horum uirorum mirabiles fortunæ uices ac ruinam non sine dolore aspicere possumus. Quem enim non commiseratione quadam afficit Themistoclis suplicis apud Admetum Molossorum Regem tristissima species? Qui sedens in ara, sicut à Regina edoctus erat, ex uenatione redeunti Patri filium paruulum in ulnis tenens ostendit, per illum obtestans, ut se exulem undiq; eiectum, & ab omnibus desertum hospitio recipiat ac tueatur aduersus ingratos ciues, qui illum ut occiderent, quærebant: Erat hic ut summus & extremus, ita omnium maximè miserabilis suplicandi gestus, sicut Thucydides ait, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο, Cùm uidelicet suplices patribus filios ostendentes, per hæc carissima pignora se exaudiri obsecrarent, & impetrat ille quidem non hospitium certum aut tutum receptum, id enim Rex præstare non poterat, sed hoc obtinet, ut tutò in alium locum exilij remotiorem transferatur, donec tandem miserrimè perit, sed uenio ad alios. Euertit Pericles patriam nimia pertinacia & fiducia propriæ sapi-

entię, nunquam fore ratus, ut hostes in re naua-
li Athenienſibus pares fierent, quæ cogitatio
ipſum longē fefellit, nam multō ſuperiores tan-
dem euaſerunt, id quod res ipſa oſtendit: At ille
huic argumento nimium confiſus ciues ſuos
hoc funeſto bello implicuit, quo tandem ciuitas
florentiſſima & pulcerrima concidit. Niciæ pa-
tientia, bonitas, & diligentia res malē affectas
utcunq; aliquandiu ſuſtentauit, & tunc media-
cres ſucceſſus habuerunt Athenienſes, uſq; ad
res Siculas, ubi tandem omnia euerterunt,
dum nimia dominandi cupiditate etiam aliena,
& quidem remota adpetere cœperunt: Nam ut
Plutarchus in Pericle refert, adeo fauore & in-
dulgentia fortunæ ac fiducia uiriū tunc animis
elati erant, ut etiam de recipienda Aegypto, &
ciuitatibus maritimis regno Perſarum eripien-
dis cogitarent, neq; deerant, qui Carthaginem
quoq; & Hetruriam ſomniarent, quare illis tan-
dem euenit, quod cani fluuium trananti apud
Aeſopum, dum alienis inhiant ſua amiſerunt,
Hæc exempla magnorum uirorum & poten-
tum Rerumpub: in conſpectu habere, & de his
mutationum cauſis ſæpē cogitare, propter ca-
ſus humanos ualde utile eſt in uita. Neq; ac-
ceſſuris ad rerum gubernacula ullum Gymna-
ſium melius, nec ulla Magiſtra commodior eſt,
quām Hiſtoria, rectè enim hoc ſuum ſcriptum
Autor ipſe uocauit Ἀγώνισμα, quaſi Palæſtram
ſeu Scholam dicat, ubi ingenia utiliter exerce-
antur

antur & præparentur ad gubernationem, & ad omnia honesta in hac uita officia. Dicunt eum in ordine & œconomia Homerum imitatum esse, in orationis sublimitate Pindarum, ego utrunq; in medio relinquo, uerùm quod ad œconomiam seu dispositionem attinet, uideo ipsum secutum esse eum ordinem rerum, qui est ordo naturæ, Quemq; in scena Poëtæ seruarunt, ubi primo loco Protasis ponitur, ea occasiones & causas rerum continet, ac plerunq; speciosa est, cùm negocia spem magnam ostendunt, & aut honesti specie lucent, aut si ea forte deest, saltem splendidè affingitur, Quantò enim causa reipsa deterior est, tantò magis fuco & pigmentis indiget, iuxta dictum Euripidis: ὃδ' ἄδικ@ λόγ@ νοσῶν ᾧ αὐτῷ φαρμάκων δ'ἔται σοφῶν. Sic exornata etiam pessima negocia uidentur esse quantiuis precij, sicut & ab Homero Chimæra pingitur:

πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέση δὲ χίμαιρα.
Prima Leo, postrema Draco, media ipsa Chimæra.

Prima facies Leonis est, speciem uirtutis & fortitudinis præ se ferens, media licentiam, petulantiam, & quiduis agendi libidinem ostendit, cauda Draconis in Tyrannidem, sæuitiam, & crudelitatem desinit. Atq; hæc talium rerum Protasis est, quam mirabili arte tractare solet Thucydides, ubiq; ostendens, longè alias rerum πραιρέσεις esse quam προφάσεις. Ita Lacedæmonijs πρόφασις, id est, causa quam prætexebant,

bant, huius belli erat, ut dicerent, se ā seruitute Athenienſium Greciam uelle liberare, προαίρεσις autem, id eſt, uera cauſa erat inuidia, uidebant illos à uictoriis Perſicis fortuna uigilāter, & gnauiter uſos, Rempub: ſuam opibus & potentia auxiſſe, igitur eos propter emulationem uirium reprimere cogitabant, & prohibere ne amplius creſcerent, neue altius ſubuolarent, Et in ſumma, cauſa huius toti Græciæ exitioſi belli ueriſſima fuit utriuſq; partis ambitio. Rectè enim Trogus dixit, Ciuitates Græciæ, dum ſingulæ imperare cupiunt, omnes & Imperium & libertatem amiſerunt. Sed hęc uera cauſa plerunque arte diſſimulatur, prætextus aliquis ſpecioſus magnificē effertur. Sequitur iam actus Secundus, cùm animi & occaſionibus exterioribus & cauſis interioribus irritati ſunt, & cupiditates incenſæ, & iam malum quaſi ὕπνλον eſſe cepit, atq; ut in illa animorum diffidentia & occultis odiis, omnia in deteriorem partem rapiuntur, & pro ſe quiſq; ſcintillas ſub fauilla adhuc ſepultas inflat, ut incendium excitetur, ſic inquam prius affectis animis, tunc ad conſultationes proceditur, Ergo poſt occaſiones & cauſas ponuntur conſilia, poſt quæ ſtatim ſequuntur adparatus, atq;, ut fit, initia primum feruent, Iſq;, ut in fabula, actus quaſi ſecundus eſt, iamq; propius acceditur ad ἐπίτασιν, Ea plena laborum & miſeriarum eſt, utpote in qua uelut ἐν ἀκμῇ omnia fiunt grauiora, augentur difficultates

tates,periculũ iam magis in conſpectu eſt,ſen=tiuntur detrimenta publicè & priuatim,atq; ut ille dixit, Intrant in thalamos publica damna tuos : attamen homines, ut qui iam hærent his ceu fatalibus laqueis implicati, adhuc ui per=rumpere conantur, mouent omnem lapidem & iam extrema incipiunt experiri, ut ex hoc undarum æſtu eluctari poſſint, Iamq; fit gra=dus ad Cataſtrophen, ubi quemadmodum in periculoſis morbis, natura poſtremo omnes uires intendit, ut morbum ſuperet, quem ex=tremum naturæ conatum medici uocant, quæ ſi magnitudine mali uincitur, ſtatim mors ſub=ſequitur, ita ante Cataſtrophen quidquid con=ſilij aut uirium reliqui eſt, id omne expromitur: *Is quartus* ac penultimus actus eſt, quem de=inde Cataſtrophe ſequitur,Deo ſic gubernante, ſæpè longè alia, quām quiſquam hominum co=gitare potuit,iuxta hoc Euripideum :

πολλὰ τὰ ἐλπίσας κραίνουσι θεοὶ,
καὶ τὰ δοκηθέντα οὐκ ἐτελέσθη.
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Et præcipuè in bellis res minimè procedit κατὰ τὸ ῥητὸν, ut Thucydides ait, Atq; hic & rerum ordo eſt,& huius hiſtoriæ à Thucydide ſcriptæ œconomia, quem qui in communi uita & le=ctione hiſtoriarum conſiderat, hic facilè uidet, quomodo diræ cupiditates & ſpes uana plerun=que euertant & ampliſſimas priuatorum homi=

num familias, & florentissimas Respublicas: Deinde quomodo qui bella mouent non necessaria, plerunq; in pœnis hærent, iuxta dictum filij Dei, Qui gladium accipit, gladio peribit. Tertiò quomodo nunc ab hac, nunc ab illa parte peccetur, sicut Horatius dixit:

Seditione dolis, scelere, atq; libidine, & ira
Iliacos intra muros peccatur, & extra.

Et ut postea homines cupiditates suas honestatis aut pietatis specie tegere atq; ornare solent. Hinc tantæ pœnæ diuinitus in genus humanum quasi inundant: atq; horum omnium ad naturam rerum quàm proximè expressam imaginem uidere est in hac Thucydidea Historia. Sunt uerò & partes in ea ualdè illustres, nam pugnarum terra mariq; commissarum, obsidionum, oppugnationum, excidiorum tot insignium urbium, pestilentiæ præterea, famis, & seditionum descriptiones nusquam alibi sunt illustriores: Quem enim commemoratio seditionis apud Corcyreos non commoueat, cuius tanta est atrocitas, ut cogitatione eius animi cohorrescant, sed quis omnia huius scripti lumina in breui præfatione enumerare possit? Abstertuit tamen hactenus hoc multos ab eius lectione, quòd oratio fortasse uisa est asperior & horridior, præsertim in concionibus, de quo & Cicero queritur. Vsus est enim Thucydides ueteri Attico genere sermonis, breui quidem illo

& pres-

& preſſo, ſicut de Oratore Cicero ipſum uerbis aptum & preſſum eſſe dicit, ſed eadem Oratio candida eſt & recta, figuris illuſtribus uariata, & rem ipſam quām proximē exprimens, uerborum pondere grauitatem rerum æquante. In Gnomologico autem & ſententijs nihil illa illuſtrius eſt, uerè enim de Thucydide dictum eſt, τόδε γνωμολογικὸν ἀυτὸ πάνυ ἐπαινετὸν. In narrationibus ita res ipſas depingit, ut non legere præterita, ſed uidere te putes præſentia, occurrunt interdum hyperbata, nonnunquam & membra Ανακόλυθα, ac non plenē reddita, præterea à finitis aliquando ad Απρόσημφατα atq; infinitiua delabitur, & Enallagis generum cæteris ſcriptoribus non perinde uſitatis utitur, Maſculinis enim & fœmininis ſubinde neutra ſubijcit, hæc fortaſſe occurrentibus primo aſpectu duriora uidentur. Sed qui nucleum comeſſe uult, eum & corticem frangere oportet, qui uitat molam, uitat & farinam: ſi qua ſalebroſa uidentur, ea pertinaci ſtudio ac diligentia ſuperanda atq; uincenda erunt, & infinita utilitas, quæ ex hoc ſcripto, tanquam ex locupletiſſimo theſauro petitur, facilē laborem ac moleſtiam, ſi qua capienda erit, penſabit. Imō ſagacia & excitata ingenia, atq; inquirendi & diſcendi cupiditate incenſa iſto labore tanquam operoſis amoribus delectantur, acuitur enim & quaſi irritatur ſtudium, cūm aliquid occurrit, quod altiorem meditationem requirit, Marcellinus re-

censet tres dicendi characteres, altum uidelicet seu sublimem, medium, & humilem: sublimem Thucydidi tribuit, medio dicit usum Herodotum, & exili Xenophontem. De duobus reliquis non meum est in præsentia pronunciare, sed de Thucydidis oratione rectē ipsum iudicasse censeo, sicut & alij dixerunt, habere eum orationis genus ὑπέρσεμνον καὶ μέγα. Nam ut ea pictura iudicatur esse perfecta, quæ ad naturæ imitationem quām proximē accedit, ita oratio optima est, quæ rem ipsam & æquat, & quām proximē exprimit: magnum autem, sæuum, & diuturnum bellum describit, quo tantæ uires conciderunt, conueniebat igitur rebus orationem respondere. Proinde sæpe poëticis uerbis, translationibus & figuris ipsum usum esse uidemus, sicut & Liuius noster poëticas figuras, ac uerba, nonnunquam etiam integra membra liberius usurpauit. Iam mihi quoq; de Historiarum à mundi initio ordine atq; contextu aliquid dicendum erat, quem ita diuinitus conseruatum esse uidemus, ut satis adpareat, Deum non uoluisse præcipuarum rerum in mundo gestarum memoriam interire, sed hæc in Chronicis à Reuerendo Domino præceptore ita fideliter & exactē explicata sunt, ut nostra commemoratio superuacanea sit futura. Quo uerō consilio hunc scriptorem ad usum scholæ hac forma excudendum, in Latinam linguam transferendum, & Græcæ Linguæ ac doctrinæ studiosis

diosis proponendum statuerim, id paucis exponam: fortasse enim quibusdam uel audacter uel arroganter facere uidebor, ab audacia me ætas mea iam ingraueſcens, & ab arrogantiæ ſuſpicione perpetuus uitæ curſus facilè, ut ſpero, uindicabit. Quia uerò multos à lectione huius ſcripti reſilire uidebam, offenſos uel ſermonis aſperitate, uel ſententiarum præſertim in concionibus obſcuritate, & quia multis non uacat præcipuum tempus his impendere, qui propter alias grauiores occupationes tantum ſubciſiuas horas huic lectioni tribuere ſolent: aliqui etiam non eò uſq; progreſſi ſunt, ut, quod dicitur, ſine cortice natare, & hæc quæ tanto ingenij acumine ſcripta ſunt, ſine interprete facilè euoluere aut aſſequi poſſint. De uerſione autem Vallæ querelas audiebam, quòd ea multis in locis non minus quàm ipſe Author lectorem remorari diceretur, Ideò mihi hortatores fuerunt aliqui magni & honeſti uiri, huius linguæ atq; doctrinæ amantes, ut iuuentuti Thucydidem interpretandum in manus ſumerem, & quām poſſem ſimpliciſſimè in Latinam Linguam transferre conarer, præſertim cùm iam pars aliqua conuerſa apud me eſſet, ab his perſuaderi me paſſus ſum, non ignorans quām difficilem laborem in me ſuſciperem, & quām aliquos, hoc præſertim tempore, iniquos iudices ac cenſores habiturus eſſem: ſubij tamen hoc onus, & cùm mihi iam ſeni non

multum temporis ad uiuendum supereſſe arbitrarer, uiſum eſt id ne mihi per ocium autinertiam flueret, uerſioni huius hiſtoriæ tribuere, atq; eniti, ut ſi quo modo fieri poſſet, Thucydides minore cum offenſione & difficultate euolueretur. Spero hunc laborem meum non inutilem diſcentium ſtudijs fore, & gratum non tantum noſtro, hoc eſt Scholaſtico ordini, uerum etiam his qui in gubernatione Reip: uerſantur, hi enim ſe hac lectione mirabiliter iuuari & quaſi inſtrui atq; armari ſentient. Intellexit hoc Carolus V. Imperator: proinde tam cupidè & toties legit hiſtoriam Thucydidis, in Gallicam Linguam feliciter conuerſam, eamq; maximi fecit, cuius ingenij uim & ſapientiam noſtra ætas meritò admirata eſt, & poſteritas magis admirabitur. Deum precor ut mihi clementer adſit & ualetudinem confirmet, ut his laboribus ſufficere poſſim, per Chriſtum Redemtorem noſtrum, Amen.

Quòd autem tuo nomini, uir clariſſime, hunc laborem potiſſimum dedicare libuit, cauſæ plurimæ ſunt, inter quas tamen ſocietas ſtudiorum præcipua eſt, nam quamuis multiplicia ingenij, uirtutum, & fortunæ ornamenta in te ſunt, quibus amor conciliari ſolet, Hoc tamen muſarum fœdus cæteris omnibus, ut longè dulcius eſt, ita & potentius eſſe debet, ad quod cùm etiam uirtutis glutinum accedit, copulantur ani-

tur animi indissolubili uinculo, notum enim est hoc Theocriti:

οὔτε γὰρ ὕπνῳ,
οὐτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
ἄνθεα &c.

Ignoscés autem mihi candidè & liberè tecum agenti, neq; illorum iudicia reuerebor, qui me uel assentandi uel gratiam aucupandi causa hęc scribere arbitrabuntur, his enim dotibus diuinitus cumulatus es, ut qui te non admirentur, inuidi magis, quām qui laudent assentatores uideri possint. Spero hoc officium, seu potius hanc animi nostri significationem tibi non ingratam fore, & lætabor, si hunc laborem nostrum tibi ac tui similibus uiris bonis & doctis probari intelligam. Postremò precor æternum & clementissimum Deum, ut in Ecclesijs, Scholis, & gubernatione publica inter docentes atq; regentes, sanctam coniunctionem, consensum & concordiam clementer sarciat, foueat, & conseruet, per Christum filium suum Redemtorem nostrum, Amen.

SERIES FAMILIÆ

REGVM SPARTANORVM A PRIMA ORIGINE VSQVE AD POSTREMVM CLEOMENEM DEDVCTA: LVCEM ADFERENS MVLTIS PARTIBVS HISTORIÆ HERODOTI, THVCYDIDIS, XENOphontis, Diodori Siculi, Plutarchi, imò etiam Bibliorum 1. Macc: 12. vbi AREI Regis Spartani nomen extat, cum quo Onias & Ionathas Sacerdotes fœdus fecerunt.

BELVS, qui in Ægypto regnauit

AEGYPTVS

DANAVS, ex Aegypto in Peloponesum ueniens, regnum Argiuorum occupat, ejecto Gelanore

AGENOR Rex Phœnicum

Tres fratres uixerunt circa tempora Iosuæ, qui Israëlitas in terrã Canaan induxit.

LYNCEVS interfecto à se Danao socero successit

Huius filia & hæres HYPERMNESTRA uxor Lyncei.

CADMVS literas & doctrinas ex Phœnicia in Græciam intulit, & Thebas Bœotię condidit. Herod: l. 5. p. 160. lib. 2. pag. 56.

Cretheus

ABAS Rex Argiuorum

Amythaon Rex Iolci.

Aeson

IASON Dux Argonautarum, cuius mentio fit lib. 4. pag. 145.

Polydorus

Labdacus

Laius

OEDIPVS

Polynices huius mentio fit lib. 4. p. 140. Herod. et lib. 6. pag. 181.

Acrisius

Hero: lib. 6. p. 182. lib. 7. p. 211. 224.

Danaë

Prœteus cuius filias furiosas sanauit Melampus, & hac curatione medium partem regni Argiui adeptus est. Huius nepos fuit Amphiaraus

Melampus

Bias

Talaus, gener Polyb. Regis Sicyoniorũ, de quo l. 5. p. 162.

PERSEVS ex Andromeda Cephei & Cassiopeæ filia.

ADRASTVS socer Polynicis.

Aegialeus qui Thebas cœpit, lib. 5. pag. 162.

Therſander

Alcæus

Electrion

Amphitryon

Alcmena

Oeneus rex Aetoliæ.

Tisamenus

Herod. lib. 6. pag. 181.

HERCVLES ex

Deianira

Tydeus

Meleager

Hyllus

Herod: lib. 6. pag. 181. & l. 7. pag. 234.

Diomedes Vlyssis socius.

Vide Pausaniam in Messeniacis pag. 88. & in Laconicis pag. 63. 64.

Cleodæus

Aristomachus

Autesion

Temneus, ã quo paterna origine reges Macedonici & Alexander Magnus ortus est. lib. 8. pag. 263.

Cresphontes Messenen tenuit.

Aristodemus. Ab huius filijs duæ familiæ Regum ortæ sunt. Herod: l. 6. p. 181. 182.

Argia nupta Aristodemo Heraclidæ pag. 181.

Theras in Insulam Theram duxit Mynias à quibus BATTVS filius Polymnesti ortus CYRENEN in Aphrica condidit, Herod: lib. 4. pag. 140. 141. 142.

EVRYSTHENES
Agis
Echestratus
Leobotes, cuius tutor & patruus fuit LYCVRGVS Legislator. Herod: lib. 1. pag. 13. Pausa: pag. 64.
Doryssus
Agesilaus
Archelaus
Teleclus
Alcamenes
Polydorus, cuius tempore Colonia in Italię urbes Crotonem & Locros ã Lacedæmonijs missa est.
Eurycrates
Anaxander
Eurycratedes
Leo, cuius tempore infelix bellum cum Tegeatis Lacedæmonij gesserunt. Herod. l. 1. pag. 12. 13.
ANAXANDRIDES, cuius tempore Lacedæmonij Tegeatas uicerunt, & cum Crœso Lydorum rege fœdus fecerunt. Herod. lib. 1. p. 13. 14.

PROCLES
Sous
Eurytion
Prytanis
Eunomus
Pollux
Caryllus, cum Argiuis & Tegeatis bella gessit.
Nicander
Theopõpus, quo duce bellum Messeniacum primo inchoatum est.
Archidamus mortuus ante patrem.
Zeuxidamus
Anaxidamus
Archidamus
Agasicles, huius mentio fit l. 1. p. 12. Her:
Ariston, repudiatis duabus coniugibus ducit Ageti uxorem, καλλίσκην ἐξ αἰσχίσκης γενομένην, quæ septimo mẽse parit Demaretum. Herod. lib. lib. 6. pag. 183. 184.

Series Regum Laconicorum ab Hercule usq; ad Leonidem deducta, recitatur ab Herodoto lib. 7. pag. 234.

DEMARETVS, qui artibus collegæ & æmuli Cleomenis Sparta pulsus, ad regem Persarum Darium fugit, & postea comes fuit expeditionis Xerxis. Herodo. lib. 6. pag. 184. 185. 181. lib. 5. pag. 163. lib. 7. pag. 199. 215. 240.

Huic successit agnatus.

Leotychides, filius Menaris, pag. 184. 185. qui postea cum Xantippo Periclis patre ad Mycalen Ephesiæ montem Persas profligauit, teste Thucidide pag. 20.

Zeuxidamus, ante patrem moritur, pag. 185.

Archidamus, cuius nomen tantum in Herod. extat pag. 185. Sed res ipsius gestas prolixè describit Thucidides. Nam bellum peloponnesiacum Archidamo duce cœptum est.

Herod. l. 5. p. 156. 157.

Cleomenes reijcit dona à Mæandro Samio oblata, lib. 3. pag. 113. Aristagoram Milesium, petentem auxilia aduersus Darijũ, & munera offerentem, ante occasum solis ex urbe discedere iubet, lib. 5. pag. 158. 159. Infert bellum Argiuis, & interficit 6000 supplices, lib. 6. pag. 187. l. 7. pag. 224. Eiecit Athenis Pisistratidas, l. 5. p. 161. Deinde pulso Clistene & occupata arce Athenis, ipse rursum pellitur, pag. 163. Aeginetas oppugnat lib. 6. p. 181. 185. Tandem sibi ipsi mortem conscijscit. pag. 186.

Gorgo filia, Leonidi nupta, lib. 7. pag. 240. 234. lib. 5. p. 159.

Dorieus coloniam ducere in Libyã, & postea in Sicilią conatus est. pag. 157. 226.

Leonides dux Græcorũ, ad Thermopylas gloriose pro libertate patriæ dimicãs interficitur. 17. p. 234. 236. 237.

Plistarchus huius tutor fuit Pausanias.

Cleombrotus nascitur, p. 157.

PAVSANIAS qui Mardonium Persarum ducem ad Platæas uicit. Herod. lib. 9.

Plistoanax.

Pausanias, qui Athenis non defendit 30 tyrannos contra Thrasybulum

Cleombrotus ad Leuctra Bœotiæ interfectus ã Thebanis. Xeno. lib. 6. ἑλλην:

Agesipolis.

Cleomenes

Agesipolis.

Acrotatus, ante patrem mortuus.

AREVS, Atheniẽsibus opem tulit contra Antigonum. Defendit Spartam aduersus Pyrrhum. Huius Arei mentio fit 1. Macc. 12.

Acrotatus. Areus puer moritur.

Cleonymus, prælato sibi fratris filio Pyrrhum in Laconiam duxit

Leonides

CLEOMENES postremus Rex, ab Arato & Antigono uictus ad Sellasiam, tandem in Aegypto sibi mortem consciuit.

Chilonis uxor Cleombroti.

AGIS, qui arcem in Decelea condidit, & in Elide bella gessit. Huius tempore Athenæ ã Lysandro captæ sunt. Xenophon: ἑλλην: α. 6.

Leotychides.

AGESILAVS, cuius res gestæ in Xenophonte in ἑλλην: & Plutarcho prolixè describuntur, tandem anno ætatis octuagesimo quarto in Aegypto obijt.

Archidamus, sub quo Phocense bellum gestum est. Tandem ã Lucanis in Italia interfectus.

Agis, ad Megalopolin ab Antipatro interfectus.

Vide Plutarch: in uita Agidis & Cleomenis.

Endamidas

Archidamus

Endamidas

AGIS qui cum Arato bellum gessit.

Endamidas postremus.

ΑΦΘΟΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΘΟΥΚΥΔΙΔΗΝ, ΕΚ ΤΩΝ ΕΙΣ ΤΗΝ ΡΗΤΟΡΙΚΗΝ ΠΡΟΓΥΜΝΑΣΜΑΤΩΝ ΑΥΤΟΥ.



Τιμᾶν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα, οἷς ἐπορίσαντο κάλλιστα. καὶ τὸ πρ' ἐκείνων φανὲν, ἐπανατίθεσθαι δικαίως τοῖς δείξασιν, οὐκοῦν θουκυδίδην ἐπαινέσω τοῖς λόγοις, αὐτὸν τοῖς αὐτοῖ τιμᾶν προελόμενος. ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλόν. τοσούτῳ δὲ μᾶλλον θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον. οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε θουκυδίδην περὶ τοὺς λόγους σοφώτερόν ἐστιν εὑρεῖν προῆλθε τοίναν θουκυδίδης ἐκ γῆς, ἣ καὶ βίον αὐτῷ παρέσχε, καὶ τέχνην. οὐ γὰρ ἑτέρωθεν γέγονεν, ἀλλ' ὅθεν οἱ λόγοι. καὶ μητέρα βίου τὰς ἀθήνας εὑρὼν, προγόνοις μὲν βασιλεῦσιν ἐχρήσατο. καὶ τὸ καὶ τύχης αὐτῷ δυνατώτερον, ἐκ τοῖ προτέρου προελήλυθε γένους. καὶ προσλαβὼν ἄμφο, γένους ἰσχὺν, καὶ πολιτείαν δημοτικὴν, εἰς ἐπανόρθωσιν ἑκατέρου τὸ παρ' ἑκατέρου φέρεται κέρδος, τὸ μὴ πλουτεῖν ἀδίκως, διὰ καὶ ἰσηγορίας ἐπανορθούμενος. Ϲ πολιτικὴν ἔνδειαν, τῇ παρὰ τοῖ γένους εὐδαιμονίᾳ συγκρύπτων. καὶ τοιοῦτος φανεὶς, τρέφεται μὲν πολιτείᾳ, καὶ νόμοις, ἃ τῶν

ἄλλων ἀμείνω πεφύκασι, καὶ πρὸς ὅπλα καὶ νόμους ἅμα
ζῆν ἐγνωκὼς, φιλοσοφεῖν ὁ αὐτὸς καὶ στρατηγεῖν ἐβουλεύ-
σατο, οὔτε τοὺς λόγους ὅπλων ἀποστρῶν, οὔτε τὰς μά-
χας ἐν μέρει τιθεὶς καὶ φρονήσεως. καὶ μίαν ποιεῖται
μελέτην, ὧν μίαν οὐκ εἶχε τὴν τέχνην, εἰς ἓν συνάγων
ἃ τῇ φύσει διέστηκεν. ὡς δὲ εἰς ἄνδρας ἀφίκετο, ἐζήτει
καιρὸν εἰς ὠλίδειξιν, ὧν καλῶς προησκήσατο. καὶ ταχὺ
παρέσχεν ἡ τύχη τὸν πόλεμον. καὶ τὰ πεπραγμένα
πᾶσι τοῖς ἕλλησιν, οἰκείαν αὐτὸς ἐποιήσατο τέχνην, καὶ
φυλακὴ γέγονεν, ὧν ὁ πόλεμος ἤγαγεν. ἃ γὰρ ἐποίουν
ὡς ἕκαστοι, ταῦτα συγκρύπτειν οὐκ ἀφῆκε τὸν χρόνον. ἐξ
ὧν ἁλισκομένη μὲν ἔγνωσται πλάταια, δηούμενα δὲ τὰ
καὶ ἀττικῆς ἐγνωρίζετο, καὶ περιπλεομένη παρὰ τῶν ἀθη-
ναίων ἐδηλοῦτο πελοπόννησος. ναυμαχίας εἶδεν ἡ ναύ-
πακτος. λαθεῖν οὐκ ἀφῆκε ταῦτα θουκυδίδης συγγρά-
φων. λέσβος ἑάλω, καὶ μέχρι τοῦδε κηρύττεται. πρὸς
τοὺς ἀμπρακιώτας καθίστατο μάχη, καὶ τὸ γεγονὸς οὐκ
ἀφεῖλεν ὁ χρόνος. δίκη λακεδαιμονίων οὐκ ἀγνοεῖται
παράνομος. σφακτηρία, καὶ πύλος τὸ μέγα τῶν ἀθηναί-
ων ἔργον, οὐκ ἔλαθεν ὅθεν κορκυραῖοι μὴ παρὰ τὰς ἀθήνας
ἐκκλησιάζουσι. κορίνθιοι δὲ πρὸς αὐτοὺς ἀντιφθέγγονται.
αἰγινῆται κατηγοροῦντες, εἰς λακεδαίμονα ἔρχονται. καὶ
σωφρονῶν μὲν ἐπ' ἐκκλησίας ἀρχίδαμος, σθενελαΐδας
δὲ ἐπὶ μάχην κινῶν. καὶ πρὸς τούτοις ὁ περικλῆς πρεσ-
βείαν ἀτιμάζων λακωνικὴν, καὶ χαλεπαίνειν οὐ συγ-
χωρῶν ἀθηναίους, νοσοῦντας. ταῦτα καθάπαξ παρὰ καὶ

θουκιδίδου

θουκυδίδου συγγραφῆς, πρὸς ἅπαντα τηρεῖται τὸν βίον. εἶτα τὶς αὐτῷ παραβαλεῖ τὸν ἡρόδοτον, ἀλλ' ἐκεῖνος μὲν διηγεῖται πρὸς ἡδονὴν, ὁ δὲ πρὸς ἀληθείαν ἅπαντα φθέγγεται. ὅσον δὴ τὸ πρὸς χάριν τοῦ πρὸς ἀλήθειαν ἔλαττον, τοσοῦτον ἡρόδοτος τῶν θουκυδίδου καλῶν ἀπολείπεται. πολλὰ ἦν ἕτερα περὶ θουκυδίδου διεξελθεῖν, εἰ μὴ τὸ πάντα ἐρεῖν, τὸ τῶν ἐπαίνων παρείλετο πλῆθος.

ΒΙΟΣ ΘΟΥΚΥΔΙΔΟΥ.

Θουκυδίδης ἀθηναῖος, ὀλόρου ἦν παῖς. θρᾴκιον δὲ αὐτῷ τὸ γένος. καὶ γὰρ ὁ πατὴρ αὐτῷ ὄλορος ἐκ θρᾴκης εἶχε τοὔνομα. γέγονε δὲ τῶν μιλτιάδου συγγενής. αὐτίκα γοῦν ἔνθα μιλτιάδης περὶ κοίλην τέθαπται, ἐνταῦθα καὶ θουκυδίδης τέθαπται. ὁ δὲ μιλτιάδης ἔγημε τοῦ θρᾳκῶν βασιλέως θυγατέρα ἡγησιπύλην. γέγονε δὲ ἀντιφῶντος τοῦ ῥαμνουσίου μαθητὴς, δεινοῦ λέγειν, καὶ ὑπόπτου γενομένου τοῖς δικαστηρίοις. καὶ διαταῦτα λέγοντος μὲν οὐκ ἠνείχοντο αὐτοῦ γράφειν δὲ ἐπεχείρησε τοὺς λόγους, καὶ ἐξέδωκε τοῖς δεομένοις. ἐμαρτύρησε δὲ

ἀυτῷ καὶ θουκυδίδης ὁ μαθητὴς, ὅτι ᾧ ἂν σύμβουλος γένοιτο, ἄριστα ἐκεῖνος ἀπήλλαττεν εἰς τὰς δίκας. ἀλλ' ὁ μὲν ἔδοξε πονηρὸς ἀντιφῶν εἶναι, καὶ περὶ τέλη τοῦ πελοποννησιακοῦ πολέμου κριθεὶς προδοσίας, ὡς λακεδαιμονίοις μὲν τὰ ἄριστα κατὰ πρεσβείαν παραινέσας, ἀθηναίοις δὲ ἀλυσιτελέστατα, ἑάλω. καὶ σὺν ἀυτῷ διεφθάρησαν, ἀρχεπτόλεμος, καὶ ὀνομακλῆς, ὧν καὶ κατεσκάφησαν καὶ αἱ οἰκίαι καὶ τὸ γένος, τὸ μὲν διεφθάρη, τὸ δὲ ἄτιμον ἐγένετο. στρατηγικὸς δὲ ἀνὴρ ὁ θουκιδίδης γενόμενος, καὶ τὰ περὶ θάσου πιστευθεὶς μέταλλα, πλούσιος μὲν ἦν, καὶ μέγα ἐδύνατο. ἐν δὲ τῷ πελοποννησιακῷ πολέμῳ, αἰτίαν ἔσχε προδοσίας ἐκ βραδυτῆτός τε, καὶ ὀλιγωρίας. ἔτυχε μὲν γὰρ βρασίδας τὰς ἐπὶ θρᾴκης καταλαβὼν πόλεις ἀθηναίων, ἀφιστὰς μὲν ἀθηναίων, λακεδαιμονίοις δὲ προστιθεὶς. κἀνταῦθα δέον ταχέως ἀναπλεῦσαι, καὶ σῶσαι μὲν τὴν ἠϊόνα ἐγγὺς κειμένην, περιποιῆσαι δὲ τὴν ἀμφίπολιν μέγα κτῆμα τοῖς ἀθηναίοις. τὴν μὲν ἠϊόνα ἐδυνήθη φθάσας σῶσαι, τὴν δὲ ἀμφίπολιν ἀπώλεσε καί τοι κλέων βοηθῶν ταῖς ἐπὶ θρᾴκης πόλεσι, κατέπλευσε μὲν εἰς ἀμφίπολιν, ἀλλ' ὅμως μάχης γενομένης, βρασίδας μὲν ὁ λακεδαιμόνιος ἐνίκησεν αὐτόν. κλέων δὲ ἀπέθανεν ὑπὸ μυρκινίου πελταστοῦ βληθεὶς. οὐ μὴν ἀλλὰ καὶ βρασίδας καὶ νίκης αἰσθόμενος, ἀπέθανε. καὶ ἀμφίπολις ἀθηναίων ἀπέστη, λακεδαιμονίων δὲ ἐγένετο. ἔνθα καὶ τὰ ἀγνώνεια οἰκοδομήματα καθελόντες οἱ ἀμφιπολῖ-

ται,

ται, βρασίδα ἐκάλεσαν, μισήσαντες μὲν τὴν ἀττικὴν ἀποικίαν, λακωνίσαντες δὲ κἀρ τούτῳ, καὶ τὴν τιμὴν μεταθέντες εἰς λακεδαίμονα. γενόμενος δὲ φυγὰς ὁ θουκυδίδης, ἐσχόλαζε τῇ συγγραφῇ τοῦ πελοποννησιακοῦ πολέμου, καὶ διατοῦτο δοκεῖ πολλὰ χαρίζεσθαι μὲν λακεδαιμονίοις, κατηγορεῖν δὲ ἀθηναίων τὴν τυραννίδα, καὶ πλεονεξίαν. οὐ γὰρ καιρὸς αὐτῷ κατειπεῖν ἀθηναίων ἐγένετο. κορινθίων κατηγοροάντων, ἢ λακεδαιμονίων μεμφομένων, ἢ μιτυληναίων αἰτιωμένων, πολὺς ἐν τοῖς ἐγκλήμασι τοῖς ἀττικοῖς ἐῤῥύη. καὶ τὰς μὲν νίκας τὰς λακωνικὰς, ἐζῆρε τῷ λόγῳ. τὰς δὲ ξυμφορὰς ἠύξησε τὰς ἀττικὰς, ὅπου καὶ τὰς ἐν σικελίᾳ. πέπαυται δὲ τὸ τοῦ συγγραφῆς ἐν τῇ ναυμαχίᾳ τῇ περὶ κυνὸς σῆμα, τουτέστι περὶ τὸν ἑλλήσποντον, ἔνθα δοκοῦσι καὶ νενικηκέναι ἀθηναῖοι. τὰ δὲ μεταταῦτα ἑτέροις γράφειν κατέλιπε ξενοφῶντι καὶ θεοπόμπῳ. εἰσὶ δὲ καὶ αἱ ἐφεξῆς μάχαι. οὔτε γὰρ τὴν δευτέραν ναυμαχίαν τὴν περὶ κυνὸς σῆμα, ἣν θεόπομπος εἶπεν. οὔτε τὴν περὶ κύζικον, ἣν ἐνίκα θρασύβουλος, καὶ θηραμένης, καὶ ἀλκιβιάδης. οὔτε τὴν ἐν ἀργιννούσαις ναυμαχίαν, ἔνθα νικῶσιν ἀθηναῖοι λακεδαιμονίους. οὔτε τὸ κεφάλαιον τῶν κακῶν τῶν ἀττικῶν, τὴν ἐν αἰγὸς ποταμοῖς ναυμαχίαν, ὅπου καὶ τὰς ναῦς ἀπώλεσαν ἀθηναῖοι, καὶ τὰς ἑξῆς ἐλπίδας. καὶ γὰρ τὸ τεῖχος αὐτῶν καθῃρέθη, καὶ ἡ τῶν τριάκοντα τυραννὶς κατέστη, καὶ πολλαῖς ξυμφοραῖς περιέπεσεν ἡ πόλις. ἃς ἠκρίβωσε θεόπομπος. ἦν δὲ τῶν

πάνυ κατὰ γένος ἀθήνησι δοξαζομένων ὁ θουκυδίδης. δεινὸς δὲ δόξας εἶναι ἐν τῷ λέγειν, πρὸ τῆς συγγραφῆς, προέστη τῶν πραγμάτων. πρώτην δὲ τῆς ἐν τῷ λέγειν δεινότητος, τήνδε ἐποιήσατο τὴν ἐπίδειξιν. Πυριλάμπης γάρ τις τῶν πολιτῶν ἄνδρα φίλον, καὶ ἐρωμένον ἴδιον, διά τινα ζηλοτυπήσας, ἐφόνευσε. ταύτης δὲ καὶ δίκης ἐν ἀρείῳ πάγῳ κινουμένης, πολλὰ καὶ ἰδίας σοφίας ἐπεδείξατο, ἀπολογίαν ποιούμενος ὑπὲρ τοῦ πυριλάμπους καὶ περικλέους κατηγορούντος, ἐνίκα. ὅθεν καὶ στρατηγὸν αὐτὸν ἑλομένων ἀθηναίων, ἄρχων προέστη τοῦ δήμου. μεγαλόφρων δὲ ἐν τοῖς πράγμασι γενόμενος, ἅ τε φιλοχρηματῶν, οὐκ εἴα τὸν πλείνα χρόνον προστρατεῖν τοῦ δήμου. πρῶτον μὲν γὰρ ὑπὸ τοῦ ξενοκρίτου, ὡς σύβαριν ἀποδημήσας, ὡς ἐπανῆλθεν εἰς ἀθήνας, συγχύσεως δικαστηρίου φεύγων, ἑάλω. ὕστερον δὲ ἐξοστρακίζεται ἔτη δέκα. φεύγων δὲ, ἐν αἰγίνῃ διέτριβε. κἀκεῖ λέγεται τὰς ἱστορίας αὐτὸν συντάξασθαι. τότε δὲ τὴν φιλαργυρίαν αὐτοῦ μάλιστα φανερὰν γενέσθαι. ἅπαντας γὰρ αἰγινήτας κατατοκίζων, ἀναστάτους ἐποίησε. μετὰ τὴν ἱστορίαν φασὶ συντετάχθαι τῷ συγγραφεῖ τὸ προοίμιον, ἐπεὶ τῶν ἐν τῷ πολέμῳ μέμνηται γεγονότων, ὥσπερ καὶ δήλου καθάρσεως, ἣν πρὶ τὸ ἕβδομον ἔτος ἐπὶ εὐθύνου ἄρχοντος γεγενῆσθαί φασι. μέμνηται δὲ ἐν αὐτῷ καὶ καὶ τοῦ πολέμου τελευτῆς, λέγων. Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου. ἀλλὰ καὶ ἐν ἀρχῆφησι. Κίνησις γὰρ αὕτη μεγίστη τοῖς ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων. ὡς

δὲ εἰπεῖν

δὲ εἰπεῖν, καὶ ἐπιπλεῖστον ἀνθρώπων. πληρώσας δὲ τὴν ὀγδόην ἱστορίαν, ἀπέθανε νόσῳ. σφάλλονται γὰρ οἱ λέγοντες μὴ θουκυδίδου εἶναι τὴν ὀγδόην, ἀλλ' ἑτέρου συγγραφέως, τελευτήσας δ' ἐν ἀθήνῃσιν ἐτάφη πλησίον τῶν μιλτιάδων πυλῶν, ἐν χωρίῳ καὶ ἀττικῆς, ὃ προσαγορεύεται κοίλη. εἴτε αὐτὸς ἐπανελθὼν ἀθήναζεν ἐκ καὶ φυγῆς τοῦ ὁρισθέντος χρόνου πληρωθέντος, καὶ τελευτήσας ἐν τῇ ἰδίᾳ πατρίδι, εἴτε μετακομισθέντων αὐτοῦ τῶν ὀστέων ἀπὸ θρᾴκης ἐκεῖ καταστρέψαντος τὸν βίον. λέγεται γὰρ ἐπ' ἀμφότερα. καὶ στήλη τὶς ἀνέστηκεν ἐν τῇ κοίλῃ, τοῦτο ἔχουσα τὸ ἐπίγραμμα.

Θουκυδίδης ὀλόρου ἁλιμούσιος ἐνθάδε κεῖται.



ΑΛΛΟΣ

ΑΛΛΩΣ.

ΜΑΡΚΕΛΛΙΝΟΥ ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ βίου, καὶ τῆς ἰδέας αὐτοῦ ἀπὸ τῆς ὅλης ξυγγραφῆς παρεκβολή.



ΩΝ δημοσθένους μύσας γεγενημένους θείων λόγων τε καὶ ἀγώνων, συμβουλευτικῶν τε καὶ δικανικῶν νοημάτων μεστοὺς γενομένους, καὶ ἱκανῶς ἐμφορηθέντας, ὥρα λοιπὸν καὶ τῶν θουκιδίδου τελετῶν ἐντὸς καταστῆναι. πολὺς γὰρ ἀνὴρ τέχναις, καὶ κάλλει λόγων, καὶ ἀκριβείᾳ πραγμάτων, καὶ στρατηγίᾳ, καὶ συμβουλαῖς, καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τοι ἀνδρὸς καὶ τὸ γένος, καὶ τὸν βίον. πρὸ γὰρ τῶν λόγων ταῦτα ἐξεταστέον τοῖς φρονοῦσι καλῶς. θουκυδίδης τοίνυν ὁ συγγραφεὺς, ὀλόρου μὲν προῆλθε πατρὸς, τὴν ἐπωνυμίαν ἔχοντος ἀπὸ ὀλόρου τοι θρᾳκῶν βασιλέως, καὶ μητρὸς ἡγησιπύλης. ἀπόγονος δὲ τῶν εὐδοκιμωτάτων στρατηγῶν, λέγω δὴ τῶν περὶ μιλτιάδην, καὶ κίμωνα. ᾠκείωτο δὲ ἐκ παλαιοῦ τῷ γένει πρὸς μιλτιάδην τὸν στρατηγόν. τῷ δὲ μιλτιάδῃ, πρὸς αἰακὸν τὸν διός. οὕτως αὐχεῖ τὸ γένος ὁ συγγραφεὺς ἄνωθεν. καὶ τούτοις δίδυμος μαρτυρεῖ, φερεκύδην ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φάσκων οὕτως λέγειν. φιλαίας δὲ ὁ αἴαντος οἰκεῖ ἐν ταῖς ἀθήναις. ἐκ τούτου δὲ γίγνεται δάικλος. τοῦδε πνίδυκος, τοιδε ἀκέστωρ, τοιδε ἀγήνωρ,

τοιδε

τοιδε ὄλιος, τοιδε λύκης, τοιδε τύφων, τοιδε λαῖος, τοιδε ἀγαμήστωρ, τοιδε τίσσανδρος, ἐφ' οὗ ἄρχοντος ἐν ἀθήναις. τοῦδε μιλτιάδης, τοιδε ἱπποκλείδης, ἐφ' οὗ ἄρχοντος παναθήναια ἐτέθη. τοιδε μιλτιάδης, ὃς ὤκησε χερρόνησον. μαρτυρεῖ τούτοις καὶ ἑλλάνικος ἐν τῇ ἐπιγραφομένῃ ἀσώπιδι. ἀλλ' οὐκ ἂν εἴποι τίς τι αὐτῷ πρὸς θουκυδίδην. ἔστι οὕτως τούτου συγγενής. θρᾷκες καὶ δόλοπες ἐπολέμουν πρὸς ἀψινθιοὺς, ὄντας γείτονας. ταλαιπωρούμενοι δὲ τῷ πολέμῳ, καί τι κακὸν οὐ πάσχοντες, ἐκ τοι μεῖον ἔχειν ἀεὶ τῶν πολεμίων, καταφεύγουσιν ἐπὶ τὰ τοι θεοῦ χρηστήρια. εἰδότες, ὅτι μόνος ὁ θεὸς ὀξ ἀμηχάνων εὑρίσκει πόρους. θεῶν γὰρ ἰσχὺς, καὶ κατ' αἰσχύλον, ὑπερτέρα. πολλάκις δ' ἐν κακοῖσι τὸν ἀμήχανον καὶ χαλεπᾶς.

ὑπέρ τε ὀμμάτων κριναμένων νεφελῶν ὀρθοῖ. καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων, ἐχρήσθησαν γὰρ, κράτιστον ἕξειν τὸν ἡγεμόνα τοῦτον, ὃς ἂν αὐτοὺς ἁλομένους ἐπὶ ξενίαν καλέσοι. τότε καὶ κροῖσος εἶχε λυδίαν, καὶ τὰς ἀθήνας ἡ πεισιστρατιδῶν τυραννίς. ἐπανιόντες οὖν ἀπὸ τοι χρηστηρίου περιέτυχον τῷ μιλτιάδῃ πρὸ τῶν ὅρων καθεζομένῳ καὶ ἀττικῆς. ἀχθομένῳ μὲν τῇ τυραννίδι, δικαίαν τὲ ζητοῦντι καὶ ἀττικῆς ἔξοδον. ταῦτα γὰρ ᾠκονόμησεν ὁ χρησμὸς αὐτοῖς. ὁρῶν οὖν αὐτοὺς πλανήτων ἔχοντας στολὴν, συνεῖς τι δύναται πλάνη, καλεῖ τοὺς ἄνδρας ἐπὶ ξενίαν, ὑπηρετῶν τῷ χρησμῷ λανθάνων. οἷδ' ἥσθησαν, τὸν ἡγεμόνα τὸν ἀπὸ τῶν ξενίων εἰληφότες. καὶ πάντα

 αὐτῷ

αὐτῷ διηγησάμενοι, στρατηγὸν ἐχειροτονήθησαν αὐτῶν. οἱ μὲν οὖν τὸν θεὸν φασὶν ἐρωτήσαντα, ἐξελθεῖν. οἱ δὲ, οὐκ ἄνευ γνώμης τοῦ τυράννου τὴν ἔξοδον πεποιηκέναι. ἀλλὰ τοῦδ' κρατοῦντι τὴν πρόσκλησιν τῶν θρᾳκῶν διηγησάμενον ἀπελθεῖν. οἷς καὶ προσδοὺς δύναμιν, ἀπέπεμψεν, ἡσθεὶς ὅτι μέγα δυνάμενος ἀνὴρ ἔξεισι τῶν ἀθηνῶν. οὗτος οὖν ἡγούμενος, ἐπλήρωσε τὰ μεμαντευμένα. καὶ μετὰ τὴν νίκην γίνεται καὶ χερρονήσου οἰκιστής. ἀποθανόντος δὲ μετὰ παιδὸς αὐτοῦ, διαδέχεται τὴν ἐν χερρονήσῳ ἀρχὴν, στησαγόρας ὁ ἀδελφὸς αὐτοῦ ὁμομήτριος. ἀποθανόντος δὲ καὶ τούτου, διαδέχεται τὴν ἀρχὴν μιλτιάδης, ὁμώνυμος μὲν τοῦδ' πρώτῳ οἰκιστῇ, ἀδελφὸς δὲ στησαγόρου ὁμομήτριος, καὶ ὁμοπάτριος. οὗτος οὖν, ὄντων αἰτῷ παίδων ἐξ ἀττικῆς γυναικός, ὅμως ἐπιθυμῶν δυναστείας, λαμβάνει θρᾳκῶν βασιλέως ὀλόρου θυγατέρα ἡγησιπύλην πρὸς γάμον. ἐξ οὗ καὶ αὐτῆς γίνεται παιδίον. κατελθόντων δὲ εἰς τὴν ἑλλάδα πορσῶν, συσκευασάμενος τὰ αὐτοῦ, εἰς τὰς ἀθήνας πέμπει. καὶ τὰ πολλὰ τοῦ γένους ἀποστέλλει. ἡ δὲ ναῦς ἁλίσκεται, ἐν ᾗ καὶ οἱ παῖδες αὐτοῦ, ἀλλ' οὐχ οἱ ἐκ τῆς γυναικὸς τῆς θρᾳκικῆς. ἀφίενται δ' ὑπὸ βασιλέως, εἴγε μὴ ἡρόδοτος ψεύδεται. Μιλτιάδης δ' εἰς τὴν ἀττικὴν ἐκ θράκης διαφυγὼν, σώζεται. οὐκ ἀπέδρα δὲ καὶ τὴν τῶν συκοφαντίαν. ἐγκλήματα γὰρ αὐτῷ διεξιόντες τὴν τυραννίδα. ἀποφεύγει δὲ κατήγορος τοῦ πρὸς

τοὺς

τοὺς βαρβάρους πολέμου γίγνεται. ἀπὸ τούτου οὖν
κατάγεσθαί φησι τὸ θουκυδίδου γένος.
καὶ μέγιστον τεκμήριον νομίζουσι τὴν πολλὴν περιου-
σίαν. καὶ τὰ ἐπὶ θρᾴκης κτήματα, καὶ
μέταλλα χρυσᾶ. δοκεῖ οὖν τισὶν,
εἶναι τοι μιλτιάδου, ἢ θυγατριδοῦς. πα-
ρέχε δ' ἡμῖν τὴν ἄλλως αὐτὸς ζήτησιν, μηδεμίαν μνή-
μην περὶ τοι γένος πεποιημένος. μὴ ἀγνοῶμεν δὲ
τοῦτο, ὅτι ὄρολος ὁ πατὴρ αὐτῷ ἐστὶ, καὶ μὲν πρώτης
συλλαβῆς τὸ ρ ἐχούσης. καὶ δὲ δευτέρας, τὸ λ. αὕτη γὰρ
ἡ γραφὴ, ὡς καὶ διδύμῳ δοκεῖ, ἡμάρτηται. ὅτι γὰρ ὄρο-
λός ἐστιν, ἡ στήλη δηλοῖ ἡ ἐπὶ τοι τάφου αὐτοι κειμένη, ἔνθα
κεχάρακται,
Θουκυδίδης ὀρόλου ἁλιμούσιος ἐνθάδε κεῖται.
Πρὸς γὰρ ταῖς μελιρίσι πύλαις καλουμέναις, ἔστιν
ἐν κοίλῃ τὰ καλούμενα κιμώνια μνήματα, ἔνθα δείκνυται
ἡροδότου καὶ θουκυδίδου τάφος. εὑρίσκεται δηλονότι
τοι μιλτιάδου γένος ὄντος. ξένος γὰρ οὐδεὶς ἐκεῖ
θάπτεται. καὶ πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως
μαρτυρεῖ, ἔνθα καὶ θεο αὐτῷ
γεγενῆσθαι προσιστορεῖ. ὁ δὲ ἑρμιππος καὶ ἀπὸ τῶν
πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἕλκειν τὸ γέ-
νος. διὸ καὶ διαφθονεῖν αὐτόν φησιν ἐν τῇ συγγραφῇ
τοῖς περὶ ἁρμόδιον, καὶ ἀριστογείτονα, λέγοντα, ὡς οὐκ
ἐγένοντο τυραννοφόνοι. οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον,
ἀλλὰ τὸν ἀδελφὸν τοι τυράννου ἵππαρχον. ἠγάγετο δὲ

γυναῖκα ἀπὸ σκαπτῆς ὕλης καὶ θρᾴκης πλουσίαν σφόδρα, καὶ μέταλλα κεκτημένην ἐν τῇ θρᾴκῃ. τοῦτον δὲ τὸν πλοῦτον λαμβάνων, οὐκ εἰς τρυφὴν ἀνήλισκεν, ἀλλὰ πρὸ τοῦ πελοποννησιακοῦ πολέμου τὸν πόλεμον αἰσθηθεὶς κινεῖσθαι μέλλοντα, προελόμενος συγγράψαι αὐτὸν, παρεῖχε πολλὰ τοῖς ἀθηναίων στρατιώτας, καὶ τοῖς λακεδαιμονίων, καὶ πολλῖς ἄλλοις, ἵνα, ἀπαγγέλλοιεν αὐτοῦ βουλομένῳ συγγράφειν τὰ γινόμενα κατὰ καιρὸν, καὶ λεγόμενα ἐν αὐτῷ τῷ πολέμῳ. ζητητέον δὲ, διὰ τί καὶ λακεδαιμονίοις παρεῖχε, καὶ ἄλλοις, ἐξὸν ἀθηναίοις μόνοις διδόναι καὶ παρ' ἐκείνων μανθάνειν. καὶ λέγομεν, ὅτι οὐκ ἀσκόπως καὶ τοῖς ἄλλοις παρεῖχε. σκοπὸς γὰρ ἦν αὐτῷ, τὴν ἀλήθειαν τῶν πραγμάτων συγγράψαι. εἰκὸς δὲ ἦν, ἀθηναίους πρὸς τὸ χρήσιμον ἀπαγγέλλοντας τὸ ἑαυτῶν ψεύδεσθαι, καὶ λέγειν πολλάκις ὡς ἡμεῖς ἐνικήσαμεν, οὐ νικήσαντες. διὸ πᾶσι παρεῖχεν ἐκ καὶ τῶν πολλῶν συμφωνίας θηρώμενος τὸ καὶ ἀληθείας κατάληψιν. τὸ γὰρ ἀσαφὲς, ἐξελέγχεται τῇ τῶν πολλῶν συναδούσῃ συμφωνίᾳ. ὅθεν φησὶν ὁ ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, καὶ ἐκεῖθεν θεωρίας ἐμφορηθείς. ἤκουσε δὲ διδασκάλων, ἀναξαγόρου μὲν ἐν φιλοσόφοις, ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρός. οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ, ὡς αἰτίου καὶ καταλύσεως καὶ δημοκρατίας, καὶ καὶ τῶν τετρακοσίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι τὸν ἀντιφῶντα οἱ ἀθηναῖοι ἔρριψαν ἔξω τῆς πόλεως τὸ σῶμα, σεσιώ-

μα σεσιώπηκεν, ὡς διδασκάλῳ χαριζόμενον. λέγεται γὰρ ὡς ἔξέψαν αὐτοῦ τὸ σῶμα οἱ ἀθηναῖοι, ὡς αἰτίου γενομένου τῆς μεταβολῆς τῆς δημοκρατίας. οὐκ ἐπολιτεύσατο δὲ ὁ συγγραφεὺς χρόνον ἐν ἡλικίᾳ, οὐδὲ ποσῶς ἔοικε βουλομένῳ, ἐξετάζεσθαι ἀρχὴν κακοῦ ἄρχειν παρασκευάζων. ἀπὸ γὰρ ταύτης φυγαδεύεται. πεμφθεὶς γὰρ ἐπ' ἀμφίπολιν, βρασίδου φθάσαντος, καὶ προλαβόντος αὐτῷ, ἔσχεν αἰτίαν. καί τοι μὴ πάντα κατασὰς ἀνόνητος ἀθηναίοις, τῆς μὲν γὰρ ἀμαρτάνει. κιόνα δὲ πρὸς ἐπὶ Στρυμόνι λαμβάνει, ἀλλὰ καὶ οὕτω τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες, φυγαδεύουσιν αὐτόν. χρόνῳ δ' ἐν Θουρίοις μετὰ τῶν φυγῶν, ὡς ἂν πλουτῶν, ἐθάνασε τὰ πλεῖστα τῶν χρημάτων. ἀλλὰ καὶ ἔνθεν μετῆλθε. καὶ διατρίβων ἐν σκαπτῇ ὕλῃ, ὑπὸ πλατάνῳ ἔγραφε μή γαρ δὴ πειθόμενα ἁμαίῳ λέγοντι, ὡς φυγὼν ὤκησεν ἐν ἰταλίᾳ, ἔγραφε δ' οὐδ' οὕτω μνησικακῶν τοῖς ἀθηναίοις, ἀλλὰ φιλαλήθης ὤν, καὶ τὰ ἤθη μέγας, εἴ γε οὔτε κλέωνι παρ' αὐτῷ, οὔτε βρασίδᾳ ὁ καὶ συμφορᾶς αἴτιος, ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῖς συγγραφέως ὀργιζομένου καί τοι οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι σωτέθυσαν τὰς ἰσορίας, ἥκιστα μελήσαν αὐτοῖς τῆς ἀληθείας. ἥδοτο μὲν γὰρ ξυμφορᾷ θεὶς ὑπὸ κοινοῦ, ἀποδρᾶναι φησὶν αὐτοὺς πλὴν ἐν σαλαμῖνι ναυμαχίαν. τίμαιος δ' ὁ ταυρομενίτης ὑμολόηται ὑποδεπνῆσαι τοῖς μετρίοις, καθότι ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα, οὐ κατέλυσε τῆς μοναρχίας. φίλιστος δὲ ὁ νεὼς διονυσίῳ τοῖς λόγοις πολεμεῖ. ξενοφῶν δὲ

μένωνι λοιδορεῖται τοῦ πλάτωνος ἑταίρῳ, διὰ τὸν πρὸς πλάτωνα ζῆλον. ὁ δὲ μέτριος, καὶ ἐπιεικὴς, καὶ ἀληθείας ἥττων. μὴ ἀγνοῶμεν δὲ, ὅτι ἐγένοντο θουκυδίδαι πολλοί. οὗτός τε ὀλόρου παῖς, καὶ δεύτερος δημαγωγὸς μιλησίου ὃς καὶ περικλεῖ διεπολιτεύσατο. τρίτος δὲ γένει φαρσάλιος, οὗ μέμνηται πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς μένωνος. τέταρτος ἄλλος θουκυδίδης ποιητὴς, τὸν δῆμον ἀχερδούσιος, οὗ μέμνηται ἀνδροτίων ἐν τῇ ἀτθίδι, λέγων εἶναι πατρὸς ἀρίστωνος. συνεχρόνισε δ' ὥς φησι πραξιφάνης ἐν τοῦ περὶ ἱστορίας, πλάτωνι τοῦ κωμικῷ, ἀγάθωνι τραγικῷ, νικηράτῳ ἐπωποιῷ, καὶ χοιριδίῳ, καὶ μελανιππίδῃ. καὶ ἐπεὶ μὲν ἔζη ἀρχέλαος, ἄδοξος ἦν ὡς ἐπιπλεῖστον, ὡς αὐτὸς πραξιφάνης φησίν. ὕστερον δὲ δαιμονίως ἐθαυμάσθη. οἱ μὲν οὖν ἐκεῖ λέγουσιν αὐτὸν ἀποθανεῖν, ἔνθα καὶ διέτριβε φυγὰς ὤν. καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι τὸ σῶμα ἐπὶ καὶ ἀττικῆς. ἱκρίον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι, τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον, καὶ νόμιμον ἀττικόν, τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτηκότων, καὶ μὴ ἐν ἀθήναις ταφέντων. δίδυμος δ' ἐν ἀθήναις ἀπὸ τῆς φυγῆς ἐλθόντα, βιαίῳ θανάτῳ φησὶν ἀποθανεῖν. τοῦτο δέ φησι ζώπυρον ἱστορεῖν. τοὺς γὰρ ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι, πλὴν τῶν πεισιστρατιδῶν μετὰ τὴν ἧτταν τὴν ἐν σικελίᾳ. ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ, καὶ τεθῆναι ἐν τοῖς κιμωνίοις μνήμασι. καὶ καταγινώσκειν ἐνήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὴ

τετελευ-

πεπλουτηκέναι, ἐστὶ γὰρ δὲ ὃτε καὶ πενιχρῶς πεπάφθαι. εἰ γοῦν οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασι συγκεκλεισμένη πεῖσαι οὐκ ἂν ἔτυχεν, οὔτε σήλης, οὔτε ἐπιγράμματος, ἢ τοῦ τάφου προσκειμένη, τοῦ συγγραφέως μνημεῖα τὸνομα. ἀλλὰ δῆλον, ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει, καὶ δημόται ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ χώραν λαχεῖν νομίζω, λέγοντα τοῦτον ἐν θράκῃ πεπλουτηκέναι, κἂν ἀληθεύειν νομίζει πράττοντος αὐτόν. τὸν δ' ἐν Ἰταλίᾳ τίμαιον αὐτὸς Ϛ ἄλλους λέγειν κεῖσθαι, μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. λέγεται δ' αὐτὸς τε εἶδος γεγονέναι σώφρων μὲν τὸ πρόσωπον, πλὴν δὲ κεφαλῆς καὶ τὰς τρίχας, εἰ ὀξὺ περφυκέναι, τοῦ τε λοιποῦ ἕξιν προσπεφυκέναι τῇ συγγραφῇ. παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα δὲ συγγραφῆς τὴν προθεσμίαν. ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης, εἰς μὲν τὴν οἰκονομίαν, ὁμήρου, πινδάρου δὲ, εἰς δὲ μεγαλοφυὲς, καὶ ὑψηλὸν τὸ χαρακτῆρος. ἀσαφῶς δὲ λέγων ἀνὴρ ἰδιώτικῶς, ἵνα μὴ πᾶσιν εἴη βατός. μηδὲ εὐπλεῖς φαίνηται παντὶ τῷ βουλομένῳ νοεῖσθαι, εὐχερῶς. ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος, παρὰ τούτοις θαυμάζηται. ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινούμενος, Ϛ κεκριμένος δόξαν λαβὼν ἀνάγραπτον, εἰς τὸν ἔπειτα χρόνον κέκτηται πλὴν τιμὴν, οὐ κινδυνευόμενον ἀληθείᾳ τοῖς ἐπικρίνουσιν. ἐζήλωσε δὲ ἐπ' ὀλίγον, ὡς φασιν ἄντιφῶντος, καὶ τὰς γοργίου τοῦ λεοντίνου παρισώσεις, καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων ἐνδοκιμήσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι,

ἔλλησι, καὶ μάλιστα καὶ πρὸς ἱκου τὸν κίου τῶν ἐπὶ τοῖς
ἀνόμασιν ἀκριβολογίαν. μάλιστα δὲ πάντων ὅπερ εἰπο-
μὲν, ἐζήλωσεν ὅμηρον, καὶ ὡς πρὶ τὰ ὀνόματα ἐκλογῆς,
καὶ ὡς πρὶ τὴν σαφήνειαν ἀκριβείας, ὡς τε ἰχνῶ ὡς
μὴ τῶν ἐμμιγείων, καὶ τὸ κάλλους, καὶ τὸ τάχους. αὐ-
δὲ πρὸ αὐτὸ συγγραφέων τε, καὶ ἰσοσικῶν, ἀψύχους ὥσπ
ἐυσαγαγόντων τὰς συγγραφὰς, καὶ φιλῆ μόνη χρησα-
μένων διαπεπτὸς δικηήσει, προσώποις δὲ οὐ προσθέντων
λόγους τινὰς, οὐδὲ ποικσάντων δημηγορίας, ἀλλ' ἁπλοῦ
μοῦ ἐπιχειρήσαντ, οὐ μὴν ἐζισχύσαντ. δι' ὀλίγων
γὰρ ἰποίησε λόγων, ὡς προσωποποιΐας μᾶλλον, ἢ πρ
δημηγορίας, μόν ὁ συγγραφεὺς ἐζεῦρέ τε δημηγορίας,
καὶ τελείως ἐποίησε μετὰ κεφαλαίων, καὶ διαιρέσεως,
ὥσε μὴ σάσει ὑποπίπτειν τὰς δημηγορίας, ὅπερ ὄζι λόγων
τελείων εἰκών. τριῶν δὲ ὄντων χαρακτήρων φασικῶν,
ὑφιλοῦ, ἰχνοῦ, μέσου, παρεὶς τοὺς ἄλλους, ἐζήλωσε τὸν
ὑφηλόν, ὡς ὄντα τῇ φύσει πρόσφορον τῇ οἰκείᾳ, καὶ τῷ
μεγέθ πρέποντα τὸ τοσούτου πολέμου. ὧν γὰρ ἀ
πράξεως μεγάλας, τὸν πρὶ αὐτῶν ἔπρεπε λόγον ἐρικέναι
ταῖς πράξεσιν. ἵνα δὲ μηδὲ τοὺς ἄλλους ἀγνοῇς χαρα-
κτῆρας, ἴσθι ὅτι μέσῳ μοῦ κρόσοτ ἐχρήσατο, ὃς οὔτε
ὑφηλός ὄζιν, οὔτε ἰχνός. ἰχνῷ δὲ ὁ ξενοφῶν. διά γε οὖν
τὸν ὑφηλὸν ὁ θουκυδίδης καὶ ποικίλαις πολλάκις ἐχρήσατο
λέξεσι, καὶ μεταφοραῖς τισι. πρὶ δὲ πάσης δὴ συγγρα-
φῆς, ἐτόλμησάν τινες ἀποφήναθαι, ὅτι αὐτὸ δ' εἰδ
δὴ συγγραφῆς, οὐκ ἔσι ξυτοσικῆς, ἀλλὰ ποικίλης, καὶ ὅτι
μοῦ οὐκ

μὲν οὐκ ἔστι ποικτικῆς, δῆλον ἐξ ὧν οὐχ ὑποπίπτει μέ-
τρῳ τινὶ. εἰ δέ τις ἡμῖν ἀντείποι, ὅτι οὐ πάντως ὁ πεζὸς
λόγος ῥητορικῆς ἐστιν, ὥσπερ οὐδὲ τὰ πλάτωνος συγ-
γράμματα, οὐδὲ τὰ ἰατρικὰ, λέγομεν ὅτι ἀλλ' ἡ συγγρα-
φὴ κεφαλαίοις διαιρεῖται, καὶ ἐπὶ εἶδος ἀνάγεται ῥητο-
ρικῆς. κοινῶς μὲν πᾶσα συγγραφὴ ἐπὶ τὸ συμφουλευτι-
κόν. ἄλλοι δὲ καὶ ὑπὸ τὸ πανηγυρικὸν ἀνάγουσι, φάσκον-
τες ὅτι ἐγκωμιάζει τοὺς ἀρίστους ἐν τοῖς πολέμοις γενο-
μένοις. ἐξαιρέτως δὲ ἡ θουκυδίδου ἐν τοῖς τρισὶν εἴδεσιν
ὑποπίπτει. τῷ μὲν συμβουλευτικῷ, διὰ τὴν ὅλων δημη-
γοριῶν πλὴν καὶ πλαταιέων, καὶ θηβαίων, ἐν τῇ τρίτῃ. τῷ
δὲ πανηγυρικῷ, διὰ τοῦ ἐπιταφίου. τῷ δὲ δικανικῷ, διὰ
καὶ δημηγορίας τὴν πλαταιέων, καὶ τὴν θηβαίων, ἃς ἀνω-
τέρω τὴν ἄλλων ὑπεξειλώμεθα. ἵπου γὰρ δικασταὶ κρί-
νουσι λακεδαιμονίων οἱ παραγενόμενοι, καὶ κρίνεται πρὸς
τὴν ἐρώτησιν ὁ πλαταιεύς. καὶ ἀπολογεῖται, περὶ ὧν
ἐρωτᾶται, διὰ πλειόνων τοὺς λόγους ποιούμενος, καὶ
ἀντιλέγει τούτοις ὁ θηβαῖος, εἰς ὀργὴν τὸν λακεδαιμόνιον
προκαλούμενος. ἡ τοῦ λόγου τάξις, καὶ μέθοδος. καὶ
τὸ σχῆμα δικανικὸν καθαρῶς ἀποφαίνει τὸ εἶδος. λέγουσι
δέ τινες, τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι, καὶ μὴ εἶναι
θουκυδίδου. ἀλλ' οἱ μὲν φασιν εἶναι καὶ θυγατρὸς αὐτοῦ,
οἱ δὲ ξενοφῶντος. πρὸς οὓς λέγομεν, ὅτι καὶ μὲν θυγα-
τρὸς ὡς οὐκ ἔστι, δῆλον οὐ γὰρ γυναικείας ἦν φύσεως,
τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι. ἔπειτα εἰ
τοιαύτη τὶς ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν. οὐ δ' ἂν τὴν

ὀγδόῳ ἔγραψε μόνον, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἄν, τιὺ οἰκείαν ἐκφαίνουσα φύσιν. ὅτι δὲ οὐδὲ ξυνοφῶντός ὄσιν, ὁ χαρακτὴρ μονονουχὶ βοᾷ. πολὺ γὰρ τὸ μέσον ἴσχυε χαρακτῆρος, καὶ ὑψηλοῦ. οὐμιὺ οὐδὲ θεοπόμπου, καθά τινες ἠξίωσαν. τισὶ δὲ, καὶ μᾶλλον τοῖς χαριεστέροις Θουκυδίδου μιὺ εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος δ' ἐκτύπων γεγραμμένη. καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων καλλωπισθῆναι, καὶ λαθεῖν ἕκτασιν δυναμένων. ἔνθεν καὶ λέγομεν, ὡς ἀσθενέστερον πέφρασαι, καὶ ὀλίγον καθότι ἀξιοῖ τῶν αὐτιὺ φαίνεται σωστικῶς. ἀσθενοῦντος δὲ σώματος, βραχύ τι καὶ ὁ λογισμὸς ἀπονώτερος εἶναι φιλεῖ. μικρὸν γὰρ συμπάσχουσιν ἀλλήλοις, ὅ, τε λογισμὸς, καὶ τὸ σῶμα. ἀπέδωκε δὲ μετὰ τὸν πόλεμον τὸν πελοποννησιακὸν ἐν τῇ θράκῃ, συγγράφων τὰ πράγματα τῶν εἴκοσι καὶ πρώτων ἐνιαυτῶν. εἴκοσι γὰρ καὶ ἑπτὰ κατέσχεν ὁ πόλεμος. τὰ δὲ τῶν ἄλλων ἑξετῶν πράγματα ἀναπληροῖ ὅ, τε Θεόπομπος καὶ ὁ ξυνοφῶν, οἷς σωάπτει τὴν ἑλληνικὴν ἱστορίαν. ἰσέον δὲ, ὅτι τραχηγήσας ὁ θουκυδίδης ἐν ἀμφιπόλει, καὶ δόξας ἐκεῖ βραδέως ἀφικέσθαι, καὶ προλαβόντος αὐτὸν τοῦ βρασίδου, ἐφυγαδεύθη ὑπὸ ἀθηναίων, διαβάλλοντος αὐτὸν τοῦ κλέωνος. διὸ καὶ ἀπεχθάνεται τῷ κλέωνι, καὶ ὡς μεμισότα αὐτὸν εἰσάγει πανταχοῦ, καὶ κῶφον καὶ ἀπελθών, ὥς φασιν, ἐν τῇ θράκῃ τὸ κάλλος ἐκεῖ φησὶ συγγραφῆς σωεθηκεν. ἀφ' οὗ μιὺ γὰρ ὁ πόλεμος ἤρξατο, ἐσημειοῦτο τὰ λεγόμενα ἅπαντα, καὶ τὰ πραπόμενα.

πόμενα. οὐμὲν κάλλους ἐφρόντισε τὴν ἀρχὴν, ἢ τοῦ μόνον σῶσαι τῇ σκευῇ τὰ πράγματα. ὕστερον δὲ μετὰ τὴν διήγησιν, ἣν σκαπανῆ ὕλην τῆς δράκης χωρὶς διατρώγων, συνέταξε μετὰ κάλλους, ἃ ὀξαρχῆς μόνον ἐδήμιουτο διὰ τὴν μνήμην. ἔστι τοῖς μύθοις ἐναντίος, διὰ τὸ χαίρειν ταῖς ἀληθείαις. οὐ γὰρ ἐπετήδευσε τοῖς ἄλλοις ταυτὸν συγγραφεῦσιν, οὐδὲ ἱστορικοῖς, οἱ μύθους ἐγκατέμιξαν ταῖς ἑαυτῶν ἱστορίαις τοῦ τερπνοῦ πλέον τῆς ἀληθείας ἀναποιήμονοι. ἀλλ' ἐκεῖνοι μὲν οὕτω. ὁ δὲ συγγραφεὺς οὐκ ἐμέλησε πρὸς τέρψιν τῶν ἀκουόντων, ἀλλὰ πρὸς ἀκρίβειαν τῶν μανθανόντων γράφειν. καὶ γὰρ ὠνόμασεν, ἀγώνισμα τὴν ἑαυτοῦ συγγραφήν. πολλὰ γὰρ τῶν πρὸς ἡδονὴν ἀπέφυγε τὰς παρεμβάσεις, ἃς εἰώθασι ποιεῖν οἱ πλείονες, ἀποκλίνας. ὅπου γὰρ καὶ παρὰ Ἡροδότῳ καὶ ὁ Θελφὶς ὄζει ὁ Θεολόγος, καὶ ἀρίωνος ὁ κυβερνώμενος μουσικῆ. καὶ ὅλως ἡ δευτέρα τῶν ἱστοριῶν τὴν ὑπόθεσιν ψεύδεται. ὁ δὲ συγγραφεὺς οὕτως ἂν ἀναμνησθῇ τινος πορισμοῦ, διὰ μὲν τὴν ἀνάγκην λέγει, δικαίως δὲ μόνον εἰς γνῶσιν τῶν ἀκουόντων ἀφικνεῖται. ὅ, τε γὰρ περὶ τρεῖς αὐτῷ λόγους πέφρασται μόνον, περὶ παθῶν τῶν γυναικῶν, ἢ τε κυκλώπων ἱστορία, τῶν τόπων ἐμνημονεύθη χάριν. καὶ ὁ ἀλκμαίων, ὅτι σωφρονεῖν μνημονεύεται, ἔνθα τὰ μὲν σωφροσύνης αὐτοῦ νήσους ποιεῖ, τὰ δ' ἄλλα οὐκ ἀκριβοῖ. περὶ μὲν οὖν τοὺς μύθους τοιοῦτος. ἑνὸς δὲ ἕκαστα ἐγράφησαν. καὶ ἐν μὲν τοῖς μέρεσι, σαφῆς, ὑπὸ δὲ τὴν σύνταξιν, ἐνίοτε

διὰ τὸ ἐπιτεῖνον καὶ ἑρμηνείας, ἄδηλος εἶναι δοκῶν. ἔχει δὲ χαρακτῆρα ὑπέρσεμον, καὶ μέγα. τὸ δὲ καὶ συνθέσεως τραχύτητος ὂν μεστὸν, καὶ ἐμβριθὲς, καὶ ὑπερβατικὸν, ἐνίοτε δὲ καὶ ἀσαφὲς. αἱ δὲ βραχύτητες θαυμασταὶ, καὶ τῶν λέξεων οἱ νόες πλείονες. τὸ δὲ γνωμολογικὸν αὐτοῦ πάνυ ἐπαινετόν. ἐν δὲ ταῖς ἀφηγήσεσι σφόδρα δυνατὸς, ναυμαχίας ἡμῖν καὶ πολιορκίας, νόσους τε καὶ στάσεις διηγούμενος. πολυειδὴς δὲ ἐν τοῖς σχήμασι τὰ πολλά. καὶ τῶν γοργίου τοῦ λεοντίνου μιμούμενος, ταχὺς ἐν ταῖς σημασίαις, πικρὸς ἐν ταῖς αὐστηρότησιν. ἠθῶν μιμητὴς, καὶ ἄριστος διαγραφεὺς. ὄψει γοῦν παρ' αὐτῷ φρόνημα περικλέους, καὶ κλέωνος, οὐκ οἶδ' ὅ, τι ἂν εἴποι τίς. ἀλκιβιάδου νεότητα, θεμιστοκλέους πάντα, νικίου χρηστότητα, δεισιδαιμονίαν, εὐτυχίαν μέχρι σικελίας, καὶ ἄλλα μύρια, ἃ κατὰ μέρος ἐπιδεῖν πειρασόμεθα. ὡς ἐπιπλεῖστον δὲ χρῆται τῇ ἀρχαίᾳ ἀτθίδι τῇ παλαιᾷ, ἢ τὸ ξ ἀντὶ τοῦ σ παρείληφεν, ὅταν ξυνέγραψε, ξυμμαχίαν λέγῃ. καὶ τὴν δίφθογγον τὴν αι ἀντὶ τοῦ α γράφει, αἰεὶ λέγων. καὶ ὅλως ἐφευρετής ἐστι καινῶν ὀνομάτων. τὰ μὲν γάρ ἐστιν ἀρχαιότερα τῶν καθ' αὑτὸν χρόνων, τὸ αὐτοβοεὶ, καὶ τὸ πολεμησείοντες, καὶ παγχάλεπον, καὶ ἁμαρτάδα, καὶ ὕλης φακέλους. τὰ δὲ ποιηταῖς μέλει, οἷον τὸ ἐπιλύγξαι, καὶ τὸ ἐπηλύται, καὶ τὸ ἀνακῶς, καὶ τὰ τοιαῦτα. τάδ' ἴδια, οἷον ἀποσίμωσις, καὶ κωλύμη, καὶ ἀποτείχισις, καὶ ὅσα ἄλλα, παρ' ἄλλοις μὲν οὐ κεῖται, ὑπ' αὐτοῦ δὲ λέλεκται. μέλει δὲ αὐτῷ καὶ

ὧδε καὶ ὄγκου τῶν ὀνομάτων, καὶ δεινότητος τῶν ἐνθυμημάτων. καὶ ὥσπερ φθάσαντες εἴπομεν, βραχύτητος συντάξεως. τὰ γὰρ πολλὰ τῶν πραγμάτων καὶ λέξει δείκνυται. τέθεικε δὲ πολλάκις καὶ πάθη, καὶ πράγματα ἀντάνδρων, ὡς τὸ ἀντίπαλον δέος. ἔχει δὲ καί τι τοι πανηγυρικοῦ, ἐν οἷς ἐπιταφίους λέγει, καὶ ποικίλως εἰρωνείας εἰσφέρων, καὶ ἐρωτήσεις ποιούμενος, καὶ φιλοσόφοις εἴδεσι δημηγορῶν. ἐν οἷς γὰρ ἀμοιβαῖός ἐστι, φιλοσοφεῖ τὴν μέντοι ἰδέαν αὐτοῦ τῶν λέξεων, καὶ τῶν συνθέσεων, αἰτιῶνται οἱ πλείους, ὧν ἐστὶ, διονύσιος ὁ ἁλικαρνασσεὺς. μέμφεται γὰρ αὐτῷ ὡς πεζῇ καὶ πολιτικῇ λέξει χρῆσθαι μὴ δυναμένῳ, οὐκ εἰδὼς ὅτι ταῦτα πάντα δυνάμεως ἐστὶ περιττῆς, καὶ ἕξεως πλεονεξίας. φαίνεται δὲ ἐπὶ τῶν ἡροδότου χρόνων γενόμενος, εἴγε ὁ μὲν ἡρόδοτος μέμνηται καὶ θηβαίων ἐσβολῆς ἐς τὴν πλάταιαν, περὶ ἧς ἱστορεῖ θουκυδίδης ἐν τῇ δευτέρᾳ. λέγεται δέ τι καὶ τοιοῦτον, ὥσποτε τοῦ ἡροδότου τὰς ἰδίας ἱστορίας ἐπιδεικνυμένου, παρὼν τῇ ἀκροάσει θουκυδίδης, καὶ ἀκούσας, ἐδάκρυσεν. ἔπειτά φασι τὸν ἡρόδοτον τοῦτο θεασάμενον, εἰπεῖν αὐτοῦ πρὸς τὸν πατέρα τὸν ὄλορον. ὦ ὄλορε ὀργᾷ ἡ φύσις τοῦ υἱοῦ σου πρὸς μαθήματα. ἐτελεύτησε δὲ ἐν τῇ θρᾴκῃ. καὶ οἱ μὲν λέγουσιν, ὅτι ἐκεῖ ἐτάφη. ἄλλοι λέγουσιν ὅτι ἐν ταῖς ἀθήναις ἠνέχθη τὰ ὀστᾶ αὐτοῦ κρύφα παρὰ τῶν συγγενῶν, καὶ οὕτως ἐτάφη. οὐ γὰρ ὀξὺν φανερῶς θάπτειν ἐν ἀθήναις τὸν ἐπὶ προδοσίᾳ φεύγοντα. ἔστι δὲ αὐτοῦ τάφος πλησίον τῶν πυλῶν, ἐν

χωρίῳ καὶ ἀττικῆς, ὃ κοίλη καλεῖται, καθά φησιν ἄντυλ-
λος, ἀξιόπιστος ἀνὴρ μαρτυρῆσαι, καὶ ἱστορίαν γνῶναι,
καὶ διδάξαι δεινός. καὶ στήλη δέ φησιν ἕστηκεν ἐν τῇ κοί-
λῃ, θουκυδίδης ἁλιμούσιος ἔχουσα ἐπίγραμμα. τινὲς
δὲ προσέθηκαν καὶ τὸ, ἐνθάδε κεῖται. ἀλλὰ λέγομεν,
ὅτι νοούμενόν ἐστι τοῦτο, καὶ προσυπακουόμενοι. οὐδὲ
γὰρ ἔκειτο ἐν τῷ ἐπιγράμματι. ἔστι δὲ τὴν ἰδέαν καὶ
τὸν χαρακτῆρα μεγαλοπρεπὴς, ὡς μηδὲ ἐν τοῖς οἴκτοις
ἀφίστασθαι τοι μεγαλοπρεποῦς, ἐμβριθὴς τὴν φράσιν,
ἀσαφὴς τὴν διάνοιαν, διὰ τὸ ὑπερβατοῖς χαίρειν, ὀλί-
γοις ὀνόμασι πολλὰ πράγματα δηλῶν. καὶ ποικι-
λώτατος μὲν ἐν τοῖς καὶ λέξεως σχήμασι. κατὰ δὲ
τὴν διάνοιαν, τοὐναντίον ἀσχημάτιστος. οὔτε γὰρ εἰρω-
νείαις, οὔτε ἐπιτιμήσεσιν, οὔτε ταῖς ἐκ πλαγίου ῥήσε-
σιν, οὔτε ἄλλαις τισὶ πανουργίαις πρὸς τὸν ἀκροατὴν
κέχρηται, τοι δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικ-
νυμένου τὴν δεινότητα. οἶμαι δὲ οὐκ ἀγνοίᾳ σχηματισ-
μοῦ τοι κατὰ διάνοιαν, παρεῖναι τὸν θουκυδίδην τὸ
τοιοῦτον, ἀλλὰ τοῖς ὑποκειμένοις προσώποις πρέπον-
τας, καὶ ἁρμόζοντας, καὶ συντιθέντα τοὺς λόγους. οὐ γὰρ
ἔπρεπε περικλεῖ, καὶ ἀρχιδάμῳ, καὶ νικίᾳ, καὶ βρα-
σίδᾳ, ἀνθρώποις μεγαλόφροσι, καὶ γενναίοις, καὶ
ἡρωϊκὴν ἔχουσι δόξαν, λόγους εἰρωνείας καὶ πανουρ-
γίας περιτιθέναι, ὡς μὴ παῤῥησίαν ἔχουσι φανερῶς
ἐλέγχειν, καὶ ἄντικρυς μέμφεσθαι, καὶ ὁτιοῦν βού-
λονται λέγειν. διατοῦτο τὸ ἄπλαστον, καὶ ἀνηθοποίη-

τον

τὸν ἐπετήδευσε, σώζων κἀν τούτοις τὸ προσῆκον, καὶ τῇ τέχνῃ δοκοῦν. τεχνήτου γὰρ ἀνδρὸς, φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν, καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον. Ἰστέον δὲ, ὅτι τὴν πράγματείαν αὐτοῦ οἱ μὲν κατέτεμον εἰς τρισκαίδεκα ἱστορίας. ἄλλοι δὲ ἄλλως. ὅμως δὲ ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, τὸ μέχρι τῶν ὀκτὼ διῃρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ ἀσκληπιός.

ΒΙΟΣ ΘΟΥΚΥΔΙΔΟΥ ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.



Θουκυδίδης ὀλόρου ἀθηναῖος. παῖδα δὲ ἔσχε τιμόθεον. ἦν δὲ ἀπὸ μὲν μητρὸς μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἕλκων. ἀπὸ δὲ πατρὸς, ὀλόρου τοῦ θρᾳκῶν βασιλέως, μαθητὴς ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζ ὀλυμπιάδα. ἔγραψε δὲ τὸν πόλεμον τῶν πελοποννησίων καὶ ἀθηναίων. οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων ἡροδότου. ὃς, ἐπὶ τῆς ὀλυμπίας τὰς ἱστορίας αὐτοῦ διερχομένου, ἃς συνεγράψατο, κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ, πλήρης δακρύων ἐγένετο. καὶ ὁ ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν, πρὸς τὸν πατέρα θουκυδίδου ὄλορον ἔφη μακαρίζω σε τῆς εὐτεκνίας ὄλορε. ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα. καὶ οὐκ ἐψεύσθη γε καὶ ἀποφάνσεως. οὗτος ὁ θουκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις, κάλλει λόγων, καὶ ἀκριβείᾳ πραγμάτων, καὶ στρατηγίαις, καὶ συμβουλίαις, καὶ πανηγυρικαῖς ὑποθέσεσιν, οὗτος ὁ συγγραφεὺς μεταβαίνειν εἴωθεν ἀπὸ τῶν θηλυκῶν εἰς οὐδέτερα, οἷον τρέπονται εἰς μακεδονίαν, ἐφ' ὅπερ καὶ πρότερον καὶ θουκυδίδειος γραφή.

ΘΟΥΚΥΔΙΔΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΠΡΩΤΗΣ.



Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι, καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ. Θ᾽ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς ἀνθρώποις ἐγίγνετο, καὶ μέρει τινὶ τῶν βαρβάρων. ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος, ἀφώνατον ἦν, ἐκ τεκμηρίων, ὧν οὐκ ἀπιστότατον σκοποῦντί μοι πίσυσα ξυμβαίνει, οὐ μεγάλα νομίζω γεγενῆσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα. φαίνεται γὰρ ἡ νῦν καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. οὐ γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ᾽ ξυμμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀρκοῦν καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὂν ὁπότε τις ἐπιλθὼν, καὶ ἀτειχίστων ὄντων,

ἄλλῳ ἀφαιρήσεται. οἱ τε καὶ ἡμέραν ἀναγκαίαν προ-
φῆς παντάχου ἂν ἡγέμονοι ξυλλεγθεῖεν, οὐ χαλεπῶς
ἂν παύσαντο. καὶ διὰ αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε
τῇ ἄλλῃ παρασκευῇ. μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς με-
ταβολὰς τῶν οἰκητόρων εἶχεν. ἥ τε νῦν θετταλία καλου-
μένη, καὶ βοιωτία, πελοποννήσου τε τὰ πολλὰ, πλὴν ἀρ-
καδίας, καὶ τἄλλης, ὅσα ἦν κράτιστα. διὰ γὰρ ἀρετὴν
γῆς, ἅτε δυνάμεις ἰσχυρότεραι ἐγιγνόμεναι, στάσεις
ἐνεποίουν, διὰ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων
μᾶλλον ἐπιβουλεύοντο. τὴν γοῦν ἀττικὴν ἐκ τῶν ἐπιπλεῖ-
στον διὰ δ λειπόγεων ἀσασίαστον οὖσαν, ἄνθρωποι ὠκουν
οἱ αὐτοὶ ἀεί. καὶ πρόδηγμα τόδε τοῦ λόγου οὐκ ἐλάχι-
στόν ὅτι, διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως ηὐξη-
θῆναι, ἐκ γὰρ τῆς ἄλλης ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκ-
πίπτοντες, παρ' ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον
ὂν ἀνεχώρουν. καὶ πολῖται γιγνόμενοι εὐθὺς ἀπὸ παλαιοῦ,
μείζω ἔτι ἐποίησαν πληθος ἀνθρώπων τὴν πόλιν. ὥστε
καὶ ἐς ἰωνίαν ὕστερον, ὡς οὐκ ἱκανῆς οὔσης τῆς ἀττικῆς,
ἀποικίας ἐξέπεμψαν. δηλοῖ δέ μοι καὶ τόδε τῶν πα-
λαιῶν ἀθήναιαν οὐκ ἰσχυρὰν. πρὸ γὰρ τῶν τρωϊκῶν οὐδεμία
φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ ἑλλάς. δοκεῖ δέ
μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασάπω εἶχον, ἀλλὰ τὰ μὲν
πρὸ ἑλλήνου τοῦ δευκαλίωνος, καὶ πάνυ οὐδὲ εἶναι ἡ
ξυλλησις αὕτη. κατὰ ἔθνη γὰρ ἄλλα τε, καὶ τὸ πελασγικὸν
ἐπιπλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι.
ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ φθιώτιδι ἰσχυ-
σάντων

ἐκ τῶν δύο
q. d. sc. pro
ἐκ τοῦ εἶναι.

σάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλ-
λας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον
καλεῖσθαι ἕλληνας. οὐ μὲν τοι πολλοῦ γε χρόνου ἠδύνατο
καὶ ἅπασιν ἐκνικῆσαι. τεκμηριοῖ δὲ μάλιστα ὅμηρος.
πολλῷ γὰρ ὕστερον ἔτι τῶν τρωϊκῶν γενόμενος, οὐδα-
μοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους, ἢ τοὺς μετ'
ἀχιλλέως ἐκ τῆς φθιώτιδος, οἵ περ καὶ πρῶτοι ἕλληνες
ἦσαν. δαναοὺς δὲ ἐν τοῖς ἔπεσι τῶν ἀργείους καὶ ἀχαιοὺς
ἀνακαλεῖ. οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ ἕλ-
ληνάς πω, ὡς ἐμοὶ δοκεῖ, ἀντίπαλον, εἰς ἓν ὄνομα ἀπο-
κεκρίσθαι. οἱ δ' οὖν ὡς. ἕκαστο ἕλληνες κατὰ πόλεις τε ὅσοι
ἀλλήλων ξυνίεσαν, καὶ ξύμπαντες ὕστερον κληθέντες, οὐδὲν
πρὸ τῶν τρωϊκῶν δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων
ἀθρόοι ἔπραξαν, ἀλλὰ καὶ ταύτην τὴν στρατιὰν, θαλάσσῃ
ἤδη τὰ πλείω χρώμενοι, ξυνῆλθον. μίνως γὰρ παλαιό-
τατος, ὧν ἀκοῇ ἴσμεν, ναυτικὸν ἐκτήσατο, τῆς νῦν ἑλ-
ληνικῆς θαλάσσης ἐπιπλεῖστον ἐκράτησε, καὶ τῶν κυ-
κλάδων νήσων ἦρξέ τε, καὶ οἰκιστὴς πρῶτος τῶν πλεί-
στων ἐγένετο, κάρας ἐξελάσας. καὶ τοὺς ἑαυτοῦ παῖδας
ἡγεμόνας ἐγκαταστήσας, τό, τε λῃστικὸν ὡς εἰκὸς καθήρει ἐκ
τῆς θαλάσσης ἐφόσον ἠδύνατο, τοῦ τὰς προσόδους μᾶλλον
ἰέναι αὐτοῦ. οἱ γὰρ ἕλληνες τοπάλαι τῶν βαρβάρων,
οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι, καὶ ὅσοι νήσοις εἶχον,
ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους,
ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν, οὐ τῶν ἀδυ-
νατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα, καὶ τοῖς

ἀσθενέσι τροφῆς. καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις, καὶ κατὰ κώμας οἰκουμένας, ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο, οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾷν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες εἰ λῃστάι εἰσιν. ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. ἐληίζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. καὶ μέχρι τοῦδε πολλὰ καὶ ἑλλάδος τοῦ παλαιῷ τρόπῳ νέμεται, περί τε λοκροὺς τοὺς ὀζόλας, καὶ αἰτωλοὺς, καὶ ἀκαρνᾶνας, καὶ τὴν τάυτῃ ἤπειρον. τό, τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις ἀπὸ καὶ παλαιᾶς λῃστείας ἐμμημένηκε. πᾶσα γὰρ ἡ ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀφράκτους τε οἰκήσεις, καὶ οὐκ ἀσφαλεῖς παρ' ἀλλήλους ἐφόδους. καὶ ξυνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι σημεῖον δ' ἐστὶ τᾶυτα τῆς ἑλλάδος ἔτι οὕτω νεμώμενα, τῶν ποτε καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. ἐν τοῖς πρῶτοι δὲ ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων, διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπάυσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. ἀφ' οὗ καὶ ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς ἐπιπολὺ αὕτη ἡ σκευὴ κατέσχε. μετρίᾳ

δ' αὖ

δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι λακεδαιμόνιοι ἐχρήσαντο. καὶ ἐς τὰ ἄλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι, ἰσοδίαιτοι μάλιστα κατέστησαν. ἐγυμνώθησάν τε πρῶτοι. καὶ ἐς τὸ φανερὸν ἀπεδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο. τόδε πάλαι καὶ ἐν τῷδε ὀλυμπιακῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ, ἠγωνίζοντο. καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν, οἷς νῦν, καὶ μάλιστα τοῖς ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται. καὶ διεζωσμένοι τοῦτο δρῶσι. πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀπεδείξειε τὸ παλαιὸν ἑλληνικὸν ὁμοιότροπα τῷδε νῦν βαρβαρικῷ διαιτώμενον. τῶν δὲ πόλεων, ὅσαι μὴ νεώτατα ᾠκίσθησαν, καὶ ἤδη πλωϊμωτέρων ὄντων, περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο, καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον, ἐμπορίας τε ἕνεκα, καὶ ἐπὶ πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος. αἱ δὲ παλαιαὶ, διὰ τὴν λῃστείαν ὑπὸ πολὺ ἀντιτεχοῦσαν, ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν ταῖς νήσοις, καὶ ἐν τοῖς ἠπείροις. ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι, κάτω ᾤκουν. καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί. καὶ οὐχ ἧσσον λῃστὰι ἦσαν οἱ νησιῶται, κᾶρές τε ὄντες, καὶ φοίνικες. οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν. μαρτύριον δὲ. δήλου γὰρ καθαιρομένης ὑπὸ ἀθηναίων ἐν τῷδε τῷδε πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ τῶν ὅπλων, ξυντεθαμμένοι

καὶ τῷ τρόπῳ, ᾧ νῦν ἔτι θάπτουσι. καταστάντος δὲ τοῦ μίνω ναυτικοῦ, πλωϊμώτερα ἐγένετο πρὸς ἀλλήλους οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε πρὸς τὰς πολλὰς αὐτῶν κατῴκιζε. καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι, μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι. βεβαιότερον ᾤκουν. καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλουσιότεροι ἑαυτῶν γιγνόμενοι. ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵ τε ἥσσους ὑπέμενον τὸν τῶν κρεισσόνων δουλείαν, οἵ τε δυνατώτεροι περιουσίας ἔχοντες, προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὑστέρῳ χρόνῳ καὶ Τροίαν ἐστράτευσαν. ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς ἑλένης μνηστῆρας ἄγων, τὸν στόλον ἀγεῖραι. λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα πελοποννησίων μνήμῃ πρὰ τῶν πρότερον δεδεγμένοι, πέλοπά τε πρῶτον πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς ἀσίας ἔχων, ἐς ἀνθρώπους ἀπόρους δύναμιν περιποιησάμενον, τὴν ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην ὄντα, ὅμως σχεῖν, καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι. εὐρυσθέως μὲν ἐν τῇ ἀττικῇ ὑπὸ ἡρακλειδῶν ἀπεθανόντος, ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος εὐρυσθέως ὅτ' ἐστράτευε, μυκήνας τε, καὶ τὴν ἀρχὴν καὶ τὸ οἰκεῖον ἀτρεῖ, τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν χρυσίππου θάνατον, καὶ ὡς οὐκέτι ἀνεχώρησεν εὐρυσθεὺς, βουλομένων, καὶ τῶν μυκηναίων, φόβῳ τῶν ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ πλῆθος

τεθρα-

τεθεραπευκότα τῶν μυκηναίων τε, καὶ ὅσων εὐρυσθεὺς ἦρχε. τὴν βασιλείαν ἀτρέα παραλαβεῖν, καὶ τῶν πρεσειδῶν τοὺς πελοπίδας μείζους καταστῆναι. ἅμοι δοκεῖ ἀγαμέμνων παραλαβὼν, καὶ ναυτικῷ τε ἅμα ἐπι πλέον τῶν ἄλλων ἰσχύσας, τὴν στρατιὰν οὐ χάριτι τῶν πλεῖον ἢ φόβῳ ξυναγαγὼν, ποιήσασθαι. φαίνεται γὰρ ναυσί τε πλείσαις αὐτὸς ἀφικόμενος, καὶ ἀρκάσι προσπαρασχὼν, ὡς ὅμηρος τοῦτο δεδήλωκεν, εἴτω ἱκανὸς τεκμηριῶσαι. καὶ γὰρ ἐν τοι σκήπτρου ἅμα τῇ παραδόσει, εἴρηκεν αὐτὸν πολλῇσι νήσοισι καὶ ἄργεϊ παντὶ ἀνάσσειν. οὐκ ἂν οὖν νήσων ἔξω τῶν πριοικίδων, αὐτῇ δὲ οὐκ ἂν πολλαὶ εἴησαν, ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι καὶ ναυτικὸν εἶχεν. εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατιᾷ, οἷα ἦν τὰ πρὸ αὐτῆς. καὶ ὅτι μὴ μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἂν τις σημείῳ χρώμενος, ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασι. καὶ ὁ λόγος κατέχει. λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, ληφθείη δὲ τά τε ἱερὰ, καὶ κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν καὶ δυνάμεως, προελθόντος πολλοῦ χρόνου, τοῖς ἔπειτα πρὸς τῶν κλέος αὐτῶν εἶναι. καί τοι πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμοντες τε ξυμπάσης ἡγοῦνται. καὶ τῶν ἔξω ξυμμάχων πολλῶν. ὅμως δὲ οὔτε ξυνοικισθείσης πόλεως, οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τοῦ παλαιῷ τῆς ἑλλάδος τρόπῳ οἰκισθείσεις, φαίνοιτ' ἂν ὑποδεεστέρα. ἀθηναίων δὲ τῶν αὐτὸ τοῦτο παθόντων, διπλασίαν

ἂν τὴν

ἂν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως, ἢ ἐστιν. οὔκουν ἀπιστεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν, ἢ τὰς δυνάμεις. νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην, μεγίστην μὲν γενέσθαι τῶν πρὸ ἀντ', λειπομένην δὲ τῶν νῦν, τῇ ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μέζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐν δεεστέρα. πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν τὰς μὲν βοιωτῶν, εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν. τὰς δὲ φιλοκτήτου, πεντήκοντα. δηλῶν ὡς ἐμοὶ δοκεῖ, τὰς μεγίστας, καὶ ἐλαχίστας. ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη. ἀντερέται δὲ ὅτι ἦσαν καὶ μάχιμοι πάντες ἐν ταῖς φιλοκτήτου ναυσὶ, δεδήλωκε. τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων, καὶ τῶν μάλιστα ἐν τέλει. ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν πολεμικῶν. οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ λῃστικώτερον παρεσκευασμένα. πρὸς τὰς μεγίστας γοῦν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι, οὗ πολλοὶ φαίνονται ξυνελθόντες, ὡς ἀπὸ πάσης τῆς ἑλλάδος κοινῇ πεμπόμενοι. αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον, ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλασσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν. ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, δῆλον δὲ (τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐχ ἂν ἐτειχίσαντο)

φαίνοντ'

φαίνοντι δ' οὐδ' ἐν ταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν καὶ χερρονήσου τραπόμενοι, καὶ λῃστείαν καὶ τροφῆς ἀπωρία, ἣ καὶ μᾶλλον οἱ τρῶες αὐτῶν διεσπάρμενον, τὰ δέκα ἔτη ἀντεῖχον, βίᾳ τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες. περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι, ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες, εἷλον. οἵ γε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ πρατυχόντι ἀντεῖχον. πολιορκίᾳ δ' ἂν προσκαθεξόμενοι, ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν, τά τε πρὸ τούτων ἀσθενῆ ἦν, καὶ αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑπὸ δεέστερα ὄντα τῆς φήμης, καὶ τοι νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατεσχηκότος, ἐπεὶ καὶ μετὰ τὰ τρωϊκὰ ἡ ἑλλὰς ἔτι μετανίστατό τε, καὶ μετῳκίζετο, ὥστε μὴ ἡσυχάσασα, αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν ἑλλήνων ἐξ ἰλίου χρονία γενομένη, πολλὰ ἐνεώχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπιπολὺ ἐγίγνοντο. ἀφ' ὧν ἐκπίπτοντες, τὰς πόλεις ἔκτιζον. βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ ἰλίου ἅλωσιν, ἐξ ἄρνης ἀναστάντες, ὑπὸ θεσσαλῶν, τὴν νῦν μὲν βοιωτίαν, πρότερον δὲ καδμηΐδα γῆν καλουμένην, ᾤκησαν. ἦν δὲ αὐτῶν καὶ ἀπόδασμος πρότερον ἐν τῇ γῇ ταύτῃ, ἀφ' ὧν καὶ ἐς ἴλιον ἐστράτευσαν. δωριεῖς τε ὀγδοηκοστῷ ἔτει ξὺν ἡρακλείδαις πελοπόννησον ἔσχον. μόγις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ ἑλλὰς βεβαίως, καὶ οὐκέτι

ἀνιστάμενη, ἀπρικίας ἐξέπεμπε. καὶ ἴωνας μὲν ἀθηναῖοι, καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν. ἰταλίας δὲ καὶ σικελίας τὸ πλεῖστον πελοποννήσιοι, τῆς τε ἄλλης ἑλλάδος ἐστὶν ἀχωρία. πάντα δὲ ταῦτα, ὕστερον τῶν τρωϊκῶν ἐκτίσθη. δυνατωτέρας δὲ γενομένης καὶ ἑλλάδος, καὶ τῶν χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων. πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι. ναυτικά τε ἐξηρτύετο ἡ ἑλλὰς, καὶ καὶ θαλάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ κορίνθιοι λέγονται ἐγγύτατα τοι νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς, καὶ τριήρεις ἐν κορίνθῳ πρῶτον καὶ ἑλλάδος ἐνναυπηγηθῆναι. φαίνεται δὲ καὶ σαμίοις ἀμεινοκλῆς κορίνθιος ναυπηγὸς, ναῦς ποιήσας τέσσαρας. ἔτη δ' ἐστὶ μάλιστα τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοι πολέμου, ὅτε ἀμεινοκλῆς σαμίοις ἦλθε. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται κορινθίων πρὸς κερκυραίους. ἔτη δὲ μάλιστα καὶ ταύτῃ ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοι χρόνου. οἰκοῦντες γὰρ τὴν πόλιν οἱ κορίνθιοι ἐπὶ τοι ἰσθμοῦ, ἀεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν ἑλλήνων τοπάλαι κατὰ γῆν τὰ πλείω, ἢ κατὰ θάλατταν, τῶν τε ἐντὸς πελοποννήσου, καὶ τῶν ἔξω διὰ καὶ ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων. χρήμασί τε δυνατοὶ ἦσαν ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται. ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ ἕλληνες μᾶλλον ἐπλωΐζοντο, τὰς ναῦς κτησάμενοι, τὸ λῃστικὸν καθῄρουν. καὶ ἐμπόριον παρέχοντες ἀμφότροι,

τεροι, δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν. ὃ ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ κύρου, περσῶν πρώτου βασιλεύοντος, καὶ καμβύσου τοῦ ἡέος αὐτοῦ. καὶ τε καθ' ἑαυτοὺς θαλάσσης κύρῳ πολεμοῦντες, ἐκράτησάν τινα χρόνον. καὶ πολυκράτης σάμου τυραννῶν, ἐπὶ καμβύσου ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο. καὶ ῥηνείαν ἑλὼν, ἀνέθηκε τῷ ἀπόλλωνι τῷ δηλίῳ. φωκαεῖς τε μασσαλίαν οἰκίζοντες, καρχηδονίους ἐνίκων ναυμαχοῦντες. δυνατώτατα γὰρ ταῦτο τῶν ναυτικῶν ἦν. φαίνεται δὲ καὶ ταῦτα πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα, ὥσπερ ἐκεῖνα. ὀλίγον τε πρὸ τῶν μηδικῶν ὃ τοῦ δαρείου θανάτου, ὃς μετὰ καμβύσην περσῶν ἐβασίλευσε, τριήρεις πρί τε σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο, καὶ κερκυραίαν. ταῦτα γὰρ τελευταῖα πρὸ καὶ ξέρξου στρατιᾶς ναυτικὰ ἀξιόλογα ἐν τῇ ἑλλάδι κατέστη. αἰγινῆται γὰρ καὶ ἀθηναῖοι, καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο, ὃ τούτων τὰ πολλὰ πεντηκοντόρους. ὀψέ τε ἀφ' οὗ ἀθηναίους θεμιστοκλῆς ἔπεισεν αἰγινήταις πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου προσδοκίμου ὄντος, τὰς ναῦς ποιήσασθαι, αἷς πρὸ καὶ ἐναυμάχησαν. καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταστρώματα. τὰ μὲν οὖν ναυτικὰ τῶν ἑλλήνων, τοιαῦτα ἦν, τά τε παλαιὰ, καὶ τὰ ὕστερον γενόμενα, ἰσχὺν δὲ πρὶ ἐποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσχόντες αὐτοῖς, χρημάτων τε προσόδῳ, καὶ ἄλλων ἀρχῇ. ἐπιπλέοντες γὰρ,

τὰς νήσους, κατεστρέφοντο. καὶ μάλιστα ὅσοι διαρκῆ εἶχον χώραν, κατὰ γῆν δὲ πόλεμος ὅθεν τὶς καὶ δύναμις πρεγένετο, οὐδεὶς ξυνέστη. πάντες δὲ ὅσοι ἦσαν, καὶ ἐγένοντο, πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις, καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξήεσαν οἱ ἕλληνες. οὐ γὰρ ξυνεστήκεσαν πρὸς τὰς μεγίστας πόλεις ὑπήκοοι, οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο, κατ' ἀλλήλους δὲ μᾶλλον, ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον χαλκιδέων, καὶ ἐρετριέων, καὶ τὸ ἄλλο ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη ἐπεγίγνετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα τοῦ μὴ αὐξηθῆναι, καὶ ἴωσι, προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων. κῦρος καὶ ἡ περσικὴ βασιλεία, κροῖσον καθελοῦσα, καὶ ὅσα ἐν τὸ ἄλυος ποταμοῦ, πρὸς θάλασσαν ἐπεστράτευσε, καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσε, δαρεῖός τε ὕστερον τῶν φοινικῶν ναυτικῷ κρατῶν, καὶ τὰς νήσους. τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι, ἔς τε τὸ σῶμα, καὶ ἐς τὸν τὸν ἴδιον οἶκον αὔξειν, δι' ἀσφαλείας ὅσον ἠδύναντο, μάλιστα τὰς πόλεις ᾤκουν. ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον, εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις. οἱ γὰρ ἐν σικελίᾳ ἐπιπλεῖστον ἐχώρησαν δυνάμεως. οὕτω πανταχόθεν ἡ ἑλλὰς ὑπὸ πολὺν χρόνον κατείχετο, μήτε κοινῇ φανερὸν μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι. ἐπειδὴ δὲ οἵ τε ἀθηναίων τύραννοι, καὶ οἱ ἐκ τῆς

ἄλλης

ἄλλης ἑλλάδος ἐπιπολὺ, καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι, καὶ τελευθαῖοι, πλὴν τῶν ἐν σικελίᾳ, ὑπὸ λακεδαιμονίων κατελύθησαν. ἡ γὰρ λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν δωριέων, ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη, καὶ ἀεὶ ἀτυράννευτος ἦν, ἔτη γάρ ἐστι μάλιστα. τετρακόσια, καὶ ὀλίγω πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται. καὶ δι' αὐτὸ δυνάμενοι, καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίστασαν. μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον, καὶ ἡ ἐν μαραθῶνι μάχη μήδων πρὸς ἀθηναίους ἐγένετο. δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν, αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στήλῳ ἐπὶ τὴν ἑλλάδα δουλωσόμενος ἦλθε, καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, οἵ τε λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων ἑλλήνων ἡγήσατο, δυνάμει προὔχοντες. καὶ οἱ ἀθηναῖοι, ἐπιόντων τῶν μήδων, διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι, ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο. κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν, πρός τε ἀθηναίους, καὶ λακεδαιμονίους, οἵ τε ἀπεστάντες βασιλέως ἕλληνες, καὶ οἱ ξυμπολεμήσαντες. δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη. ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί. Ὁ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία. ἔπειτα δὲ διενεχθέντες οἱ λακεδαιμόνιοι, Ὁ οἱ ἀθηναῖοι, ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους, καὶ τῶν ἄλλων ἑλλήνων

εἴ τινές που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν. ὥς τε
ἀπὸ τῶν μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πολέμιον, τὰ μὲν σπεν-
δόμενοι, τὰ δὲ πολεμοῦντες, ἢ ἀλλήλοις, ἢ τοῖς ἑαυτῶν
ξυμμάχοις ἀφισταμένοις εὖ παρεσκευάσαντο τὰ πολέ-
μια. καὶ ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μέ-
λέτας ποιούμενοι. καὶ οἱ μὲν λακεδαιμόνιοι οὐχ ὑποτε-
λεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους ἡγοῦντο, κατ' ὀλι-
γαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως, ὅπως πο-
λιτεύσωσι θεραπεύοντες. ἀθηναῖοι δὲ ναῦς τε τῶν πολε-
μίων τῷ χρόνῳ παραλαβόντες, ἦρχον, πλὴν χίων, καὶ λε-
σβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν. καὶ ἐγένετο
αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων,
ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας
ἠύθησαν. τὰ μὲν οὖν παλαιὰ τοιαῦτα εὗρον, χαλεπὰ
ὄντα παντὶ ἑξῆς τεκμηρίῳ πιστεῦσαι. οἱ γὰρ ἄνθρωποι τὰς
ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ,
ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. ἀθηναίων
γοῦν τὸν πλῆθος, ἵππαρχον οἴονται ὑφ' ἁρμοδίου καὶ
ἀριστογείτονος, τύραννον ὄντα, ἀποθανεῖν. καὶ οὐκ ἴσασιν,
ὅτι ἱππίας μὲν πρεσβύτατος ὤν, ἦρχε τῶν πεισιστράτου
ἡλέων. ἵππαρχος δὲ καὶ θεσσαλὸς, ἀδελφοὶ ἦσαν αὐτοῖ.
ὑπετοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ παραχρῆμα ἁρ-
μόδιος καὶ ἀριστογείτων, ἐκ τῶν ξυνειδότων σφίσιν,
ἱππία μεμηνύσθαι, τοι μὲν ἀπέσχοντο, ὡς προειδότος,
βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι, δράσαντές τι καὶ κιν-
δυνεῦσαι, τῷ ἱππάρχῳ περιτυχόντες περὶ τὸ λεωκόριον

καλου-

Noëma

pro ἐπιτ

x omnibus signis ordine consideratis

καλέμμον, τῶν παναθηναϊκῶν πομπῶν διακοσμοῦσι, ἀπέκτειναν. πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα, καὶ οὐ χρόνῳ ἀμυκδάμενα, καὶ οἱ ἄλλοι ἕλληνες οὐκ ὀρθῶς οἴονται, ὥσπερ τούς τε λακεδαιμονίων βασιλέας, μὴ μιᾷ ψήφῳ προτίθεσθαι ἑκάτερον, ἀλλὰ δυεῖν. ☾ τὸν πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. οὕτως ἀταλαίπωρον τοῖς πολλοῖς ἡ ζήτησις ἦν τῆς ἀληθείας, καὶ ἐπὶ τὰ ἕτοιμα μᾶλλον τρέποντα. ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως τοιαῦτα ἄν τις νομίζων μάλιστα ἃ διῆλθομεν, οὐκ ἁμαρτάνοι. καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει, ἧττον ἀληθέσθαι, ὄντα ἀνεξέλεγκτα. καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενίκηκότα, εὑρῆσθαι δὲ ἔγκαμμον ἐκ τῶν ἐπιφανεστάτων σημείων ὡς παλαιὰ εἶναι ἀπραγόντως. καὶ ὁ πόλεμος οὗτος, καὶ τῷ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν πάροντα ἀεὶ μέγιστον κρινόντων. θαυμαζόντων δὲ, τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι, δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν. καὶ ὅσα μὲν λόγῳ εἰπόμενοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν. ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ, ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς

ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν λεχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ παρατυχόντος πιστευομένου, ἠξίωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις, οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων ἢ εὐνοίας, ἢ μνήμης ἔχοι, καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται. ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτέ αὖθις κατὰ τὸ ἀνθρώπινον, τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτά, ἀρκούντως ἕξει. κτῆμά τε ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμά ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται. τῶν δὲ πρότερον ἔργων, μέγιστον ἐπράχθη τὸ Μηδικόν, καὶ τοῦτο ὅμως δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν, ταχεῖαν τὴν κρίσιν ἔσχε, τοῦτον δὲ τὸν πολέμου μῆκός τε μέγα προῆλθε, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι, οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαῦδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, ἄλλαι ὑπὸ σφῶν αὐτῶν ἀνταπολεμούντων. εἰσὶ δὲ αἱ καὶ οἰκίσεως ὕστ. μετέβαλον, ἀλισκόμεναι. οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων. καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν τὸν πόλεμον, ὁ δὲ διὰ τὸ στασιάζειν. τά τε πρότερον, ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σαφῶς οὐ πιστευόμενα. οὐκ ἄπιστα κατέστησε, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς, καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ

τῶν

τῆς πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν. αὐχμοί τε ἐστὶ, παρ' οἷς μεγάλοι, καὶ ἀπ' αὐτῶν καὶ λιμοί, καὶ ἡ οὐχήκιστα βλάψασα, καὶ μέρος τί φθείρασα, ἡ λοιμώδης νόσος. ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα ξυνεπέθετο. ἤρξαντο δὲ αὐτοῦ ἀθηναῖοι, καὶ πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο μετὰ εὐβοίας ἅλωσιν. διότι δ' ἔλυσαν, τὰς αἰτίας ἔγραψα πρῶτον, καὶ τὰς διαφορὰς, τοῦ μή τινας ζητῆσαί ποτε ἐξότου τοσοῦτος πόλεμος τοῖς ἕλλησι κατέστη. τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους, καὶ φόβον παρέχοντας τοῖς λακεδαιμονίοις, ἀναγκάσαι ἐς τὸ πολεμεῖν. αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι, αἵδ' ἦσαν ἑκατέρων, ἀφ' ὧν λύσαντες τὰς σπονδὰς, ἐς τὸν πόλεμον κατέστησαν.

Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν ἰώνιον τι κόλπον. προσοικοῦσι δ' αὐτὴν ταυλάντιοι βάρβαροι, ἰλλυρικὸν ἔθνος. ταυτὴν ἀπῴκισαν μὲν κορκυραῖοι. οἰκιστὴς δ' ἐγένετο φάλιος ἐρατοκλείδου, κορίνθιος γένος, τῶν ἄφ' ἡρακλέους. κατὰ δὴ τὸν παλαιὸν νόμον, ἐκ τῶν μητροπόλεως κατακληθείς. ξυνῴκισαν δὲ καὶ τῶν κορινθίων τινὲς, καὶ ἄλλοι ἐκ τοῦ δωρικοῦ γένους. προελθόντος δὲ τοῦ χρόνου, ἐγένετο ἡ τῶν ἐπιδαμνίων πόλις μεγάλη, καὶ πολυάνθρωπος. στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλὰ, ὡς λέγεται, ἀπὸ πολέμου τινὸς τῶν προσοίκων βαρβάρων, ἐφθάρησαν, καὶ τῶν δυνάμεως τῆς πολλῆς ἐστερήθησαν.

τὰ δὲ πελοποννησιακὰ, πρὸ τοῦδε τοῦ πολέμου, ὁ δῆμος αὐτῶν ἠξεδίωξε τοὺς δωριακούς. οἱ δὲ ἀπελθόντες μετὰ τῶν βαρβάρων, ἐλκίζονσι τοὺς ἐν τῇ πόλει, κατά τε γῆν, καὶ κατὰ θάλασσαν. οἱ δὲ ἐν τῇ πόλει ὄντες ἐπιδάμνιοι, ἐπειδὴ ἐπιέζοντο, πέμπουσιν ἐς τὴν κέρκυραν πρέσβεις, ὡς μητρόπολιν οὖσαν, δεόμενοι μὴ σφᾶς περιορᾶν φθειρομένους, ἀλλὰ τόν τε φεύγοντας σωαλλάξαι σφίσι, καὶ τὸν πρὸς βαρβάρων πόλεμον καταλῦσαι. ταῦτα δὲ ἱκέται καθεζόμενοι ἐς τὸ ἡραῖον, ἐδέοντο. οἱ δὲ κερκυραῖοι τὴν ἱκετείαν οὐκ ἐδέξαντο, ἀλλ' ἀπράκτους ἀπέπεμψαν. γνόντες δὲ οἱ ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ κερκύρας ὠμωρίαν οὖσαν, ἐν ἀπόρῳ εἶχοντο δέεσθαι τὸ παρόν. καὶ πέμψαντες ἐς δελφοὺς, τὸν θεὸν ἐπηρώτων, εἰ παραδοῖεν κορινθίοις τὴν πόλιν, ὡς οἰκισταῖς, καὶ ὠμωρίαν ἀνὰ πεζῶν τ' ἀπ' αὐτῶν ποιεῖσθαι. ὅσ' αὐτοῖς ἀνεῖλε παραδοῦναι, καὶ ἡγεμόνας ποιεῖσθαι. ἐλθόντες δὲ οἱ ἐπιδάμνιοι ἐς τὴν κόρινθον, κατὰ τὸ μαντεῖον, παρέδοσαν τὴν ἀποικίαν, τόν τε οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ κορίνθου ὄντα, καὶ τὸ χαλκεῖον δηλοῦντες, ἐδέοντό τε μὴ σφᾶς περιορᾶν διαφθειρομένους, ἀλλ' ἐπαμῦναι. κορίνθιοι δὲ κατά τε τὸ δίκαιον ὑπεδέξαντο τὴν ὠμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν, ἢ κερκυραίων. ἅμα δὲ καὶ μῖσος τὸ πρὸς κερκυραίους, ὅτι ἀυτῶν παρημέλουν ὄντες ἄποικοι. οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα, οὔτε κορινθίῳ ἀνδρὶ προκαταρχόμενοι τοῦ ἱερῶν, ὥσπερ αἱ ἄλλαι ἀποικίαι τιμῶντες, ἢ αὖ-

τοὺς,

τοὺς, Ϲ χρημάτων δυνάμει ὄντες κατ' ἐκεῖνον τὸν χρόνον ὅμοια τοῖς ἑλλήνων πλουσιωτάτοις, καὶ τῇ ἐς πόλεμον πρασκευῇ δυνατώτροι. ναυτικῷ δὲ Ϲ πολὺ προέχειν ἔστιν ὅτε ἐπαιρόμενοι, Ϲ κατὰ τὴν τῶν φαιάκων προσνοίκησιν τὴν κερκύρας, κλέος ἐχόντων τὰ περὶ τὰς ναῦς, ἢ καὶ μᾶλλον ἐξηρτύοντο τὸν ναυτικὸν, Ϲ ἦσαν οὐκ ἀδύνατοι. τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς, ὅτε ἤρχοντο πολεμεῖν. πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ κορίνθιοι, ἔπεμπον ἐς τὴν ποτίδαμνον ἄσμενοι τὴν ὠφέλειαν. οἰκήτορά τε τὸν βουλόμενον ἰέναι κελεύοντες, Ϲ ἀμπρακιωτῶν, καὶ λευκαδίων, καὶ ἑαυτῶν φρουρούς. ἐπορεύθησαν δὲ πεζῇ ἐς ἀπολλωνίαν, κορινθίων οὖσαν ἀποικίαν, δέει τῶν κερκυραίων, μὴ κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλατταν περαιούμενοι. κερκυραῖοι δὲ ἐπειδὴ ᾔσθοντο τούς τε οἰκήτορας, καὶ φρουροὺς ἥκοντας ἐς τὴν ποτίδαμνον, τήν τε ἀποικίαν κορινθίοις δεδομένην, ἐχαλέπαινον καὶ πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσί, καὶ ὕστερον ἑτέρῳ στόλῳ, τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτοὺς, ἦλθον γὰρ ἐς τὴν κέρκυραν οἱ τῶν ἐπιδαμνίων φυγάδες, τάφους τε ἀπεδεικνύντες, καὶ ξυγγένειαν, ἣν προϊσχόμενοι, ἐδέοντο σφᾶς κατάγειν, τούς τε φρουροὺς, οὓς οἱ κορίνθιοι ἔπεμψαν, καὶ τοὺς οἰκήτορας ἀπέμπειν, οἱ δὲ ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπήκουσαν, ἀλλὰ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ κερκυραῖοι ναυσὶ τεσσαράκοντα μετὰ τῶν φυγάδων, ὡς κατάξοντες, καὶ τοὺς ἰλλυριοὺς προσλαβόντες, προσκαθεζόμενοι δὲ τῇ πόλει, προεῖπον ἐπιδαμνίων τε τὸν βουλόμενον,

μένον, καὶ τοὺς ξένους ἀπαθεῖς ἀπιέναι. εἰ δὲ μὴ, ὡς πο-
λεμίοις χρήσεσθαι. ὡς δ' οὐκ ἐπείθοντο, οἱ μὲν κορκυ-
ραῖοι (ἔστι δ' ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν.
κορίνθιοι δ' ὡς αὐτοῖς ἐκ τῆς ἐπιδάμνου ἦλθον ἄγγελοι, ὅτι
πολιορκοῦνται, πρεσκευάζοντο στρατιὰν, καὶ ἅμα ἀπρικίαν
ἐς τὴν ὑπόδαμνον ἐκήρυσσον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βου-
λόμενον ἰέναι. εἰ δέ τις τοπαραυτίκα μὲν μὴ ἐθέλοι ξυμ-
πλεῖν, μετέχειν δὲ βούλεται καὶ ἀποικίας, πεντήκοντα
δραχμὰς καταθέντα κορινθίας, μένειν. ἦσαν δὲ καὶ οἱ
πλέοντες πολλοὶ, καὶ οἱ τὸ ἀργύριον καταβάλλοντες. ἐδε-
ήθησαν δὲ καὶ τῶν μεγαρέων ναυσὶ σφας ξυμπροπέμψαι,
εἰ ἄρα κωλύοιντο ὑπὸ κορκυραίων πλεῖν. οἱ δὲ πρεσκευά-
ζοντο αὐτοῖς ὀκτὼ ναυσὶ ξυμπλεῖν. καὶ παλῆς κεφαλλή-
νων, τέσσαρσι. καὶ ἐπιδαυρίων ἐδεήθησαν, οἳ παρέσχον
πέντε, ἑρμιονῆς δὲ, μίαν. καὶ τροιζήνιοι, δύο λευκάδιοι
δὲ, δέκα. καὶ ἀμπρακιῶται, ὀκτώ. θηβαίους δὲ χρήματα
ᾔτησαν, καὶ φλιασίους. ἠλείους τε ναῦς τε κενὰς, καὶ χρή-
ματα. αὐτῶν δὲ κορινθίων, νῆες πρεσκευάζοντο τριάκοντα,
καὶ τρισχίλιοι ὁπλῖται. ἐπειδὴ δὲ ἐπήθοντο οἱ κορκυραῖοι
τὴν πρασκευὴν, ἐλθόντες εἰς κόρινθον μετὰ λακεδαιμο-
νίων καὶ σικυωνίων πρέσβεων, οὓς παρέλαβον, ἐκέλευον
κορινθίους, τοὺς ἐν ἐπιδάμνῳ φρουρούς τε καὶ οἰκήτορας
ἀπάγειν, ὡς οὐ μετὸν αὐτοῖς ἐπιδάμνου. εἰ δ' ἔτι ἀντι-
ποιοῦνται, δίκας ἤθελον δοῦναι ἐν πελοποννήσῳ παρὰ
πόλεσιν, αἷς ἂν ἀμφότεροι ξυμβῶσιν. ὁποτέρων δ' ἂν
δικασθῇ εἶναι τὴν ἀπρικίαν τούτους κρατεῖν. ἤθελον δὲ καὶ

τοῦ

τῶν ἐν δελφοῖς μαντείῳ ἐπιτρέψαι. πόλεμον δὲ οὐκ εἴων ποιεῖν. εἰ δὲ μὴ, καὶ αὐτοὶ ἀναγκασθήσεσθαι ἔφασαν. ἐκείνων βιαζομένων, φίλους ποιεῖσθαι οὓς οὐ βούλοντο, ἑτέρους τῶν νῦν ὄντων μᾶλλον, ὠφελείας ἕνεκα. οἱ δὲ κορίνθιοι ἀπεκρίναντο αὐτοῖς, ἢν τάς τε ναῦς καὶ τοὺς βαρβάρους ἀπὸ ἐπιδάμνου ἀπαγάγωσι, βουλεύσεσθαι, πρότερον δὲ οὐ καλῶς ἔχειν, τοὺς μὲν πολιορκεῖσθαι, ἑαυτοὺς δὲ δικάζεσθαι. κερκυραῖοι δὲ ἀντέλεγον, ἢν καὶ ἐκεῖνοι τοὺς ἐν ἐπιδάμνῳ ἀπάγωσι, ποιήσειν ταῦτα. ἕτοιμοι δὲ εἶναι καὶ ὥστε ἀμφοτέρους μένειν κατὰ χώραν, σπονδὰς δὲ ποιήσασθαι, ἕως ἂν ἡ δίκη γένητο κορίνθιοι δὲ οὐδὲν τούτων ὑπήκουον. ἀλλ' ἐπειδὴ πλήρεις αὐτοῖς ἦσαν αἱ νῆες, καὶ οἱ ξύμμαχοι παρῆσαν, προπέμψαντες κήρυκα πρότερον πόλεμον προσροῦντα κερκυραίοις, ἄραντες ἑβδομήκοντα ναυσὶ καὶ πέντε, δισχιλίοις τε ὁπλίταις, ἔπλεον ἐπὶ τὴν ὠλίδαμνον, κερκυραίοις ἐναντία πολεμήσοντες. ἐστρατήγει δὲ τῶν μὲν νεῶν ἀριστεὺς ὁ πελλίχου, καὶ μαλλικράτης ὁ καλλίου, καὶ τιμάνωρ ὁ τιμάνθους. τοῦ δὲ πεζοῦ, ἀρχέτιμός τε ὁ εὐρυτίμου, καὶ ἰσαρχίδας ὁ ἰσάρχου. ἐπειδὴ δ' ἐγένοντο ἐν ἀκτίῳ καὶ ἀνακτορίας γῆς, οὗ τὸ ἱερὸν τοῦ ἀπόλλωνός ἐστιν, ἐπὶ τῷ στόματι τοῦ ἀμπρακικοῦ κόλπου, οἱ κερκυραῖοι κήρυκά τε προέπεμψαν αὐτοῖς ἐν ἀκτίῳ ἀπροῦντα μὴ πλεῖν ὠλίσφας, καὶ τὰς ναῦς ἅμα ἐπλήρουν, ζεύξαντές τε τὰς παλαιὰς, ὥστε πλωΐμους εἶναι καὶ τὰς ἄλλας ἐπισκευάσαντες. ὡς δὲ ὁ κῆρυξ τε ἀπήγγειλεν οὐδὲν εἰρηναῖον παρὰ τῶν κορινθίων, καὶ αἱ νῆες αὐτοῖς ἐπεπλήρωντο οὖσαι ὀγδοήκοντα,

(πασαρᾶκοντα γὰρ ὧν ἐβδομον ἐπολιόρκουν) ἀνταναγό-
μενοι καὶ παρατεταγμένοι, ναυμάχησαν, καὶ ἐνίκησαν
οἱ κερκυραῖοι πασαπολυ. καὶ ναῦς τε πεντεκαίδεκα διέ-
φθειραν τῶν κορινθίων. τῇ αὐτῇ δὲ ἡμέρᾳ ἀυτοῖς ξυνέβη καὶ
τοὺς τῶν ἐβδομον πολιορκοῦντας παρασπασάσθαι δρόμῳ ad
λογίᾳ, ὥσ τε τοὺς μὲν ἐπικλυσθὰς ἀποδόσθαι. κορινθίους δὲ
δήσαντας ἔχειν, ἕως ἂν ἄλλο τι δόξῃ. μετὰ δὲ τὴν ναυ-
μαχίαν οἱ κερκυραῖοι τροπαῖον στήσαντες ἐπὶ τῇ λευκίμ-
μῃ. καὶ κερκύρας ἀκρωτηρίῳ, τοὺς μὲν ἄλλους, οὓς ἔλα-
βον ἀιχμαλώτους, ἀπέκτειναν. κορινθίους δὲ δήσαντες
εἶχον. ὕστερον δὲ, ἐπειδὴ οἱ κορίνθιοι, καὶ οἱ ξύμμαχοι
ἅπαντες τοῖς ναυσὶν, ἀνεχώρησαν ἐς οἴκου, τῆς θαλάσσης
ἀπάσης ἐκράτουν τῆς κατ' ἐκείνου τὰ χωρία οἱ κερκυραῖοι.
καὶ πλεύσαντες ἐς λευκάδα τὴν κορινθίων ἀποικίαν, καὶ
γῆς ἔτεμον. καὶ κυκλώσαντο τὸ ἡλείων τεῖχισμα ἐνέπρησαν,
ὅτι ναῦς καὶ χρήματα παρέχον κορινθίοις. τοῦ τε χρόνου
πολὺ πλεῖστον μετὰ τὴν ναυμαχίαν ἐπεκράτουν τῆς θαλάσ-
σης, καὶ τοὺς τῶν κορινθίων ξυμμάχους ἐπιπλέοντες,
ἔφθειραν μέχρις οὗ κορίνθιοι, στρατιὰν μεγάλην πέμψαν-
τες ναῦς καὶ πεζὰς, ἐπεὶ σφῶν οἱ ξύμμαχοι ἐπόνουν,
ἐστρατοπεδεύοντο ἐπὶ ἀκτίῳ, καὶ πρὸς τὸ χειμέριον τῆς
διαπλωτίδος, φυλακῆς ἕνεκα τῆς τε λευκάδος, καὶ τῶν
ἄλλων πόλεων, ὅσαι σφίσι φίλιαι ἦσαν. ἀντεστρατοπε-
δεύοντο δὲ καὶ οἱ κερκυραῖοι ἐπὶ τῇ λευκίμμῃ, ναυσί τε,
καὶ πεζῷ. ἐπέπλεόν τε οὐδέτεροι ἀλλήλοις. ἀλλὰ τὸ
δέος τοῦτο ἀνακαθεζόμενοι, χειμῶνος ἤδη ἀνεχώρη-
σαν ἐπ'

σαν ἐπ' οἴκου ἑκάτεροι. τὸν δ' ἐνιαυτὸν πάντα τὸν μετὰ τὴν ναυμαχίαν, καὶ τὸν ὕστερον, οἱ κορίνθιοι ὀργῇ φέροντες τὸν πρὸς κερκυραίους πόλεμον ἐναυπηγοῦντο, ὁ παρεσκευάζοντο τὰ κράτιστα νεῶν στόλον, ἔκ τε αὐτῆς πελοποννήσου ἀγείροντες, καὶ καὶ ἄλλης ἑλλάδος ἐρέτας μισθῷ πείθοντες. πυνθανόμενοι δὲ οἱ κερκυραῖοι τὴν παρασκευὴν αὐτῶν, ἐφοβοῦντο, καὶ ἦσαν γὰρ οὐδενὸς ἑλλήνων ἔνσπονδοι, οὐδὲ ἐπεγράψαντο ἑαυτοὺς, οὔτε ἐς τὰς ἀθηναίων σπονδὰς, οὔτε ἐς τὰς λακεδαιμονίων, ἔδοξεν αὐτοῖς ἐλθοῦσιν ὡς τοὺς ἀθηναίους, ξυμμάχους γενέσθαι, καὶ ὠφέλειάν τινα πειρᾶσθαι ἀπ' αὐτῶν εὑρίσκεσθαι. οἱ δὲ κορίνθιοι πυθόμενοι ταῦτα, ἦλθον καὶ αὐτοὶ ἐς τὰς ἀθήνας πρεσβευσόμενοι, ὅπως μὴ σφίσι πρὸς τῷ κερκυραίων ναυτικῷ, καὶ τ' αὐτῶν προσγενόμενον, ἐμπόδιον γένηται θέσθαι τὸν πόλεμον ἢ βούλονται. κατασάσης δὲ ἐκκλησίας, ἐς ἀντιλογίαν ἦλθον. καὶ οἱ μὲν κερκυραῖοι ἔλεξαν τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΕΡΚΥΡΑΙΩΝ.

Δίκαιον ὦ ἀθηναῖοι τοὺς (μήτε εὐεργεσίας μεγάλης, μήτε ξυμμαχίας προοφειλομένης) ἥκοντας παρὰ τοὺς πέλας ἐπικουρίας, ὥσπερ καὶ ἡμεῖς νῦν δεησομένους, ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν. ὡς καὶ ξύμφορα δέονται, εἰ δὲ μὴ, ὅτι γε οὐκ ἐπιζήμια. ἔπειτα δὲ, ὡς καὶ τὴν χάριν

χάριν βέβαιον ἕξουσιν. εἰ δὲ τούτων μηδὲν σαφὲς καταστή-
σουσι, μὴ ὀργίζεσθαι, ἢν ἀτυχῶσι. κορκυραῖοι δὲ μετὰ τῆς
ξυμμαχίας τῆς αἰτήσεως, καὶ ταῦτα πιστεύοντες ἐχυρὰ
ὑμῖν παρέξεσθαι, ἀπέστηλαν ἡμᾶς. τετύχηκε δὲ τὰ αὐτὸ
ἐπιτήδευμα πρός τε ὑμᾶς ἐς τὴν χρείαν, ἡμῖν ἄλογον, τὰ
ἐς τὰ ἡμέτερα αὐτῶν, ἐν τῷ παρόντι ἀξύμφορον ξύμμα-
χοί τε γὰρ οὐδενός πω ἐν τῷ προτοῦ χρόνῳ ἑκούσιοι,
γενόμενοι, νῦν ἄλλων τοῦτο δεησόμενοι ἥκομεν. καὶ ἅμα
ἐς τὸν παρόντα πόλεμον κορινθίων ἔρημοι δι' αὐτὸ κα-
θέστημεν. καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σω-
φροσύνη, τὰ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώ-
μῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη.
τὴν μὲν οὖν γενομένην ναυμαχίαν. αὐτοὶ καταμόνας
ἀπεωσάμεθα κορινθίους. ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ
πελοποννήσου, καὶ τῆς ἄλλης ἑλλάδος ἐφ' ἡμᾶς ὥρμην-
ται, καὶ ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες τῇ οἰκείᾳ μόνον
δυνάμει περιγενέσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ
ἐσόμεθα ὑπ' αὐτοῖς, ἀνάγκη καὶ ὑμῶν, καὶ ἄλλου παντὸς
ἐπικουρίας δεῖσθαι. καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας δό-
ξης δὲ μᾶλλον ἁμαρτίᾳ, τῇ πρότερον ἀπραγμοσύνῃ
ἐναντία τολμῶμεν. γενήσεται δὲ ὑμῖν πειθομένοις καλὴ
ἡ ξυντυχία κατὰ πολλὰ τῆς ἡμετέρας χρείας. πρῶτον μὲν,
ὅτι ἀδικουμένοις, τοῦ οὐχ ἑτέρους βλάττουσι, τὴν ἐπικουρίαν
ποιήσεσθε ἔπειτα, περὶ τῶν μεγίστων κινδυνεύοντας δεξά-
μενοι, ὡς ἂν μάλιστα μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν
κατάθησθε. ναυτικόν τε κεκτήμεθα, πλὴν τοῦ παρ' ὑμῖν,
πλεῖστον,

πλεῖσον, ⁊ σκέψασθε τίς ἐυπραξία σωτηριωτέρα, ἢ τὶς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἦρ ὑμεῖς ἂρ πρὸ πολλῶν χρημάτων, καὶ χάριτος ἐτιμήσασθε δώσαμεν ὑμῖν προσχωρέσαι, αὖτη πάρεσιν ἀκινδύνως ἀπαλλαγὴ δοῦσα ἑαυτὴν. καὶ προσέτι φέρουσα ἐσμὸν τοὺς πολλοὺς ἀρετῆς. οἷς δὲ ἐπαμωβῆτε, χάριν. ὑμῖν δ' αὐτοῖς ἰσχὺν, ἃ νῦν ⁊ παρόντα χρόνῳ ὀλίγοις δ' ἅμα πάντα ξωβῆναι. καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς ἐπικαλοῦνται, ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ λαμβάνοντες παραγίγνονται τὸν δὲ πόλεμον, δι' ὃν πᾶς χρήσιμοι ἂν εἶημεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει, καὶ οὐκ ἀισθάνεται τοὺς λακεδαιμονίους φόβῳ ⁊ ὑμετέρῳ πολεμησείοντας, καὶ τοὺς κορινθίους δωσομένους παρ' αὐτοῖς, καὶ ὑμῖν ἐχθροὺς ὄντας, ⁊ προκαταλαμβάνοντας ὑμᾶς νῦν ἐς τὰ ἡμετέρα ἐπιχείρησιν, ἵνα μὴ ⁊ κοινῷ ἔχθει κατ' αὐτῶν μετ' ἀλλήλων σῶμεν, μηδὲ δυοῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι, ἢ φᾶς αὐτοὺς βεβαιώσασθαι. ὑμέτερον γὰρ αὖ ἔργον προτροπῆσαι, πρὶν μὴ διδόντων, ὑμῶν δὲ ξαμβάνωσι τὴν ξυμμαχίαν, ⁊ προεπιβουλεύειν ἂν αὐτοῖς μᾶλλον, ἢ ἀντεπιβουλεύειν, ἢν δὲ λέγωσιν, ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν, ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα, ἁμὰ τιμᾷ τὴν μητρόπολιν δικαιουμένη δὲ, ἀλλοτριοῦται. οὐ γὰρ ἐπὶ ⁊ δοῦλοι, ἀλλ' ἐπὶ ⁊ ὅμοιοι τοῖς λειπομένοις εἶναι ἐκπέμπουται. ὡς δὲ ἀδίκως, σαφὲς ὅτι. προκληθέντες γὰρ ἐπὶ δίκην ἐς κρίσιν, πολέμῳ μᾶλλον ἢ ⁊ ἴσῳ, ἠβουλήθησαν τὰ ἐγκλή-

ἐγκλήματα μετελθεῖν, καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς
ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι
ὑπ' αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέως μὴ ὑπουργεῖν. ὁ γὰρ
ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις
λαμβάνων, ἀσφαλέστατος ἂν διατελοίη. λύσετε δὲ οὐδὲ
τὰς λακεδαιμονίων σπονδὰς δεχόμενοι ἡμᾶς, μηδετέ-
ρων ὄντας ξυμμάχους, εἴρηται γὰρ ἐν αὐταῖς, τῶν ἑλληνίδων
πόλεων ἥ τις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους
ἂν ἀρέσκηται ἐλθεῖν. καὶ δεινὸν, εἰ τοῖς δὲ μὲν ἀπό τε τῶν
ἐν σπόνδων ἔσται πληροῦν τὰς ναῦς, καὶ προσέτι, καὶ ἐκ
τῆς ἄλλης ἑλλάδος, οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπη-
κόων. ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι,
καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελείας, εἶτα ἐν ἀδικήματι
θήσοντες, πεισθέντων ὑμῶν ἃ δεόμεθα. πολὺ δὲ ἐν πλείονι
αἰτίᾳ ἡμεῖς μὴ πείσαντες ὑμᾶς. ἕξομεν ἡμᾶς μὲν γὰρ
κινδυνεύοντας, καὶ οὐκ ἐχθροὺς ὄντας ἀπώσεσθε. τῶνδε
δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων, καὶ ἐπιόντων γενή-
σεσθε. ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσ-
λαβεῖν περιόψεσθε, ἣν οὐ δίκαιον ἀλλ' ἢ κἀκείνων κωλύειν
τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν
καθ' ὅτι ἂν πεισθῆτε ὠφέλειαν. μάλιστα δὲ ἀπὸ τοῦ προ-
φανοῦς δεξαμένους, βοηθεῖν. πολλὰ δὲ ὅπερ ἐν ἀρχῇ ὑπέι-
πομεν, τὰ ξυμφέροντα ἀποδείκνυμεν. καὶ μέγιστον, ὅτι
οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν, ὥσπερ σαφεστάτη πίστις,
καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοῖ τοὺς μεταστάντας
βλάψαι, καὶ ναυτικῆς, καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμα-
χίας

χίας δισομλίνης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις. ἀλλὰ μάλιστα μὲν εἰ δύναισθε, μηδένα ἄλλον ἔᾳν κεκτῆσθαι ναῦς· εἰ δὲ μή, ὡς ἂς ὀκυρωτάτας, τοῦτον φίλον ἔχειν. καὶ οὕτω τάδε ξυμφέροντα μᾶλλον δοκεῖ λέγεσθαι. φοβεῖται δὲ μὴ δι' αὐτὰ παθόμεν, τὰς σπονδὰς λύσῃ, γνῶτω δ' μὲν δὲ δι' αὐτὰ ἐχθρὸς, αὐτοὶ ἰσχὺν ἔχομεν, τοὺς φανερωτέρους μᾶλλον φοβησόμενον. τὸ δὲ θαρσοῦν μὴ δεξαμένου. ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς, ἀδεέστερον ἐσόμενον. καὶ ἅμα οὐ πρὶν φίλον κρατύνειν νῦν τοπλέον, ἢ ἐν τῷ ἀθλιωτάτῳ βουλευόμενον, καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοοῦντα, ὅταν ἐς τὸν μέλλοντα, καὶ ὅσων οὔπω παρόντα πόλεμον, ταυτὶ πρισκοπῶν, φυλοξάλῃ χωρίον προσλαβεῖν, ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε, καὶ πολεμοῦται. φίλη γὰρ Ἰταλία καὶ σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυβάτην ἐᾶσαι πελοποννησίοις ἐπελθεῖν. τό, τε ἐνθένδε πρὸς τὰ κεῖ παραπέμψαι, καὶ ἐς τἆλλα ξυμφορώτατον ὄν. βραχυτάτῳ δ' ἂν κεφαλαίῳ τοῖς τε ξύμπασι, καὶ καθέκαστον ὑμῶν δ' ἂν μὴ προεσθαι ἡμᾶς μάθοιτε. πρία μὲν ὄντα λόγου ἄξια τοῖς ἕλλησι ναυβάτα, πλεῖστα ὑμῖν, καὶ τὸ ἡμέτερον, καὶ τὸ κορινθίων. τούτων δ' ἐν εἰ πορισθείητε, τὰ δύο ἐς δ' αὐτὸ ἐλθεῖν, καὶ κορίνθιοι ἡμᾶς προκαταλήψονται, κορκυραίοις τε καὶ πελοποννησίοις ἅμα ναυμαχήσετε. δεξάμενοι δὲ ἡμᾶς, ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι, τοιαῦτα μὲν οἱ κορκυραῖοι εἶπον. οἱ δὲ κορίνθιοι, μετ' αὐτοὺς τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΟΡΙΝΘΙΩΝ.

Ἀναγκαῖον, κἀρκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέ-
ξασθαι σφᾶς, τὸν λόγον ποιησαμένους, ἀλλ' ὡς καὶ ἡμεῖς
τε ἀδικούμεθα, καὶ αὐτοὶ οὐκ εἰκότως πολεμούμενοι,
μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω
ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τοῖς ἀφ' ἡμῶν τε ἀξίωσιν
ἀσφαλέστερον προθῆτε, καὶ τοῖς τῶνδε χρείαν μὴ ἀλογί-
στως ἀπώσασθε, φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδε-
νός πω δέξασθαι. τὸ δ' ἐπὶ κακουργίᾳ, καὶ οὐκ ἀρετῇ ἐπε-
τήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τὰδι-
κήματα, οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες ἀνθ' ὑ-
νεσθαι, καὶ ἡ πόλις αὐτῶν, ἅμα αὐτάρκη δέσιν κεμένη,
παρέχει αὐτοὺς δικασάς, ὧν βλάπτουσί τινας μᾶλλον, ἢ
κατὰ ξυνθήκας γίγνεσθαι, διὰ δ' ἧκισα ἐπὶ τοὺς πέλας ἐκ-
πλέοντας, μάλιστα τοὺς ἄλλους ἀνάγκη καταίροντας δέ-
χεσθαι. καὶ τούτῳ τὸ εὐπρεπὲς ἄκουσον, οὐχ ἵνα μὴ
ξυναδικῶσιν ἑτέροις προβέβληνται, ἀλλ' ὅπως κατα-
μόνας ἀδικῶσι, καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι, βιάζοντες
οὐδὲν ἧσσον λάθωσι, πλέον ἔχοντες. ἢν δὲ πρόφασίν τι προσλάβωσιν,
ἀναιχυνθῶσι. καίτοι εἰ ἦσαν ἄνδρες, ὥσπερ φασίν, ἀγα-
θοί, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερω-
τέραν δίκην αὐτοῖς τῆς ἀρετῆς διδόσι, καὶ δεχομένοις τὰ
δίκαια, δεικνύναι. ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους, οὔτε ἐς ἡμᾶς
τοιοῦδέ εἰσιν ἄπρικοι δ' ὄντες, ἀφεσᾶσί τε διαπαντὸς, καὶ
νῦν πολεμοῦσι, λέγοντες, ὡς οὐκ ἐπὶ ζῷ κακῶς πάσχειν ἐκ-
πεμφθείσαν. ἡμεῖς δὲ οὐδ' αὐτοὶ φαμὲν ἐπὶ ζῷ ὑφ' ὑ-

τῶν

τῶν ὑβρίζεσθαι. κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι,
καὶ τὰ εἰκότα θαυμάζεσθαι. αἱ γοῦν ἄλλαι ἀπικίαι, τιμῶσιν
ἡμᾶς. Ⓒ μάλιστα ὑπ' ἀποίκων στεργόμεθα. Ⓒ δῆλον ὅτι
εἰ τοῖς πλέοσιν ἀρέσκοντες ἐσμὲν, τοῖς δ' ἂν μόνοις οὐκ
ὀρθῶς ἀπαρέσκοιμεν, οὐδ' ἐπιστρατεύοιμεν εὐπρεπῶς, μὴ
Ⓒ διαφερόντως τί ἀδικούμενοι. καλὸν δ' ἦν εἰ Ⓒ ἡμαρ-
τάνομεν, τοῖς δὲ μὴ εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ. ἡμῖν δὲ αἰσχρὸν
βιάσασθαι τὴν τούτων μετριότητα. ὕβρει δὲ καὶ ἀζουσίᾳ
πλούτου, πολλὰ ἐς ἡμᾶς ἄλλά τε ἡμαρτήκασι. Ⓒ ἐπίδαμνον
ἡμετέραν οὖσαν, κακουμένην μὴ, οὐ προσεποιοῦντο. ἐλθόν-
των δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ, ἑλόντες βίᾳ, ἔχουσι. Ⓒ φασὶ δὴ
δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἥν γε οὐ τὸν προὔχοντα καὶ
ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τί, δοκεῖν δεῖ τηρεῖν,
ἀλλὰ τὸν ἐς ἴσον τὰ ἔργα ὁμοίως, καὶ τοὺς λόγους πρὶν δια-
γωνίζεσθαι καθιστάντα. οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον,
ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ πρίοψεσθαι, τότε καὶ τὸ εὐπρε-
πὲς τῆς δίκης παρέσχοντο. καὶ δεῦρο ἥκουσιν, οὐ τἀκεῖ μό-
νον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ
ξυμμαχεῖν, ἀλλὰ ξυναδικεῖν. καὶ διαφόρους ὄντας ἡμῖν, δέ-
χεσθαι σφᾶς, οὓς χρῆν ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προ-
σιέναι. καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κιν-
δυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε
οὐ μεταλαβόντες, καὶ ὠφελείας νῦν μεταδώσετε καὶ τῶν
ἁμαρτημάτων ἀπηγνυόμενοι, τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον
ἕξετε. πάλαι δὲ κοινώσαντας τὴν δύναμιν, κοινὰ καὶ τὰ
ἀποβαίνοντα ἔχειν. ἐγκλημάτων δὲ μόνων ἀμετόχως

οὕτω τῶν μετὰ τὰς πράξης τούτων, μὴ κοινωνεῖν. ὡς μὲν
οὖν αὐτοί τε μετὰ προσηκόντων τῶν τοι δικαίου κεφαλαί-
ων ἐς ὑμᾶς ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέκται
εἰσὶ, δεδήλωται. ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε,
μαθεῖν χρή. εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ'
ὁποτέρους τὶς τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ
τοῖς ἐπὶ βλάβῃ, ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστὶν, ἀλλ' ὅς τις
μὴ ἄλλων ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται καὶ ὅς τις
μὴ τοῖς δεξαμένοις εἰ σωφρονοῦσι, πόλεμον αὐτ' εἰρήνης
ποιήσει, ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν, πάθοι τε ἂν. οὐ
γὰρ τοῖς δὲ μόνον πολέμιοι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν
ἀντὶ ἐν σπονδῶν, πολέμιοι. ἀνάγκη γὰρ εἴ ἴτε μετ' αὐ-
τῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. καί τοι δίκαιοι
γ' ἐστὲ, μάλιστα μὲν ἐκποδῶν στῆναι ἀμφοτέροις. εἰ δὲ μὴ,
τοὐναντίον, ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι. κορινθίοις μὲν γε
ἐν σπονδοί ἐστε. κερκυραίοις δὲ, οὐδὲ δι' ἀνακωχῆς πώποτ'
ἐγένεσθε, καὶ τὸν νόμον μὴ καθιστάναι, ὥς τε τοὺς ἑτέρων
ἀφισταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς, Σαμίων ἀπο-
στάντων, ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν. τῶν ἄλλων
πελοποννησίων δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύνειν.
φανερῶς δὲ ἀντείπομεν, τοὺς προσήκοντας ξυμμάχους
αὐτόν τινα κολάζειν. εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχό-
μενοι τιμωρήσετε, φανεῖτε ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω
ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ'
ἡμῖν θήσετε. δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχο-
μεν ἱκανὰ, κατὰ τοὺς ἑλλήνων νόμους. παραίνεσιν δὲ καὶ
ἀξίωσιν

ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες, ὥσπερ βλάπτειν οὐδ' αὖ φίλοι, ὡς ἐπιχθῆναι, ἀνυσθοθῶσαι ἡμῖν ἐν ᾧ παρούσι φαμὲν χρῆσαι. νεῶν γὰρ μαχεσῶν ἀποίσαντες ποτὲ πρὸς τὸν ἀγιννητῶν ὑπὲρ τὰ μηδικὰ πόλεμον, παρὰ κορινθίων εἴκοσι ναῦς ἐλάβετε. καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἔχθος σαμίοις, τὸ δι' ἡμᾶς πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέχειν ὑμῖν ἀγιννητῶν μὲν ἐπικράτησιν, κορινθίων δὲ κόλασιν, καὶ ἐν καιροῖς τοιούτοις ἐγγύειν, οἷς μάλιστα ἄνδρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες, πρῶτα ἁπάντων ἀπιστότατοί εἰσι πρὸς δ' νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπαγορεύοντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ. πολέμιόν τε τὸν ἀνιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν. ἔπειτα καὶ τὰ οἰκεῖα χεῖρον τίθενται, φιλονεικίας ἕνεκα καὶ αὐτίκα. ὧν ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου ἀστὰ μαθὼν, ἀξιώτω τοῖς ὁμοίοις ὑμᾶς ἀμύνεσθαι. καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι. ξύμφορα δὲ, εἰ πολεμήσει, ἄλλα εἶναι. τό, τε γὰρ ξυμφέρον ἐν ᾧ ἂν τις ἐλάχιστα ἁμαρτάνοι, μάλιστα ἕπεται. καὶ τὸ μέλλον τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς κορκυραῖοι, κελεύουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται. καὶ οὐκ ἄξιον ἐπιθέντας αὐτοῖς, φανερὰν ἔχθραν ἤδη, καὶ οὐ μέλλουσαν πρὸς κορινθίους κτήσασθαι. οἳ δὲ ὑπαρχόντος πρότερον διὰ μεγαρέας ὑποψίας, σῶφρον ὑφελεῖν μᾶλλον. ἡ γὰρ παλαιοτάτη χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δοκεῖται μεῖζον ἐγκλημα λῦσαι. μηδ' ὅτι ναυσὶν ξυμμαχίαν μεγάλην διδόασι. τούτῳ ἐφέλκεσθε. τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους, ἰσχυροτέραν

τέρα δύναμις. ἢ τοῦ αὐτίκα φανερῷ ἐπαρθέντας, διὰ κινδύνων τὸ πλέον ἔχειν. ἡμεῖς δὲ πρὶ πεπτωκότες οἷς ἐν τῇ λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρόν, ἐν ᾧ ὅ, τε ὑπουργῶν, φίλος μάλιστα. καὶ ὁ ἀντιστὰς, ἐχθρός. καὶ κορκυραίους τε τούσδε, μήτε ξυμμάχους δέχησθε βίᾳ ἡμῶν, μήτε ἀμύνητε αὐτοῖς ἀδικοῦσι, καὶ τάδε ποιοῦντες, τὰ προσήκοντά τε δραάσετε, καὶ τὰ ἄριστα βουλεύσεσθε ἐν ὑμῖν αὐτοῖς τοιαῦτα δὲ καὶ κορίνθιοι εἶπον.

Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δίς ἐκκλησίας, τῇ μὲν προτέρᾳ, οὐχ ἧσσον τῶν κορινθίων ἀπεδέξαντο τοὺς λόγους. ἐν δὲ τῇ ὑστεραίᾳ, μετέγνωσαν, κορκυραίοις ξυμμειχίαν μὲν μὴ ποιήσασθαι, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. εἰ γὰρ ἐπὶ κόρινθον ἐκέλευον σφίσιν οἱ κορκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς πελοποννησίους σπονδαί. ἐπιμαχίαν δὲ ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ κέρκυραν ἴῃ, ἢ ἀθήνας, ἢ τοὺς τούτων ξυμμάχους. ἐδόκει γὰρ ὁ πρὸς πελοποννησίους πόλεμος, ὡς ἔσεσθαι αὐτοῖς. τὴν κέρκυραν ἐβούλοντο μὴ προέσθαι τοῖς κορινθίοις, ναυτικὸν ἔχουσαν, τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἢν τι δέῃ, κορινθίοις τε τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν, ἐς πόλεμον καθιστῶντες. ἅμα δὲ τ' τε ἰταλίας

λίας Θ σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παρά-
πλω κεῖσθαι. τοιαύτη μὲν γνώμη οἱ ἀθηναῖοι τοὺς κορκυ-
ραίους προσεδέξαντο· ἡ δὲ κορινθίων ἀπελθόντων, οὐ πολὺ
ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς. ἐστρατήγει δὲ
αὐτῶν λακεδαιμόνιός τε ὁ κίμων Θ, καὶ διότιμος Θ ὁ στρομ-
βίχου, καὶ πρωτέας ὁ ἐπικλέους. πρόσπορον δὲ αὐτοῖς μὴ ναυ-
μαχεῖν κορινθίοις, ἢν μὴ ἐπὶ κέρκυραν πλέωσι, καὶ μέλλω-
σιν ἀποβαίνειν, ἢ ἐς τὴν ἐκείνων τι χωρίον, οὕτω δὲ κωλύειν
καὶ διαναμιν. πρόσπορον δὲ ταῦτα, τοῦ μὴ λύειν ἕνεκα τὰς
σπονδάς. αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν κέρκυραν. οἱ δὲ
κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύασο, ἔπλεον ἐπὶ τὴν κέρ-
κυραν ναυσὶ πρυτανήιοντα καὶ ἑκατόν. ἦσαν δὲ ἀλείων μὲν δέ-
κα. μεγαρέων δὲ δώδεκα. καὶ λευκαδίων, δέκα. ἀμπρα-
κιωτῶν δὲ, ἑπτά, Θ εἴκοσι. καὶ ἀνακτορίων, μία. αὐτῶν
δὲ κορινθίων ἐνεωήκοντα. στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ
πόλεις ἑκάστων. κορινθίων δὲ ξενοκλείδης ὁ εὐθυκλέους
πέμπτος αὐτός. ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ κέρκυραν
ἠπείρῳ, ἀπὸ λευκάδος Θ πλέοντες, ὁρμίζονται ἐς χειμέριον
καὶ θεσπρωτίδος Θ γῆς. ἔστι δὲ λιμὴν, καὶ πόλις ὑπὲρ αὐ-
τοῦ κεῖται ἄπω θαλάσσης, ἐν τῇ ἐλαιάτιδι καὶ θεσπρωτί-
δος Θ· ἐφύρη δὲ καλεῖται. εἰσὶ δὲ παρ' αὐτὸν ἄκρωρίαι λίμνη ἐς τὴν
θάλασσαν. διὰ δὲ θεσπρωτίδος Θ, ἀχέρων ποταμὸς
ῥέων, ἐσβάλλει ἐς αὐτὸν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει.
ῥεῖ δὲ καὶ θύαμις ποταμὸς, ὁρίζων τὴν θεσπρωτίδα, καὶ
κεραύνιον, ὄρος ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ χειμέριον. οἱ μὲν οὖν
κορίνθιοι καὶ ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε, Θ στρατόπε-
δον ἐποιήσαντο. οἱ δὲ κερκυραῖοι ὡς ἤσθοντο αὐτοὺς προ-

πλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε
μεικιάδης, καὶ αἰσιμίδης, καὶ εὐρύβατος, ἐστρατοπεδεύ-
σαντο ἐν μιᾷ τῶν νήσων, αἱ καλοῦνται σύβοτα, καὶ αἱ
ἀττικαὶ δέκα παρῆσαν. ἐπὶ δὲ τῇ λευκίμνῃ αὐτοῖς τοῦ ἀ-
κρωτηρίου, ὁ πεζὸς ἦν. καὶ ζακυνθίων χίλιοι ὁπλῖται βε-
βοηθηκότες. ἦσαν δὲ καὶ τοῖς κορινθίοις ἐν τῇ ἠπείρῳ πολ-
λοὶ τῶν βαρβάρων παραβεβοηθηκότες. οἱ γὰρ ταύτῃ ἠπει-
ρῶται, ἀεί ποτε φίλοι αὐτοῖς εἰσιν. ἐπειδὴ δὲ παρεσκέ-
υαστο τοῖς κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία, ἀνήγον-
το ὡς ἐπὶ ναυμαχίᾳ ἀπὸ τοῦ χειμερίου νυκτός. καὶ ἅμα
ἕω πλέοντες, καθορῶσι τὰς τῶν κερκυραίων ναῦς μετεώ-
ρους τε, καὶ πρὸς σφας πλεούσας. ὡς δὲ κατεῖδον ἀλλήλους,
ἀντιπαρετάσσοντο ἐπὶ μὲν τὸ δεξιὸν κέρας κερκυραίων αἱ
ἀττικαὶ νῆες. τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον τρία τέλη ποιήσαν-
τες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. οὕτω μὲν
κερκυραῖοι ἐτάξαντο. κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας,
αἱ μεγαρίδες νῆες εἶχον, καὶ αἱ ἀμπρακιώτιδες, κατὰ δὲ τὸ
μέσον, οἱ ἄλλοι ξύμμαχοι, ὡς ἕκαστοι. εὐώνυμον δὲ κέ-
ρας, αὐτοὶ οἱ κορίνθιοι, ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ
τοὺς ἀθηναίους, καὶ τὸ δεξιὸν τῶν κερρυραίων εἶχον. ξυμ-
μίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμά-
χουν. πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν
καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστὰς, τοῦ
παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. ἦν τε ἡ
ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ, οὐχ ὁμοίως. πεζομα-
χίᾳ δὲ τοπλέον προσφερὴς οὖσα, ἐπειδὴ γὰρ προσβάλ-
λοιεν

λοιῶν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε τοῦ πλήθους, καὶ ὄχλῳ τῶν νεῶν, καὶ μᾶλλον ἀπιστοῦντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἱ κατασάντες ἐμάχοντο, ἠσυχαζουσῶν τῶν νεῶν. διέκπλοι δὲ οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ τοῦ πλέον ἐναυμάχουν, ἢ ἐπιστήμῃ. παντα χῆ μὲν οὖν πολὺς θόρυβος, καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ ἀεὶ ἀπὶ καὶ νῆες παραγιγνόμεναι τοῖς κορκυραίοις, εἴπτι πιέζοιντο, φόβον μὴ παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον, διὰ τὸ τοὺς στρατηγοὺς τὴν πρόῤῥησιν τῶν ἀθλωτῶν. μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν κορινθίων ἔθωνει. οἱ γὰρ κορκυραῖοι εἰκοσι ναυσὶν αὐτοὺς περιφάμενοι, καὶ καταδιώξαντες ἀποράδας ἐς τὴν ἤπειρον, καὶ μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν, καὶ ἐπεκβάντες, ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους, καὶ τὰ χρήματα διήρπασαν. ταύτῃ μὲν οὖν οἱ κορίνθιοι καὶ οἱ ξύμμαχοι ἐνικῶντό τε, καὶ οἱ κορκυραῖοι ἐπεκράτουν. ἦσαν δὲ αὐτοὶ ἦσαν οἱ κορίνθιοι ἐπὶ τοῦ εὐωνύμου, πολὺ νικῶντες, τοῖς κορκυραίοις τῶν εἰκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τοῦ διώξεως οὐ παρουσῶν. οἱ δὲ ἀθλωταὶ ὁρῶντες τοὺς κορκυραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκέρων. τὸ μὲν πρῶτον ἀπεχόμενοι, ὥστε μὴ ἐμβάλλειν ἀλλήλοις. ἐπειδὴ δὲ ἡ τροπὴ ἐγίγνετο λαμπρῶς, καὶ ἐνέκειντο οἱ κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἶχετο ἤδη, καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσον ἐς τοῦτο ἀνάγκης, ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς κορινθίους, καὶ ἀθλωτάς. οἱ δὲ κορκυραῖοι ἐπεὶ προσεμίγνυντο, οἱ κορίνθιοι τὰ σκάφη οὐκ εἶλκον ἀνα-

οἱ δὲ κορ

δούμενοι τῶν νεῶν, ἃς καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον, ἢ ζωγρεῖν. τούς τε αὐτῶν φίλους οὐκ ἠσθημένοι ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ, ἀγνοοῦντες, ἔκτεινον. πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων, καὶ ἐπιπολὺ καὶ θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ζυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο, ὁποῖοι ἐκράτουν, ἢ ἐκρατοῦντο. ναυμαχία γὰρ αὕτη ἔλλησι πρὸς ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ ἑαυτῆς γεγένηται. ἐπειδὴ δὲ κατεδίωξαν τοὺς κορκυραίους οἱ κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο. καὶ τῶν πλείστων ἐκράτησαν, ὥστε προσκομίσαι πρὸς τὰ σύβοτα, οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει. ἔστι δὲ τὰ σύβοτα καὶ θεσπρωτίδος λιμὴν ἔρημος. τοῦτο δὲ ποιήσαντες, αὖθις ἀθροισθέντες, ἐπέπλεον τοῖς κορκυραίοις. οἱ δὲ ταῖς πλωΐμοις, καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν ἀττικῶν νεῶν, καὶ αὐτοὶ ἀντεπέπλεον, δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀτρβαίνειν. ἤδη δὲ ἦν ὀψὲ, καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐπέπλουν. καὶ οἱ κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο, κατιδόντες εἴκοσι ναῦς ἀθηναίων προσπλεούσας, ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ ἀθηναῖοι, δείσαντες, ὅπῃ ἐγένετο. μὴ νικηθῶσιν οἱ κορκυραῖοι, καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι. ταύτας οὖν προϊδόντες οἱ κορίνθιοι, καὶ ὑποτοπήσαντες ἀπ' ἀθηνῶν εἶναι, οὐχ ὅσας ἑώρων, ἀλλὰ πλείους, ὑπανεχώρουν. τοῖς δὲ κορκυραίοις (ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ ἑωρῶντο, καὶ

ἐθαύμαζον

ἐθαύμαζον τοὺς κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον, ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι. τότε δὴ καὶ αὐτοὶ ἀνεχώρουν. ξυνεσκόταζε γὰρ ἤδη. καὶ οἱ κορίνθιοι ἀπετραπόμενοι, τὴν διάλυσιν ἐποιήσαντο. οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων. καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. τοῖς δὲ κορκυραίοις στρατοπεδευομένοις ἐπὶ τῇ λευκίμνῃ, αἱ εἴκοσι νῆες αἱ ἐκ τῶν ἀθηνῶν αὗται, ὧν ἦρχε γλαύκων τε ὁ λεάγρου, καὶ αὐδοκίδης ὁ λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι, κατέπλεον ἐς τὸ στρατόπεδον οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν. οἱ δὲ κορκυραῖοι (ἦν γὰρ νὺξ) ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν, καὶ ὡρμίσαντο. τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε ἀττικαὶ τριάκοντα νῆες, καὶ τῶν κορκυραίων ὅσαι πλώϊμοι ἦσαν, ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς συβότοις λιμένα, ἐν ᾧ οἱ κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ, τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς, καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν ἀθηναίων ἀκραιφνεῖς, καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε πέρι φυλακῆς, οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν, ἐν χωρίῳ ἐρήμῳ. τοι δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν. ὅπη κομισθήσονται, δεδιότες μὴ οἱ ἀθηναῖοι νομίσαντες λελῦσθαι τὰς σπονδὰς. διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀπεπλεῖν ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας, ἄνευ κηρυκίου προπέμψαι τοῖς ἀθηναίοις, καὶ πεῖραν ποιήσασθαι. πέμψαντές τε, ἔλεγον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΠΕΔΟΠΟΝΝΗΣΙΩΝ.

Ἀδικεῖτε ὦ ἄνδρες ἀθηναῖοι πολέμου ἄρχοντες, καὶ σπονδὰς λύοντες. ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις, ἐμποδὼν ἵστασθε, ὅπλα ἀνταιρόμενοι. εἰ δὲ ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ κέρκυραν, ἢ ἄλλοσε εἴποι βουλόμεθα πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε πρώτους λαβόντες, χρήσασθε ὡς πολεμίοις. οἱ μὲν δὴ τοιαῦτα εἶπον. τῶν δὲ κερκυραίων τὸ μὲν στρατόπεδον, ὅσον ὑπήκουσεν, ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς, καὶ ἀπεκτεῖναι. οἱ δὲ ἀθηναῖοι τοιάδε ἀπεκρίναντο.

ΔΗΜΗΓΟΡΙΑ ΑΘΗΝΑΙΩΝ.

οὔτε ἄρχομεν πολέμου ὦ ἄνδρες πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύομεν. κερκυραίοις δὲ τοῖς δὲ ξυμμάχοις οὖσι, βοηθοὶ ἤλθομεν. εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν. εἰ δὲ ἐπὶ κέρκυραν πλευσεῖσθε, ἢ ἐς τῶν ἐκείνων τί χωρίον, οὐ προϊοψόμεθα κατὰ τὸ δυνατόν. τοιαῦτα τῶν ἀθηναίων ἀπεκριναμένων, οἱ μὲν κορίνθιοι τὸν πλοῦν τὸν ἐπ' οἴκου προσκευάζοντο, καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ συβότοις. οἱ δὲ κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς, ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ, καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς, διεσκέδασεν αὐτὰ πανταχῇ. καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ συβότοις, ὡς νενικηκότες. γνώμη δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο, κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ

μαχίᾳ μέχρι νυκτὸς, ὥστε Ⓒ ναυάγια πλεῖστα, καὶ νεκροὺς
προσκομίσασθαι. καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ
ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκον-
τα, ἔστησαν τροπαῖον. κορκυραῖοι δὲ τριάκοντα ναῦς μάλι-
στα διαφθείραντες. καὶ ἐπειδὴ ἀθηναῖοι ἦλθον ἀνελόμενοι
τὰ κατ σφᾶς αὐτοὺς ναυάγια, καὶ νεκροὺς, καὶ ὅτι αὐτοῖς
τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ κο-
ρίνθιοι ἰδόντες τὰς ἀττικὰς ναῦς. καὶ ἐπειδὴ ἦλθον, οὐκ
ἀντέπλεον ἐκ τῶν συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν.
οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν. οἱ δὲ κορίνθιοι ἀπεπλέ-
οντες ἐπ' οἴκου, ἀνακτόριον, ὃ ἐστιν ἐπὶ τῷ στόματι τοι ἀμ-
πρακικοῦ κόλπου, εἷλον ἀπάτῃ. ἦν δὲ κοινὸν κορκυραίων, Ⓒ
ἐκείνων. καὶ καταστήσαντες ἐν αὐτῷ κορινθίους οἰκήτορας,
ἀνεχώρησαν ἐπ' οἴκου. καὶ τῶν κορκυραίων ὀκτακοσίους μὲν,
οἳ ἦσαν δοῦλοι, ἀπέδοντο. πεντήκοντα δὲ καὶ διακοσίους
δήσαντες, ἐφύλαττον, καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως
αὐτοῖς τὴν κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν. ἐτύγ-
χανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς
πόλεως. ἡ μὲν οὖν κέρκυρα οὕτω πριγίγνεται τῷ πολέ-
μῳ τῶν κορινθίων. καὶ αἱ νῆες τῶν ἀθηναίων ἀνεχώρησαν
ἐξ αὐτῆς. αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοι πολέμου τοῖς
κορινθίοις ἐς τοὺς ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς με-
τὰ κορκυραίων ἐναυμάχουν. μεταταῦτα δ' εὐθὺς Ⓒ τάδε
ξυνέβη γενέσθαι τοῖς ἀθηναίοις, καὶ πελοποννησίοις διά-
φορα ἐς τὸ πολεμεῖν. τῶν γὰρ κορινθίων πρασσόντων ὅπως
τιμωρήσονται αὐτοὺς, ὑποτοπήσαντες τὸν ἔχθραν αὐτῶν οἱ
ἀθη-

ἀθηναῖοι ποτιδαιάταις, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς παλ-
λήνης ὄντας κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους
φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς παλλήνην τεῖχος καθε-
λεῖν, καὶ ὁμήρους δοῦναι, τούς τε ἐπὶ δημιουργοὺς ἐκπέμπειν,
καὶ τολοιπὸν μὴ δέχεσθαι οὓς κατὰ ἔτος ἕκαστον κορίνθιοι
ἔπεμπον, δείσαντες μὴ ἀπεστῶσιν ὑπό τε πρόδικκου πειθό-
μενοι, καὶ κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ θρᾴκης ξυνα-
ποστήσωσι ξυμμάχους. ταῦτα δὲ πρὸς τοὺς ποτιδαιάτας
οἱ ἀθηναῖοι προπρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν κερκύρᾳ
ναυμαχίαν. οἵ τε γὰρ κορίνθιοι φανερῶς διάφοροι ἦσαν.
πρόδικκας τε ὁ ἀλεξάνδρου, μακεδόνων βασιλεὺς, ἐπεπο-
λέμωτο, ξύμμαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώ-
θη δὲ ὅτι φιλίππῳ τοῖς ἑαυτοῖ ἀδελφῷ καὶ δέρδᾳ κοινῇ
πρὸς αὐτὸν ἐναντιουμένοις, οἱ ἀθηναῖοι ξυμμαχίαν ἐποι-
ήσαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν λακεδαίμονα πέμ-
πων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς πελοποννησί-
ους. καὶ τοὺς κορινθίους προσεποιεῖτο, τῆς ποτιδαίας ἕνεκα
ἀπεστάσεως. προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ θρᾴκης χαλ-
κιδεύσι, καὶ βοττιαίοις ξυναποστῆναι νομίζων εἰ ζύμμα-
χα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλε-
μον μετ' αὐτῶν ποιεῖσθαι. ὧν οἱ ἀθηναῖοι αἰσθόμενοι, καὶ
βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστά-
σεις (ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χι-
λίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῖ, ἀρχεστράτου τοῖ λυκομή-
δους μετ' ἄλλων δέκα στρατηγοῦντος) ἐπιστέλλουσι τοῖς
ἄρχουσι τῶν νεῶν ποτιδαιατῶν τε ὁμήρους λαβεῖν, καὶ τὸ
τεῖχος

τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποστήσονται. ποτιδαιάται δὲ πέμψαντες μὲν καὶ παρ' ἀθηναίους πρέσβεις, εἴπως πείσειαν μὴ σφων πέρινεωτ ῥίζειν μηδέν. ἐλθόντες δὲ καὶ ἐς τὰ λακεδαίμονα μετὰ κορινθίων, ἔπρασσον ὅπως ἐτιμάσαντο τιμωρίαν, ἢν δέῃ. ἐπειδὴ ἔκ τε ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ τῶν μακεδονίαν καὶ τῶν σφας ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν λακεδαιμονίων ὑπέσχοντο αὐτοῖς, ἢν ἐπὶ ποτίδαιαν ἴωσιν ἀθηναῖοι ἐς τὴν ἀττικὴν ἐσβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίσαντες μετὰ χαλκιδέων, καὶ βοττιαίων κοινῇ ξυνομόσαντες. καὶ περδίκκας πείθει χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας, καὶ καταβαλόντας, ἀνοικίσασθαι ἐς ὄλυνθον, μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι. τοῖς τε ἐκλείπουσι τούτοις, καὶ ἑαυτοῦ γῆς τῆς μυγδονίας, περὶ τὴν βόλβην λίμνην ἔδωκε νέμεσθαι, ἕως ἂν ὁ πρὸς ἀθηναίους πόλεμος ᾖ, καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις, καὶ ἐς πόλεμον παρασκευάζοντο. αἱ δὲ τριάκοντα νῆες τῶν ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ θρᾴκης, καὶ καταλαμβάνουσι τήν τε ποτίδαιαν, καὶ τἆλλα ἀφεστηκότα, νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει, καὶ τὰ ξυναφεστῶτα χωρία, τρέπονται ἐπὶ τὴν μακεδονίαν, ἐφ' ὅπερ καὶ τοπρότερον ἐξεπέμποντο, καὶ καταστάντες, ἐπολέμουν μετὰ φιλίππου, καὶ τῶν δέρδου ἀδελφῶν, ἄνωθεν στρατιᾷ ἐσβεβλυκότων, καὶ ἐν τούτῳ οἱ κορίνθιοι τῆς ποτιδαίας ἀφε-

στηκύας, καὶ τῶν ἀττικῶν νεῶν πορὶ μακεδονίαν οὐσῶν, δε-
διότες πρὶ τῷ χωρίῳ, ⲥ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι,
πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς, ⲥ τῶν ἄλλων πελοπον-
νησίων μισθῷ πείσαντες ἑξακοσίους, ⲥ χιλίους τοὺς πάν-
τας ὁπλίτας, ⲥ ψιλοὺς τετρακοσίους. ἐστρατήγει δὲ αὐτῶν
ἀριστεὺς ὁ ἀδειμάντου, καὶ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖ-
στοι ἐκ κορίνθου στρατιῶτι ἐθελονταὶ ξυνέσποντο. ἦν γὰρ τοῖς
ποτιδαιάταις ἀεὶ ποτε ἐπιτήδειος. ⲥ ἀφικνοῦνται τεσσα-
ρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ θράκης, ἡ ποτίδαια ἀπέστη. ἦλθε δὲ
ⲥ τοῖς ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων, ὅτι ἀφεστᾶ-
σι. καὶ πέμπουσιν (ὡς ἤσθοντο ⲥ τοὺς μετὰ ἀριστέως ἐπι-
πρόντας) δισχιλίους ἑαυτῶν ὁπλίτας, καὶ τεσσαράκοντα ναῦς
πρὸς τὰ ἀφεστῶτα, καὶ καλλίαν τὸν καλλιάδου πέμπτον αὐτῶν
στρατηγόν. οἱ ἀφικόμενοι ἐς μακεδονίαν πρῶτον, κατα-
λαμβάνουσι τοὺς προτέρους χιλίους θέρμην ἄρτι ἡρηκότας,
ⲥ πύδναν πολιορκοῦντας. προσκαθεζόμενοι δὲ ⲥ αὐτοὶ
τὴν πύδναν ἐπολιόρκησαν μὲν. ἔπειτα δὲ ξύμβασιν ποιησά-
μενοι, ⲥ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν περδίκκαν, ὡς αὐ-
τοὺς κατήπειγεν ἡ ποτίδαια, καὶ ὁ ἀριστεὺς παρεληλυθὼς, ἀ-
πανίστανται ἐκ τῆς μακεδονίας. ⲥ ἀφικόμενοι ἐς βέρροιαν,
κἀκεῖθεν ἐπιστρέψαντες, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου,
καὶ οὐχ ἑλόντες, ἐπορεύοντο καὶ γὰρ πρὸς τὴν ποτίδαιαν
τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων
πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις μακεδόνων τοῖς μετὰ φι-
λίππου, καὶ παυσανίου. ἅμα δὲ νῆες πρέπλεον ἑβδομήκοντα.
κατ' ὀλίγον δὲ προϊόντες, τριταῖοι ἀφίκοντο ἐς γίγωνον, ⲥ
ἐστραπε-

ἐστρατοπεδεύσαντο, πολλαχόθι δὲ © οἱ μετὰ ἀρισέως πε-
λοποννήσιοι προσδεχόμενοι τοὺς ἀθηναίους, ἐστρατοπεδέ-
υοντο πρὸς ὁλωσθῷ ἐν δεξιᾷ ἰόντι μῶ, καὶ ἀγορὰν ἔξω τῆ πό-
λεως ἐπεποίηντο. στρατηγὸν μὲν οὖν τῶν δὴ πάντων
ξύμμαχοι ἡρέοντο ἀρισέα. τῆ δὲ ἵππω, τῆ δίκαια, ἀπέκ-
ρινε ἐνθυς πάλιν τῶν ἀθηναίων, καὶ ξυνεμάχετο τοῖς πολε-
μίοις, ὁλαον ἀνὴρ αὐτῶν κατασήσας ἄρχοντα, ἦν δὲ ἡ
γνώμη τοῦ ἀρισέως, τὸ μὲν μεθ' ἑαυτῶν στρατόπεδον ἔχοντα,
ἐν δεξιᾷ ἰόντι μῶ, ἐπιτηρεῖν τοὺς ἀθηναίους ἢν ὦσι χαλκι-
δέας δὲ καὶ τοὺς ἔξω ἰόντι μῶ ξυμμάχους, καὶ τῶν παρὰ
πρωδίκου διακοσίαν ἵππον, ἐν ὁλώσθῳ μένειν, καὶ ὅταν
ἀθηναῖοι ὦσι σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας, ἐν
μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. καλλίας δ' αὖ τῶν
ἀθηναίων στρατηγὸς, καὶ οἱ ξυνάρχοντες, τοὺς μὲν μακε-
δόνας, ἱππέας, καὶ τῶν ξυμμάχων ὀλίγους, ἐπὶ ὁλώσθου
ἀπέπεμψαν, ὅπως εἴρωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν. αὐτοὶ
δὲ ἀνασήσαντες τὸ στρατόπεδον, ἐχώρουν ἐπὶ τὸ ποτίδαι-
αν. καὶ ἐπειδὴ πρὸς τῆ ἰόντι μῶ ἐγένοντο, καὶ εἶδον τοὺς
ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀνεκαθίσαντο
καὶ αὐτοί. καὶ οὐ πολὺ ὕστερον ξυέμισγον. καὶ αὐτὸ μὲν
τὸ τοῦ ἀρισέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν κορινθίων
τε καὶ τῶν ἄλλων λοχάδες, ἐτρέψαντο τὸ καθ' ἑαυτούς, ©
ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ. τὸ δὲ ἄλλο στρατόπεδον
πολλαπλασίων © πελοποννησίων, καὶ τῶν ἀθηναίων,
καὶ ἐς τὸ τεῖχος κατέφυγεν. ἐπαναχωροῦντα δὲ ὁ ἀρισεὺς
ἀπὸ τῆ διώξεως, ὡς εἶδε τὸ ἄλλο στράτευμα ἡσσημένον,
ἀπώρμησε μὲν ὁποτέρωσε διακινδυνεύσει χωρήσας, ἢ ἐπὶ τὸ
ὁλώσθα,

ὀλώνθου, ἢ ἐς τὴν ποτίδαιαν. ἔδοξε γοῦν, ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ, ὡς εἰς ἐλάχιστον χωρίον δρόμῳ βιάσασθαι ἐς τὴν ποτίδαιαν. καὶ προῆλθε παρὰ τὴν χηλὴν, διὰ τῆς θαλάσσης βαλλόμενός τε, καὶ χαλεπῶς ὀλίγους μέν τινας ἀπεβαλὼν, τοὺς δὲ πλείους σώσας. οἱ δ' ἀπὸ τῆς ὀλώνθου τοῖς ποτιδαιάταις βοηθοὶ, ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους, καὶ ἔστι καταφανὲς ὡς ἡ μάχη ἐγένετο, καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τοι προῆλθον, ὡς βοηθήσοντες. καὶ οἱ μακεδόνες ἱππεῖς ἀντιπρετάξαντο, ὡς κωλύσοντες. ἐπεὶ δὲ διατάχους ἡ νίκη τῶν ἀθηναίων ἐγίγνετο, καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος. καὶ οἱ μακεδόνες, παρὰ τοὺς ἀθηναίους. ἱππεῖς δ' οὐδετέροις παρεγένοντο. μετὰ δὲ τὴν μάχην, τροπαῖον ἔστησαν οἱ ἀθηναῖοι, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς ποτιδαιάταις. ἀπέθανον δὲ ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων, ὀλίγω ἐλάσσους τριακοσίων, ἀθηναίων δὲ αὐτῶν πεντήκοντα, καὶ ἑκατὸν, καὶ καλλίας ὁ στρατηγός. τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ ἀθηναῖοι ἀποτειχίσαντες, ἐφρούρουν. τὸ δ' ἐς τὴν παλλήνην, ἀτείχιστον ἦν. οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν, καὶ ἐς τὴν παλλήνην διαβάντες τειχίζειν, δεδιότες μή σφισιν οἱ ποτιδαιάται καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα, ἐπιθῶντι. καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει ἀθηναῖοι τὴν παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν, καὶ φορμίωνα τὸν ἀσωπίου στρατηγόν. ὃς ἀφικόμενος ἐς τὴν παλλήνην, καὶ ἐξ ἀφύτου ὁρμώμενος, προσήγαγε τῇ ποτιδαίᾳ τὸν στρατὸν

κατα-

καταβραχὺ προϊὼν, καὶ κείρων ἅμα τὴν γῆν. ὡς δὲ οὐδεὶς ἐπεξήει ἐς μάχην, ἀπετείχισετο ἐκ καὶ παλλήνης τεῖχος. καὶ οὕτως ἤδη κατακρατὸς ἡ ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο, καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις. Ἀριστεὺς δὲ ἀποτειχισθείσης αὐτῆς, καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ πελοποννήσου, ἢ ἄλλο πρᾶλογον γίγνηται. ξυνεβούλευε μὲν πλὴν πεντακοσίων, ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπιπλέον ὁ σῖτος ἀντίσχη. καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι. ὡς δ' οὐκ ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα, ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν ἀθηναίων. καὶ πραμένων ἐν χαλκιδεῦσι, τάτε ἄλλα ἐπολέμει, καὶ σερμυλίων λοχήσας πρὸς τῇ πόλει, πολλοὺς διέφθειρεν. ἔς τε τὴν πελοπόννησον ἔπρασσεν, ὅπη ὠφέλειά τις γενήσεται. μετὰ δὲ καὶ ποτιδαίας τὴν ἀποτείχισιν, φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους, τὴν χαλκιδικὴν καὶ βοττικὴν ἐδῄου. ἔστιν ἃ καὶ πολίσματα εἷλε. τοῖς δ' ἀθηναίοις καὶ πελοποννησίοις, αἰτίαι μὲν αὗται προγεγένηντο ἐς ἀλλήλους. τοῖς μὲν κορινθίοις, ὅτι τὴν ποτίδαιαν ἑαυτῶν οὖσαν ἀπρικίαν, καὶ ἄνδρας κορινθίων τε καὶ πελοποννησίων ἐν αὐτῇ ὄντας, ἐπολιόρκουν. τοῖς δ' ἀθηναίοις ἐς τοὺς πελοποννησίους, ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα, καὶ φόρου ὑπετελῆ ἀπέστησαν. καὶ ἐλθόντες σφίσιν ἀπὸ τοι προφανοῦς ἐμάχοντο μετὰ ποτιδαιᾶ τῶν. οὐ μὲν τοι ὅγε πόλεμός πω ξυνεῤῥώγει, ἀλλ' ἔτι ἀνακωχὴ ἦν ἰδίᾳ γὰρ ταῦτα.

οἱ κορίνθιοι ἔπραξαν. πολιορκουμένης δὲ καὶ ποτιδαίας, οὐχ ἡσύχαζον, ἀνδρῶν τέ σφισιν ἐνόντων, καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες, πρεκάλουν τε εὐθὺς ἐς τὴν λακεδαίμονα τοὺς ξυμμάχους, καὶ κατεβόων ἐλθόντες τῶν ἀθηναίων, ὅτι σπονδάς τε λελυκότες εἶεν, καὶ ἀδικοῖεν, τὴν πελοπόννησον. αἰγινῆται δὲ φανερῶς μὲν οὐ πρεσβευόμενοι δεδιότες τοὺς ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. οἱ δὲ λακεδαιμόνιοι προσπαρακαλέσαντες τῶν ξυμμάχων τε καὶ εἴ τις τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ ἀθηναίων, ξύλλογον σφῶν αὐτῶν ποιήσαντες, τὸν εἰωθότα λέγειν ἐκέλευον. καὶ ἄλλοι τε πρεσβεύοντες ἐγκλήματα ἐποιοῦντο, ὡς ἕκαστοι, καὶ μεγαρεῖς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα. μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ ἀθηναίων ἀρχῇ, καὶ τῆς ἀττικῆς ἀγορᾶς πρὰ τὰς σπονδάς. πρελθόντες δὲ τελευταῖοι κορίνθιοι, καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξύναι τοὺς λακεδαιμονίους, ἐπεῖπον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΟΡΙΝΘΙΩΝ.

Τὸ πιστὸν ὑμᾶς ὦ λακεδαιμόνιοι καὶ καθ' ὑμᾶς αὐτοὺς πολιτείας, καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους ἤν τι λέγομεν καθίστησι. καὶ ἀπ' αὐτοῦ, σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλείονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε. πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν

μάθησιν

μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε, ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι. καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷδ' ἔργῳ ἐσμὲν, τοὺς ξυμμάχους τούς δε πρεκαλέσατε, ἐν οἷς προσήκει ἡμᾶς οὐχήκιστα εἰπεῖν, ὅσω καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν τὴν ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει. νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτοὺς, καὶ οὐχήκιστα τοῖς ἡμετέροις ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπρεσκευασμένους, εἴ ποτε ἄρα πολεμήσονται. οὐ γὰρ ἂν κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον, καὶ ποτίδαιαν ἐπολιόρκουν. ὧν τὸ μὲν ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ θρᾴκης ἀπεχρῆσθαι. ἡ δὲ ναυτικὸν ἂν μέγιστον πρέσχε πελοποννησίοις. Ⓒ τῶν δὲ ὑμεῖς αἴτιοι, τό, τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ μηδικὰ κρατῆναι, καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη. ἐς τόδε τε ἀεὶ ἀποστροῦντες, οὐ μόνον τοὺς ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους ἤδη ξυμμάχους, οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ Ⓒ τὰ ἀξίωσιν καὶ ἀρετῆς, ὡς ἐλευθερῶν τὴν ἑλλάδα φέρεται. μόλις δὲ νῦν τε ξυνήλθομεν, καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς, χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι σκοπεῖν, ἀλλὰ καθότι ἀμυνούμεθα. οἱ γὰρ δρῶντες βεβουλευμένοι, πρὸς οὐ διεγνωκότας ἤδη, καὶ οὐ μέλλοντες ἐπέρχονται. καὶ ἐπιστάμεθα οἵᾳ ὁδῷ

οἱ ἀθη=

οἱ ἀθηναῖοι, καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας.
Ⓒ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναίσθητον ὑμῶν, ἧσσον
θαῤῥοῦσι. γνόντες δὲ εἰδότας περιορᾷν, ἰσχυρῶς ἐγκείσοντες.
ἡσυχάζετε γὰρ μόνοι ἑλλήνων ὦ λακεδαιμόνιοι, οὐ τῇ
δυνάμει τινὰ, ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι. καὶ μόνοι
οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν, διπλασιουμέ-
νην δὲ καταλύοντες. καί τοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι, ὧν
ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. τόν τε γὰρ μῆδον αὐτοὶ ἴσ-
μεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν πελοπόννησον ἐλ-
θόντα, ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι καὶ νῦν τοὺς
ἀθηναίους οὐκ ἑκὰς, ὥσπερ ἐκεῖνον, ἀλλ' ἐγγὺς ὄντας πε-
ριορᾶτε. καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ ἀμύνεσθαι βούλε-
σθε μᾶλλον ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνα-
τωτέρους ἀγωνιζόμενοι καταστῆναι, ἐπιστάμενοι καὶ τὸν
βάρβαρον αὐτὸν περὶ αὐτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς
αὐτοὺς τοὺς ἀθηναίους, πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμα-
σιν αὐτῶν μᾶλλον, ἢ τῇ ἀφ' ὑμῶν τιμωρίᾳ περιγεγενη-
μένους, ἐπεὶ αἵ γε ὑμέτεραι ἐλπίδες ἤδη τινὰς πῦ καὶ ἀπα-
ρασκεύους διὰ τὸ πιστεύσαι, ἔφθειραν. καὶ μηδεὶς ὑμῶν
ἐπ' ἔχθρᾳ τοπλέον, ἢ αἰτία νομίσῃ τάδε λέγεσθαι. αἰτία
μὲν γὰρ εἵλων ἀνδρῶν ἐστιν ἁμαρτανόντων. κατηγορία δὲ,
ἐχθρῶν ἀδικησάντων. Ⓒ ἅμα εἴπερ τινὲς Ⓒ ἄλλοι νομίζο-
μεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν. ἄλλως τε Ⓒ
μεγάλων τῶν διαφερόντων καθεστώτων, περὶ ὧν οὐκ
αἰσθάνεσθαι ἡμῖν, γε δοκεῖτε, οὐδ' ἐλλογίσασθαι πώποτε
πρὸς οἵους ὑμῖν ἀθηναίους ὄντας, καὶ ὅσον ὑμῶν, καὶ ὡς

πᾶν

πᾶμ διαφέροντας, δ ἀγωὴμ ἔσαι. οἱ μὲὴ γε νεώτεροποιοί, καὶ ἐπινοῦσαι δεῖξῃς, καὶ ἐπιτελέσαι ἔργῳ, ὃ ἂμ γνῶσιμ. ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειμ, καὶ ἐπιγυῶναι μηδέμ, καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἀξιοῦσθαι. αὖθις δὲ οἱ μὲὴ καὶ παρὰ δωνάμιμ τολμηταὶ καὶ παρὰ γνώμιμ κινδυνεύυται, ⟨ καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες. τὸ δὲ ὑμέτερομ δὴ τε δωνάμεως ἐνδεᾶ πρᾶξαι, καὶ τε γνώμης, μηδὲ τοῖς βεβαίοις πίστεῦσαι, ὅθ' τε δεινῶμ μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. καὶ μὲὴ ἠ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς, ⟨ ἀργὰ δωμηταὶ πρὸς ἐνδημοτάτους. οἴονται γὰρ οἱ μὲὴ τῇ ἀπουσίᾳ ἄν ἀ κῆᾶσθαι, ὑμεῖς δὲ ἐὰν ἐπελθεῖμ, καὶ τὰ ἕτοιμα ἂμ βλάψαι. κρατοῦντές τε ὅθ' ἐχθρῶμ, ἐπὶ πλεῖσομ ἐξέρχονται. καὶ νικώμενοι, ἐὰ ἐλάχιστομ ἀναπίπτουσιμ. ἔτι δὲ τοῖς μὲὴ σώμασιμ, ἀλλοτριωτάτοις ὑπὲρ δὴ πόλεως χρῶνται. τῇ δὲ γνώμῃ οἰκειοτάτῃ ἐς δ' πρᾶσσειμ τί ὑποὲρ αὐτῆς καὶ ἃ μὲὴ ἂμ ἐπινοήσαντες μὴ ἐπεξέλθωσιμ, οἰκείωμ σέρεσθαι ἡγοῦνται, ἃ δ' ἂμ ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖμ πράξαντες. ἢμ δ' ἄρα τῶ πείρᾳ σφαλῶσιμ, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαμ τὴὼ χρείαν. μόνοι γὰρ ἔχουσί τε ὁμοίως, καὶ ἐλπίζουσιμ ἃ ἂμ ἐπινοήσωσι, διὰ τὸ ταχεῖαν τὴὼ ἐπιχείρησιμ ποιεῖσθαι ὧμ ἂμ γνῶσι. καὶ ταῦτα μετὰ πόνωμ πάντα καὶ κινδύνωμ δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι. καὶ ἀπολαύουσιμ ἐλάχιστα τῶὼ ὑπαρχόντωμ, διὰ τὸ ἀεὶ κτᾶσθαι. καὶ μήτε ἑορτὴὼ ἄγειν ἡγεῖσθαι, μήτε τὰ τοῦ δέοντα πρᾶξαι. ξυμφοράμ τε οὐκ ἔλασσομ, ἡσυχίαμ ἀπράγμονα ἀσχολίαμ ὠφελίμου, ὥστε εἴ τις ἀνοῦς

ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷδε μήτε αὐτοὺς ἔχειν ἡσυ-
χίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾷν, ὀρθῶς ἂν εἴποι.
ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκήας πόλεως ὦ λακε-
δεμόνιοι, διαμέλλετε. καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις
τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν πρασκευῇ,
δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ ἢν ἀδικῶνται, δῆλοι ὦσι
μὴ ἐπιτρέψοντες. ἀλλ' ἐπὶ τῷδε μὴ λιπεῖν τε τοὺς ἄλλους καὶ
αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι, δ' ἴσον νέμετε. μόλις
δ' ἂν πόλει ὁμοίᾳ προικοῦντες, ἐτυγχάνετε τούτου. νῦν δ'
ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτη-
δεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δὲ ὥσπερ τέχνης ἀεὶ
τὰ ἐπιγιγνόμενα κρατεῖν. καὶ ἡσυχαζούσῃ μὲν πόλει, τὰ
ἀκίνητα νόμιμα ἄριστα. πρὸς πολλὰ δὲ ἀναγκαζομένοις
ἰέναι, πολλῆς καὶ καὶ ἐπιτεχνήσεως δεῖ. διόπερ καὶ τὰ τῶν
ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπιπλέον ὑμῶν κεκαίνωται.
μέχρι μὲν οὖν τοῦδε, ὡρίσθω ὑμῶν ἡ βραδυτής. νῦν δὲ τοῖς
τε ἄλλοις. καὶ ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθή-
σατε κατατάχος ἐσβαλόντες ἐς τὴν ἀττικήν, ἵνα μὴ ἄν-
δρας τε φίλους, καὶ ξυγγενεῖς τοῖς ἐχθίστοις πρόησθε, καὶ
ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν
τρέψητε. δρῶμεν δ' ἂν ἄδικον οὐδὲν, οὔτε πρὸς θεῶν τῶν
ὁρκίων, οὔτε πρὸς ἀνθρώπων τῶν αἰσθανομένων. λύουσι γὰρ
σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες. ἀλλ' οἱ
μὴ βοηθοῦντες οἷς ἂν ξυνομόσωσι. βουλομένων δὲ ὑμῶν
προθύμων εἶναι, μενοῦμεν. οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν
μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους ἂν ἄλλους εὕροιμεν.

πρὸς

πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὼ πελοπόννησον περιᾴδε μὴ ἐλάσσω ἀζημιοῦσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν. τοιαῦτα μὲν οἱ κορίνθιοι εἶπον. ὑμῶν δ' ἀθλιώτατόν ἐστιν (ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ λακεδαίμονι περὶ ἄλλων πρᾶξαι) καὶ ὡς ἠθύμουν τὼ λόγω, ἔδοξεν αὐτοῖς παριέναι ἐς τοὺς λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων περὶ, μηδὲν ἀπολογησομένους, ὧν αἱ πόλεις ἐνεκάλεσαν· δηλῶσαι δὲ περὶ τοῦ παντὸς, ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἶη, ἀλλ' ἐν πλέονι σκέψει, καὶ ἅμα τὼ σφετέραν πόλιν ἐβούλοντο σμικρῶσαι, ὅσην εἶχον δύναμιν καὶ ὑπομνῆσαι ποιήσασθαι τοῖς τε πρεσβυτέροις, ὧν ἤκουεν, καὶ τοῖς νεωτέροις ἀζήμιοι, ὧν ἄπειροι ἦσαν, νομίζοντες μᾶλλον ἂν τοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν γράψεσθαι, ἢ πρὸς τὸ πολεμεῖν. προσελθόντες οὖν τοῖς λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἰ μή, ἀπρακτοῦντες, οἴκαδ' ἐκέλευόν τε ἐπιέναι. καὶ παρελθόντες οἱ ἀθηναῖοι ἔλεγον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΑΘΗΝΑΙΩΝ.

Ἡμεῖν πρέσβυσις ἡμῶν, οὐκ ἐς ἀνθυλογίαν τοῖς ἡμετέροις ξυμμάχοις ἐγγύεται, ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν. ἀναθόμενοι δὲ καταβολὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν παρῆλθομεν, οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντερροῦντες. οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν, οὔτε ἡμῶν οὔτε τόπων οἱ λόγοι ἂν γίγνοιντο, ἀλλ' ὅπως μὴ ξαδίως περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις πειθόμενοι, χεῖρον βουλεύ-

σησθε. καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς
ἡμᾶς καθεστῶτος, δηλῶσαι ὡς οὔτε ἀπεικότως ἔχομεν
ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί. καὶ τὰ μὲν
πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρ
τυρες, ἢ ὄψεις τῶν ἀκουσομένων. τὰ δὲ μηδικὰ, καὶ ὅσα
αὐτοῖς ξύνιστε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλο-
μένοις, ἀνάγκη λέγειν. ὃ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ
ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου, μέρος μετέσχετε, τοῦ δὲ λό-
γου, μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκόμεθα. ῥηθήσεται δὲ οὐ
παραιτήσεως μᾶλλον ἕνεκα, ἢ μαρτυρίου, καὶ δηλώσεως,
πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευομένοις, ὁ ἀγὼν κατα-
στήσεται. φαμὲν γὰρ μαραθῶνί τε μόνοι προκινδυνεῦσαι
τῷ βαρβάρῳ. καὶ ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες
κατὰ γῆν ἀμύνεσθαι, ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ, ἐν
σαλαμῖνι ξυναυμαχῆσαι. ὅπερ ἔσχε. μὴ κατὰ πόλεις αὐτὸν
ἐπιπλέοντα τὴν πελοπόννησον πορθεῖν, ἀδυνάτων ὄντων
πρὸς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. τεκμήριον δὲ μέ-
γιστον αὐτὸς ἐποίησε. κινηθεὶς γὰρ ταῖς ναυσὶν, ὡς οὐκέτι
αὐτῷ ὁμοίας οὔσης καὶ δυνάμεως, κατατάχος τῷ
πλέονι τοῦ στρατοῦ ἀνεχώρησε. τοιούτου μέν τοι τούτου ξυμ-
βάντος, ὃ σαφῶς δηλωθέντος ὅτι ἐν ταῖς ναυσὶ τῶν
ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφελιμώτατα
ἐς αὐτὸ προσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον, καὶ ἄνδρα
στρατηγὸν ξυνετώτατον, ὃ προθυμίαν ἀοκνοτάτην. ναῦς
μέν γε ἐς τὰς τετρακοσίας ὀλίγω ἐλάσσους τῶν δύο μοιρῶν.
θεμιστοκλέα δὲ ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ στενῷ ναυ-
μαχῆ-

μαχῆσαι ἐγένετο, ὅπῃ σαφέστατα ἔσωσε τὰ πράγματα.
Καὶ αὐτὸν διὰ τοῦτο ὑμεῖς ἐτιμήσατε, μάλιστα δὴ ἄνδρα ξέ-
νον τῶν ὡς ἡμᾶς ἐλθόντων, προθυμίαν δὲ καὶ πολὺ τολμη-
ροτάτην ἐδείξαμεν, οἵ γε ἐπειδὴ ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβο-
ήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων, ἠξιώσαμεν
ἐκλιπόντες τὴν πόλιν καὶ τὰ οἰκεῖα διαφθείραντες, μηδὲ
ὡς τοῦ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν, μηδὲ
σκεδασθέντες, ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ' ἐσβάντες ἐς
τὰς ναῦς, κινδυνεῦσαι, καὶ μὴ ὀργισθῆναι ὅτι ἡμῖν προ-
ετιμωρήσατε. ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς,
ἢ τυχεῖν τούτου. ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πό-
λεων, καὶ ἐπὶ τοῦ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ
ὑμῶν, καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε. ὅτε γοῦν ἡμεῖν
ἔτι σῶοι, οὐ παρεγένεσθε. ἡμεῖς δὲ ἀπό τε τῆς οὐχ οὔσης
ἔτι ὁρμώμενοι, καὶ ὑπὲρ καὶ ἐν βραχείᾳ ἐλπίδι οὔσης
κινδυνεύοντες, ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος, καὶ ἡμᾶς
αὐτούς. εἰ δὲ προσεχωρήσαμεν πρότερον τοῦ μήδου
δείσαντες ὥσπερ καὶ ἄλλοι περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολ-
μήσαμεν ὕστερον ἐσβῆναι ἐς τὰς ναῦς, ὡς διεφθαρ-
μένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς μὴ ἔχοντας ναῦς ἱκα-
νὰς, ναυμαχεῖν, ἀλλὰ καθ' ἡσυχίαν ἂν αὐτοῦ προεχώ-
ρησε τὰ πράγματα ᾗ ἐβούλετο. ἀρ' ἄξιοι ἐσμὲν ὦ λακεδαι-
μόνιοι, καὶ προθυμίας ἕνεκα καὶ τότε. καὶ γνώμης ξυνέ-
σεως, ἀρχῆς τε, ἧς ἔχομεν, τοῖς ἕλλησι μὴ οὕτως ἄγαν
ἀπλοφθόνως διακεῖσθαι. καὶ γὰρ αὐτοῦ τήνδε ἐλάβομεν,
οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖ-

ναι πρὸς τὰ ὑπολοιπὰ τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόν-
των τῶν ξυμμάχων, καὶ αὐτῶν δεηθέντων ἡγεμόνας κα-
ταστῆναι, ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸν πρῶ-
τον προαγαγεῖν αὐτὴν ἐς τόδε. μάλιστα μὲν ὑπὸ δέους,
ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελείας. καὶ οὐκ ἀσφα-
λὲς ἔτι ἐδόκει εἶναι τοῖς πολλοῖς ἀπηχθημένους, καὶ τινων
καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι
ὁμοίως φίλων, ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέν-
τας κινδυνεύειν. καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγί-
γνοντο. πᾶσι δὲ ἀνεπίφθονον, τὰ ξυμφέροντα τῶν μεγί-
στων πέρι κινδύνων εὖ τίθεσθαι. ὑμεῖς γοῦν ὦ λακεδαιμόνιοι
τὰς ἐν τῇ πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον
καταστησάμενοι, ἐξηγεῖσθε. καὶ εἰ τότε ὑπομείναντες δια-
παντὸς ἀπήχθεσθε ἐν τῇ ἡγεμονίᾳ, ὥσπερ ἡμεῖς εὖ ἴσμεν,
μὴ ἂν ἧσσον ἡμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις,
καὶ ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κιν-
δυνεύειν, οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν.
οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διαδιδομέ-
νην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν ὑπὸ τῶν μεγίστων
νικηθέντες τιμῆς, καὶ δέους, καὶ ὠφελείας. οὐδ' αὖ πρῶτοι
τοῦ κοινοῦ ὑπάρξαντες, ἀλλ' ἀεὶ καθεστῶτος, τὸν ἥσσω ὑπὸ
τοῦ δυνατωτέρου κατείργεσθαι, ἄξιοί τε ἅμα νομίζοντες
εἶναι, καὶ ὑμῖν δοκοῦντες, μέχρις οὗ τὰ ξυμφέροντα λογι-
ζόμενοι τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν οὐδείς πω πα-
ρατυχὸν ἰσχύϊ τί κτήσασθαι προθεὶς, τοῦ μὴ πλέον ἔχειν,
ἀπετράπετο, ἐπαινεῖσθαί τε ἄξιοι, οἵ τινες χρησάμενοι τῇ
ἀνθρω-

ἀνθρωπείᾳ φύσει, ὥσπερ ἐτέρωμ ἄρχειμ, δικαιότεροι ἢ κρίνειν ὑπάρχουσαν δύναμιν ἡδονῆς. ἄλλως γὰρ οὖμ οὕτω σκοπούμενα τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂμ, μάλιστα εἴ τι μετριάζομεν. ἡμῖν δὲ ἐκ τῆς ἐπιεικοῦς ἀδοξίας τὸ πλέομ, ἢ ἐπαινοῦσιμ οὐκ εἰκότως προιέσθαι. καὶ ἐλαττούμενοι γὰρ ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις, καὶ παρ' ἡμῖν αὐτοῖς τοῖς ἐν ὁμοίοις νόμοις, ποιήσαντες τὰς κρίσεις ἕλλοδικεῖν δοκοῦμεν. ⟨ οὐδεὶς σκοπεῖ αὐτῶν, τοῖς καὶ ἄλλοθί που ἔχουσιν ἀρχαῖς, καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι, διότι τοῦτο οὐκ ὀνειδίζεται. βιάζεσθαι γὰρ οἷς ἂν ᾖ δικάζεσθαι οὐδεμιᾷ προσδέονται. οἱ δὲ εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἵνα μὴ παρὰ τὸ μὴ οἴεσθαι χρῆναι, ἢ δυνάμει τῇ διὰ τῶν ἀρχῶν, ⟨ ὅπως ἂν ἐλαττωθῶσιν, οὐ τοῦ πλείονος μὴ στερισκόμενοι χάριν ἔχουσιν, ἀλλὰ τοῦ ξυμβαίνειν, χαλεπώτερον φέρουσιν, ἢ εἰ ἀπὸ πρώτου ἀπηθεμένοι τὸν νόμον, φανερῶς ἐπλεονεκτοῦμεν. ἐκείνως δὲ οὐδ' ἂν αὐτοὶ ἀντέλεγον, ὡς οὐ χρεὼν τὸν ἴσον, ἀλλὰ κρατοῦντα ὑποχωρεῖν. ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἀνθρωποι μᾶλλον ὀργίζονται, ἢ βιαζόμενοι. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἴσου, δοκεῖ πλεονεκτεῖσθαι τὸ δ' ἀπὸ τοῦ κρείττονος, καταναγκάζεσθαι. ὑπὸ γὰρ τοῦ μήδ' ἀθενέστερα τούτων πάσχοντες, ἡνείχοντο. ἡ δὲ ἡμετέρα ἀρχή, χαλεπὴ δοκεῖ εἶναι. εἰκότως. τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. ὑμεῖς γὰρ ἂν οὕτω οἱ καθελόντες ἡμᾶς ἄρξαιτε, τάχα ἂν τῆς ἐαυσίας, ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε, μεταβάλοιτε, εἴπερ οἷα καὶ τότε πρὸς τὴν μηδὲν δι' ὀλίγου ὑπηκόαν ἀπεδείξατε, ὅμοιον

ὅμοια καὶ νῦν γνώσεσθαι. ἄμικτα γὰρ τὰ πολλὰ ὑμᾶς
αὐτοὺς νόμιμα τοῖς ἄλλοις ἔχετε, καὶ προσέτι εἷς ἕκα-
στος θηρίων, οὔτε τούτοις χρῆται, οὔτε οἷς ἄλλοις Ἕλλησι νο-
μίζεται. βουλεύεσθε οὖν βραδέως, ὡς οὐ περὶ βραχέων, καὶ
μὴ ἀλλοτρίας γνώμαις καὶ ἐγκλήμασι πειθόμενοι, οἰκείου
πόνου πρόσθησθε. τοῦ δὲ πολέμου τὸν πλοῦτον, ὅσον δοκεῖ,
πρὶν ξυμβῆναι, προσιδέσθαι, προδιαγνῶτε, μηκυνόμενον γιγνό-
μενον ἐς τύχας τὰ πολλὰ πίπτοντας, ὧν ἴσον τε ἀπέχο-
μεν, καὶ ὁποτέρως ἔσαι, ξὺν ἀδήλῳ κινδυνεύειν. ἰόντες τε
οἱ ἄνθρωποι ἐς τοὺς πολέμους, πρῶτον ἔργων πρότερον ἔχον-
ται, ἃ καιρῷ ὕστερον δρᾶν. κακοπαθοῦντες δὲ ἤδη πρῶτον λόγων
ἅπτονται. ἡμεῖς δὲ οὐδεμιᾷ πω τοιαύτῃ ἁμαρτίᾳ ὄντες,
οὔτε αὐτοί, οὔτε ὑμᾶς ὁρῶντες, λέγομεν ὑμῖν, ἕως ἔτι ἀμφοτέροις
ἐστὶν ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ λύειν, μηδὲ
παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ
τὼν ξυνθηκῶν. ἢ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιούμενοι,
πειρασόμεθα ἀμύνεσθαι πολέμιον. ἄρχοντας ταύτῃ, ἢν ἀμ
ὑφηγῆσθε. τοιαῦτα μὲν οἱ ἀθηναῖοι εἶπον. ἐπειδὴ δὲ πρῶ
ξυμμάχων ἤκουσαν οἱ λακεδαιμόνιοι τὰ ἐγκλήματα,
τὰ ἐς τοὺς ἀθηναίους, καὶ πρῶ ἀθηναίων ἃ ἔλεξαν, μετα-
σκησάμενοι πάντας, ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ
πρῶ παρόντων. καὶ πρῶ μὲν πλεόνων, ἐπιτάυτὰ ἃ γνῶμαι
ἔφερον, ἀδικεῖν τε τοὺς ἀθηναίους ἤδη, καὶ πολεμητέα εἶναι
ξὺν τάχει. παρελθὼν δὲ ἀρχίδαμος ὁ βασιλεὺς
αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι, καὶ
σώφρων ἔλεξε τοιάδε.

ΔΗΜΗ

ΔΗΜΗΓΟΡΙΑ ΑΡΧΙΔΑΜΟΥ.

Καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι ὦ λα-
κεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ, ὥστε
μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου, ὅπερ ἂν οἱ πολλοὶ
πάθοιεν, μήτε ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. εὕροιτε
δ' ἂν τὸν πόλεμον τόνδε, περὶ οὗ νῦν βουλεύεσθε, οὐκ ἂν
ἐλάχιστον γενόμενον, εἰ σωφρόνως τὶς αὐτὸν ἐκλογίζοιτο.
πρὸς μὲν γὰρ τοὺς πελοποννησίους, καὶ τοὺς ἀστυγείτο-
νας, πρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ ταχέων οἷόν τε ἐφ'
ἕκαστα ἐλθεῖν. πρὸς δὲ ἄνδρας, οἳ γῆν τε ἑκὰς ἔχουσι, καὶ
προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις
ἅπασιν ἄριστα ἐξήρτυνται πλούτῳ τε ἰδίῳ, καὶ δημοσίῳ,
καὶ ναυσὶ, καὶ ἵπποις, καὶ ὅπλοις, καὶ ὄχλῳ, ὅσος οὐκ ἐν
ἄλλῳ ἑνί γε χωρίῳ ἑλληνικῷ ἐστιν. ἔτι δὲ καὶ ξυμμάχους
πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι. πῶς χρὴ πρὸς τούτους ῥᾳ-
δίως πόλεμον ἄρασθαι, καὶ τίνι πιστεύσαντες, ἀπρασκέ-
υους ἐπειχθῆναι. πότερον ταῖς ναυσὶν; ἀλλ' ἥσσους ἐσμὲν.
εἰ δὲ μελετήσομεν, καὶ ἀντιπρασκευασθησόμεθα, χρόνος
ἐνέσται. ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον τού-
του ἐλλείπομεν, καὶ οὔτε ἐν κοινῷ ἔχομεν, οὔτε ἑτοίμως
ἐκ τῶν ἰδίων φέρομεν. τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις
αὐτῶν, καὶ τῷ πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν
ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστὶ πολλὴ, ἧς ἄρχουσι. καὶ
ἐκ θαλάσσης, ὧν δέονται, ἐπάξονται. εἰ δ' αὖ τοὺς ξυμ-
μάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ
βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πό-

λεμος; εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς προσόδους ἀφαιρήσομεν, ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι βλαψόμεθα τὰ πλέω. κἂν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλὸν ἄλλως τε, καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον ἢ διαφορᾶς. μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρόμεθα, ὡς ταχὺ παυθήσεται ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν. δέδοικα δὲ μᾶλλον μὴ ⊂ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν. οὕτως εἰκὸς ἀθηναίους φρονήματι, μήτε τῇ γῇ δουλεῦσαι, μήτε ὥσπερ ἀπείρους καταπαλγῆναι τῷ πολέμῳ. οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω, τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι, μήτε πόλεμον ἄγαν δηλοῦντας, μήθ' ὡς ἐπιτρέψομεν. κἂν τούτῳ ⊂ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι, ξυμμάχων τε προσαγωγῇ, καὶ ἑλλήνων, καὶ βαρβάρων, εἴποθέν τινα ἢ ναυτικοῦ, ἢ χρημάτων δύναμιν προσληψόμεθα. ἀνεπίφθονον δὲ ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' ἀθηναίων ἐπιβουλευόμεθα, μὴ ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας, διασωθῆναι, καὶ τὰ αὐτῶν ἅμα ἐκπορίζόμεθα. καὶ ἢν μὲν ἐπακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα. ἢν δὲ μὴ, διελθόντων ἐτῶν δύο, ⊂ τριῶν, ἄμεινον ἤδη. ἢν δοκῇ πεφραγμένοι, ἴμεν ἐπ' αὐτοὺς. καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν, καὶ τοὺς λόγους αὐτῇ ὅμοια ὑποσημαίνοντας, μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες, καὶ περὶ παρόντων ἀγαθῶν ⊂ οὔπω ἐφθαρμένων βουλευόμενοι. μὴ γὰρ ἄλλό τι νομίσητε τὴν γῆν

αὐτῶν

ὧν τῶν μὴ ὅμοιον ἔχειν, καὶ οὐκ ἴσον, ὅσῳ ἄμεινον δ' ἐργάζεσθαι. καὶ φείδεσθαι χρὴ ὡς ἐπιπλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀλκιμωτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι τοῖς ἡμῖν ξυμμάχοις ἐγκλήμασιν ἐπεχείρουν τιμωρεῖν αὐτοῖς, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀφροντιστότερον τὴν πλοπονυήσῳ πράξομεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν, οἷόν τε καταλῦσαι. πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐκ ὑπάρχει εἰδέναι καθ' ὅ τι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι, καὶ ἀναισθήτως μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν δοκεῖτω εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα, φέροντες ξύμμαχοι. καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων δ' πλέον, ἀλλὰ δαπάνης δι' ἣν τὰ ὅπλα ὠφελεῖ. ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. πορισώμεθα οὖν πρῶτον αὐτὴν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, οἵπερ δὲ καὶ τῶν ἀπραγμονούντων τὸ πλέον ἐς ἁμαρτίας ἔξομεν, οὕτω καὶ ἧσυχίαν τινὰ αὐτῶν προϊδώμεθα. καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ ἀποχώρειτε. ὠφελοῦντές τε γὰρ χαλεπώτερον ἂν ὠφελοῖσθε, διὰ τὸ ἀπράσκοποι ἐγχειρεῖν. καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διαπρεπῶς νεμόμεθα. καὶ δύναται μάλιστα σωφρόνως ἔμφρονι τῷ τ. hoc modo εἶναι. μόνοι γὰρ δι' αὐτὸ εὐπραγίᾳ τε οὐκ ἀγυρτόμενοι, καὶ ξυμφορᾶς ἧσσον ἑτέρων εἰκόμεν. καὶ τε ξυνεπαίνοις ἐποτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ, παρὰ δ' δοκεῖν ἡμῖν. οὐκ ἐπαιρόμεθα ἡδονῇ. καὶ λιτῇ ἂν ἄρα ξυνὼν κατηγορίᾳ πρὸς ξυνὼν οὐδεμ

ξάνῃ, οὐδὲν δὴ μᾶλλον ἀχθεσθέντες ἂν ἐπείσθημεν. πολε-
μικοί τε ἐν εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν
ὅτι αἰδοῦς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐ-
ψυχία. εὔβουλοι δὲ ἀμαθέστεροι τῶν νόμων καὶ ὑπεροψίας
παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρονέστερον, ἢ ὥστε
αὐτῶν ἀνήκουστεῖν. καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες,
τὰς τῶν πολεμίων πρασκευὰς λόγῳ καλῷ μεμφόμενοι,
ἀνομοίως ἔργῳ ἐπεξιέναι. νομίζειν καὶ τάς τε διανοίας
τῶν πέλας πραπλησίους εἶναι, καὶ τὰς προσπιπτούσας τύ-
χας οὐ λόγῳ διαιρετάς. ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους
τοὺς ἐναντίους ἔργῳ πρασκευαζόμεθα. ἐν οὐκ ἐξ ἐκείνων,
ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν
αὐτῶν ἀσφαλῶς προνοουμένων. πολύ τε διαφέρειν οὐ δεῖ
νομίζειν ἄνθρωπον ἀνθρώπου. κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς
ἀναγκαιοτάτοις παιδεύεται. ταύτας οὖν ἃς οἱ πατέρες
τε ἡμῖν πρέδοσαν μελέτας, καὶ αὐτοὶ διαπαντὸς ὠφελού-
μενοι ἔχομεν, μὴ πρῶμεν. μηδ' ἐπειχθέντες ἐν βραχεῖ
μορίῳ ἡμέρας, περὶ πολλῶν σωμάτων, καὶ χρημάτων, ἐν
πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. ἔξεστι
δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. ἐν πρὸς τοὺς ἀθηναίους
πέμπετε μὲν περὶ καὶ ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ
ξύμμαχοί φασιν ἀδικεῖσθε. ἄλλως τε, καὶ ἑτοίμων ὄν-
των αὐτῶν δίκας δοῦναι. ἐπὶ δὲ τὸν διδόντα, οὐ πρότε-
ρον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι. πρασκευάζεσθε δὲ τὸν
πόλεμον ἅμα. ταῦτα γὰρ καὶ κράτιστα βουλεύσεσθε, καὶ
τοῖς ἐναντίοις φοβερώταια. καὶ ὁ μὲν ἀρχίδαμος, τοι-
αῦτα

κῦτα εἶπε. παρελθὼν δὲ θρασυλαΐδας πλουταῖος, εἷς τῶν ἐφόρων τότε ὢν, ἔλεξε τοῖς λακεδαιμονίοις ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΣΘΕΝΕΛΑΙΔΟΥ.

Τοὺς μὲν λόγους τοὺς τῶν ἀθλιωτάτων, οὐ γιγνώσκω. ἐπαινέσαντας δ' πολλὰ ἑαυτοὺς, οὐδαμοῦ ἀντεῖπον, ὡς δικαίους τοὺς ἡμετέρους ξυμμάχους, καὶ τὴν πελοπόννησον. καίτοι εἰ πρὸς τοὺς μήδους ἐγχώριον ἀγαθοὶ τότε, πρὸς δὲ ἡμᾶς κακοὶ νῦν, διπλασίας χαρίτας ἄξιοί εἰσιν, ὅτι ἀντὶ ἀγαθῶν, κακοὶ γεγόνασι. ἡμεῖς δὲ ὅμοιοι καὶ τότε, καὶ νῦν ἐσμεν. καὶ τοὺς ξυμμάχους, ἣν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους, οὐδὲ μελλήσομεν ἀμωρεῖν. οἶδε οὐκέτι μέλλουσι κακῶς πάσχειν. ἄλλως μὲν γὰρ χάσματα δὴ πολλά, καὶ νῆες, καὶ ἵπποι. ἡμῖν δ' ξύμμαχοι ἀγαθοί οὔς οὐ παραδοτέα τοῖς ἀθλιωτάτοις ὄντων, οὐδὲ δίκαιος καὶ λόγοις διακριτέα, μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ ἀμωρητέα ὡς τάχιστα, καὶ παντὶ σθένει. καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω. ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν, μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. φυλάξεσθε οὖν ὦ λακεδαιμόνιοι ἀξίως τῶν πάντων τὸν πόλεμον. καὶ μήτε τοὺς ἀθλιωτάτους ἔτι μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς, ἰωμεν ἐπὶ τοὺς ἀδικοῦντας. τοιαῦτα λέξας, ἐπεψήφιζεν αὐτὸς ἔφορος ὤν, ἐς τὴν ἐκκλησίαν τῶν λακεδαιμονίων. ὁ δὲ κρίνουσι γὰρ βοῇ, καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βου-

βουλόμενος αὐτοὺς φανερῶς, ἀπεδεικνυμένους τὴν γνώμην, ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν. ὅτῳ μὲν ὑμῶν ὦ λακεδαιμόνιοι δοκοῦσι λελῦσθαι αἱ σπονδαὶ, καὶ οἱ ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον, δείξας τὶ χωρίον αὐτοῖς. ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα. ἀναστάντες δὲ διέστησαν. καὶ πολλῷ πλείους ἐγένοντο, οἷς ἐδόκουν αἱ σπονδαὶ λελῦσθαι. προσκαλέσαντές τε τοὺς ξυμμάχους, εἶπον, ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι, τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, διαπραξάμενοι ταῦτα. καὶ οἱ ἀθηναίων πρέσβεις ὕστερον ἐφ' ἅπερ ἦλθον χρηματίσαντες, ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τὸν τὰς σπονδὰς, λελῦσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει, τῶν τριακοντουτίδων σπονδῶν, προκεχωρυκηῶν, αἳ ἐγένοντο μετὰ τὰ εὐβοϊκά. ἐψηφίσαντο δὲ οἱ λακεδαιμόνιοι τὰς λελῦσθαι, καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ καὶ ἑλλάδος ὑποχείρια ἤδη ὄντα. οἱ γὰρ ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα, ἐν οἷς ἠυξήθησαν. ἐπειδὴ μῆδοι ἀνεχώρησαν ἐκ καὶ εὐρώπης νικηθέντες καὶ ναυσὶ, καὶ πεζῷ ὑπὸ ἑλλήνων καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶ, ἐς μυκάλην διεφθάρησαν, λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν μυκάλῃ ἑλλήνων, ἀπεχώρησαν ἐπ'

οἴκου,

οἶκα, ἔχωλ τοὺς ἀπ' πελοποννήσ ξυμμάχους. οἱ δ' ἀθη-
ναῖνοι, καὶ οἱ ἀπ' ἰωνίας, καὶ ἑλλησπόντ ξύμμαχοι, ἤδη
ἀφεστηκότες ἀπ' βασιλέως, ὑπομένοντες σκοπ ἐπολιόρ-
κουν, μήδωμ ἐχόντων. καὶ ἐπιχειμάσαντες, εἷλον αὐτῆ
ἐκλιπόντων τὴν βαρβάρων. καὶ μετὰ τοῦτο, ἀπέπλευ-
σαν ἐς ἑλλησπόντ, ὡς ἕκασοι κ τὴ πόλεις. ἀθλιωτάτω δὲ
τὸ κοινόμ, ἐπειδὴ αὐτοῖς οἱ βαρβάροι ἐκ τῆ χώρας ἀπῆλ-
θον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο, παῖδας & γυναῖ-
κας, καὶ τὴν πρισθεσαν κατασκευήν, & τὴ πόλιμ ἀνοικο-
δομοῦν ἀντεσκευάζοντο, καὶ τὰ τείχη. τοῦ τε γὰρ περι-
βόλ βραχέα εἰστήκει καὶ οἰκίαι, αἱ μὲν πολλαί, ἐπεπτώ-
κεσαν. ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνωσαν, οἵ
δυνατοὶ τῆν πάντων. λακεδαιμόνιοι γὰ ἀιθόμενοι τὸ μέλ-
λομ, ἦλθον ἐς πρεσβείαν, τὰ μὲν & αὐτοὶ ἤδιομ ἂμ ἐχῶν-
τες μή ποτ' ἐκείνους, μήτ' ἄλλομ μηδένα τεῖχ ἔχοντα.
τὸ δὲ πλέομ τῆν ξυμμάχων ἠξιοῦν καθελεῖν, καὶ φοβου-
μένων τ πανδήμ αὐτῶν τ πλῆθ, ὃ πρώτω οὐχ ὑπῆρ-
χε. & τῶν ἐς τὸμ μηδικὸμ πόλεμον τόλμαν ἡγουμένων,
ἠξίουν τε αὐτοὺς μὴ ταχίζειν, ἀλλὰ καὶ τῆν ἔξω περιπολου-
μένων μᾶλλον ὅσοις ξυμφορὰ ξυγκαθελεῖν μετὰ σφῶν τοὺς
περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὑποπτον τῆς γνώμης
οὐ δηλοῦντες ἐς τοὺς ἀθλιωτάτους ὡς δὲ τῶν βαρβάρων εἰ αὖθις
ἐπέλθοι, οὐκ ἂμ ἔχοντ ἀπ' ἐχυρᾶ πόθεν, ὥσπ νῦν ἐκ
τῆν θηβῶν ὁρμᾶσθαι, τήν τε πελοποννησον πᾶσιν ἔφασαν
ἀναχώρησίμ τε & ἀφορμὴν ἱκανὴν εἶναι. οἱ δ' ἀθλιωτάτοι,
θεμιστοκλέους γνώμη, τοὺς μὲν λακεδαιμονίους ταῦτ εἰπόν-
τας

D. Vinsch. legit πέμπουσιν, et dixit futurū sæpe usurpari pro præsente.

Attice pro πρὸς

τας ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις
περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν. ἑαυτὸν δ' ἐκέλευεν
ἀπρεσέλλειν ὡς τάχιστα ὁ θεμιστοκλῆς ἐς τὴν λακεδαίμο-
να. ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς
ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν ἱκανὸν τὸ
τεῖχος αἴρωσιν, ὥστε ἀπρμάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου
ὕψους. τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει, καὶ
αὐτοὺς, καὶ γυναῖκας, καὶ παῖδας, φειδομένους μήτε ἰδίου,
μήτε δημοσίου οἰκοδομήματος, ὅθεν τὶς ὠφέλεια ἔσται
ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα
διδάξας, καὶ ὑπειπὼν τὰ ἄλλα, ὅτι αὐτὸς τἀκεῖ πράξοι,
ᾤχετο, καὶ ἐς τὴν λακεδαίμονα ἐλθὼν, οὐ προσῄει πρὸς
τὰς ἀρχὰς, ἀλλὰ διῆγε, καὶ προὐφασίζετο. καὶ ὁπότε τὶς
αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων, ὅτι οὐκ ἐπέρχεται ἐπὶ τὸ
κοινὸν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν. ἀσχολίας δέ τινος
οὔσης. αὐτοὺς ὑπολειφθεῖναι, προσδέχεσθαι μὲν τοι ἐν
τάχει ἥξειν, καὶ θαυμάζειν, ὡς οὔπω πάρεισιν. οἱ δὲ ἀκού-
οντες, τῷ μὲν θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ. τῶν
δὲ ἄλλων ἀφικνουμένων, καὶ σαφῶς κατηγορούντων, ὅτι
τειχίζεταί τε, καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ
ἀπιστῆσαι. γνοὺς δὲ ἐκεῖνος, κελεύει αὐτοὺς μὴ λόγοις μᾶλ-
λον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες
χρηστοὶ, καὶ πιστῶς ἀναγγελοῦσι σκεψάμενοι. ἀποστέλλουσιν
οὖν καὶ περὶ αὐτῶν ὁ θεμιστοκλῆς τοῖς ἀθηναίοις κρύφα
πέμπει, κελεύων, ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν, καὶ μὴ
ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν. ἤδη γὰρ καὶ
ἥκον

ad imperium. Abstractū pro concreto a q sūt cum imperio

Noëma

ἧκον ἀυτῷ οἱ ξυμπρέσβεις, ἀβρώνιχός τε ὁ λυσικλέους, καὶ ἀριστείδης ὁ λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος. ἐφοβεῖτο γὰρ μὴ οἱ λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. οἵ τε οὖν ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ ἐπεστάλη κατεῖχον. καὶ ὁ θεμιστοκλῆς ἐπελθὼν, τοῖς λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. εἰ δέ τι βούλονται λακεδαιμόνιοι, ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι πρὰ σφᾶς, ὡς προσδιαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι. τά, τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι, καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι. καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις, καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι, οὐ γὰρ οἷόν τε εἶναι μὴ ἀπὸ ἀντιπάλου πρασκευῆς ὅμοιόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ παντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν. οἱ δὲ λακεδαιμόνιοι ἀκούσαντες, ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς ἀθηναίοις. οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο. ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὴν μῆδον προθυμίαν, τα μάλιστα αὐτοῖς ἐτύγχανον. τῆς μὲν τοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων, ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως. τούτῳ

τως, τούτῳ τῷ τρόπῳ οἱ ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. καὶ δῆλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστὶν ὅτι κατὰ σπουδὴν ἐγένετο. οἱ γὰρ θεμέλιοι, παντοίων λίθων ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων ἔστιν ἦ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον. πολλαί τε στῆλαι ἀπὸ σημάτων, καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη καὶ πόλεως. καὶ διατοῦτο πάντα ὁμοίως κινοῦντες, ἠπείγοντο. ἔπεισε δὲ καὶ τοὶ πειραιῶς τὰ λοιπὰ ὁ θεμιστοκλῆς οἰκοδομεῖν. ὑπῆρκτο δ' αὐτοὶ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν ἀθηναίοις ἦρξε νομίζων, τό, τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους, μέγα προφέρειν ἐς τὸ τιήσασθαι δύναμιν. καὶ γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ, τὸ πάχος τοι τείχους, ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν πειραιᾶ. δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον, ἐντὸς δὲ οὔτε χάλιξ, οὔτε πηλὸς ἦν, ἀλλ' ξυνῳκοδομήμενοι μεγάλοι λίθοι, καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν, καὶ μολύβδῳ δεδεμένοι. τὸ δὲ ὕψος, ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. ἠβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀτειστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς. ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀγρειοτάτων ἀρκέσειν τὴν φυλακήν. τοὺς δ' ἄλλους, ἐς τὰς ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο, ἰδὼν, ὡς ἔμοι δοκεῖ, καὶ βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον,

ἐυπορω-

ἐυπορωτέραν φθ κ] γῆν οὖσαν, τὸν, πεπεραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς ἀθλωταῖς παρήνει, ἢν ἄρα ποτὲ κ] γῆν βιαθῶσι καταβάντες ἐς αὐτὸν ταῖς ναυσὶ, πρὸς ἅπαντας ἀνθίσασθαι. ἀθλωταὶ μὲν οὖν οὕτως ἐτειχίσθησαν, τὰ δὲλλα κατεσκευάζοντο ἐυθὺς μετὰ τὴν μήδων ἀναχώρησιν, παυσανίας δὲ ὁ κλεομβρότου, ἐκ λακεδαίμονος στρατηγὸς τῶν ἑλλήνων ἠρξε πέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ πελοποννήσου. ξυνέπλεον δὲ καὶ ἀθλωταῖοι τριάκοντα ναυσὶ, καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος καὶ ἐστράτευσαν ἐς κύπρον, καὶ αὐτὰ τὰ πολλὰ κατεστρέψαντο. καὶ ὕστερον ἐς βυζάντιον, μήδων ἐχόντων, καὶ ἀπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ. δὲ βιαίου ὄντος αὐτοῦ, οἵ τε ἄλλοι ἕλληνες ἠχθοντο, καὶ οὐχ ἥκιστα οἱ ἴωνες, καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο. φοιτῶντές τε πρὸς τοὺς ἀθλωταῖους, ἐξῆρον αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κ] τὸ ξυγγενές, καὶ παυσανίᾳ μὴ ἐπιτρέπειν, εἰ πῃ βιάζηται. οἱ δὲ ἀθλωταῖοι ἐδέξαντό τε τοὺς λόγους, καὶ προσέσχον τὸν νοῦν, ὡς οὐ πρόφασιν μόνον, τὰ δὲλλά τε κατασκάμενοι ἢ φαίνοιτο ἄριστα αὐτοῖς. ᾧ τούτῳ ἢ οἱ λακεδαιμόνιοι μετεπέμποντο παυσανίαν, ἀνακεκινδυνευκότες ὧν περὶ ἐπαυδάνοντο καὶ γὰρ ἀδικίαι πολλαὶ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν ἑλλήνων ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις, ἢ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαι τὰ ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθρᾳ παρὰ ἀθλωταίους μεταταξασθαι, πλὴν τῶν ἀπὸ πελοποννήσου στρατιωτῶν, ἐλθὼν δὲ ἐς λακεδαίμονα, τῶν μὲν

μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων ἐυθύνθη. τὰ δὲ μέγιστα
ἀπολύεται μὴ ἀδικεῖν. κατηγορεῖτο δὲ αὐτοὶ οὐχήκιστα μη-
δισμός. καὶ ἐδόκει σαφέστατον εἶναι. ⊂ ἐκεῖνον μὲν οὐκέτι
ἐκπέμπουσιν ἄρχοντα. δόρκιν δὲ καὶ ἄλλους τινὰς μετ'
αὐτοὶ στρατιὰν ἔχοντας, οὐ πολλὴν, οἷς οὐκέτι ἐφίεσαν οἱ
ξύμμαχοι τὴν ἡγεμονίαν. οἱ δὲ αἰσθόμενοι, ἀπῆλθον. καὶ
ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ λακεδαιμόνιοι, φο-
βούμενοι μὴ σφίσιν οἱ ἐξιόντες, χείρους γίγνοντο, ὅπερ καὶ
ἐν τῷ παυσανίᾳ ἐνεῖδον. ἀπαλλαξείοντες δὲ καὶ τοὶ μη-
δικοῦ πολέμου, καὶ τοὺς ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξη-
γεῖσθαι, καὶ σφίσιν ἐν τῷ τότε πρόντι ἐπιτηδείους. πρα-
λαβόντες δὲ οἱ ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ,
ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ παυσανίου μῖσος, ἔταξαν
ἅς τε ἔδει πρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβα-
ρον, καὶ ἃς ναῦς. πρόσχημα γὰρ ἦν ἀμύνεσθαι ὧν ἔπα-
θον, δῃοῦντας τὴν βασιλέως χώραν. καὶ ἑλληνοταμίαι
τότε πρῶτον ἀθηναίοις κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φό-
ρον. οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορὰ. ἦν δ' ὁ
πρῶτος φόρος ταχθεὶς, τετρακόσια τάλαντα, καὶ ἑξή-
κοντα. ταμιεῖόν τε, δῆλος ἦν αὐτοῖς, καὶ ξύνοδοι ἐς τὸ
ἱερὸν ἐγίγνοντο. ἡγούμενοι δὲ αὐτονόμων τοπρῶτον τῶν
ξυμμάχων, ⊂ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, τοσάδε
ἐπῆλθον πολέμῳ τε καὶ διαχρήσει πραγμάτων μεταξὺ
τοῦδε τοὶ πολέμου, καὶ τοὶ μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν
βάρβαρον αὐτοῖς, ⊂ πρὸς τοὺς σφετέρους ξυμμάχους νεω-
τερίζοντας, καὶ πελοποννησίων τοὺς ἀεὶ προστυγχάνον-
τας ἐν

τας ἐν ἑκάστῳ. ἔγραψα δὲ αὐτὰ, καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, καὶ ἢ τὰ πρὸ τῶν μηδικῶν ἑλληνικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ μηδικά. τούτων δὲ ὅπῃ καὶ ἥψατο ἐν τῇ ἀττικῇ ξυγγραφῇ ἑλλάνικος, βραχέως τε, καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη. πρῶτον μὲν ἠίονα τὴν ἐπὶ στρυμόνι, μήδων ἐχόντων, πολιορκίᾳ εἷλον, καὶ ἠνδραπόδισαν, κίμωνος τοῦ μιλτιάδου στρατηγοῦντος. ἔπειτα σκύρον τὴν ἐν τῷδ' αἰγαίῳ νῆσον, ἣν ὤκουν δόλοπες ἠνδραπόδισαν, καὶ ᾤκισαν αὐτοί. πρὸς δὲ καρυστίους αὐτοῖς, ἄνευ τῶν ἄλλων εὐβοέων, πόλεμος ἐγένετο, καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. ναξίοις δὲ ἀπεστᾶσι, μεταταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεστήσαντο. πρώτη τε αὕτη πόλις ξυμμαχίς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη. ἔπειτα δὲ καὶ τῶν ἄλλων, ὡς ἑκάστη ξυνέβη. αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀπεστάσεων, καὶ μέγισται αἱ τῶν φόρων, καὶ νεῶν ἔνδειαι, καὶ λειποστρατίον, εἴ τῳ ἐγένετο. οἱ γὰρ ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν, οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας. ἦσαν δέπως καὶ ἄλλως οἱ ἀθηναῖοι, οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες. καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους, ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι. διὰ γὰρ τὸ ἀπόκνησιν ταύτην τῶν στρατειῶν, οἱ πλείους αὐτῶν ἵνα μὴ ἀπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον

ἀνάλωμα φέρειν. καὶ τοῖς μὲν ἀθηναίοις ἤυξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης, ἣν ἐκεῖνοι ξυμφέροιεν. αὐτοὶ δὲ ὁπότε ἀπεστεῖεν, ἀπεράσκευοι καὶ ἄποροι ἐς τὸν πόλεμον καθίστεντο. ἐγένετο δὲ μεταταῦτα, καὶ ἡ ἐπ' εὐρυμέδοντι ποταμῷ ἐν παμφυλίᾳ πεζομαχία, καὶ ναυμαχία ἀθηναίων. Ⓒ τῶν ξυμμάχων πρὸς μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα ἀθηναῖοι, κίμωνος τοῦ μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις φοινίκων, καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας. χρόνῳ δὲ ὕστερον ξυνέβη θασίους αὐτῶν ἀποστῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας θρᾴκη ἐμπορίων καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ θάσον πλεύσαντες οἱ ἀθηναῖοι, ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀπέβησαν. ἐπὶ δὲ στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν Ⓒ τῶν ξυμμάχων, ὑπὸ τοὺς αὐτοὺς χρόνους ὡς οἰκειοῦντες τὰς τότε καλουμένας ἐννέα ὁδοὺς, νῦν δὲ ἀμφίπολιν, τῶν μὲν ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον ἠδωνοί. προελθόντες δὲ τῆς θρᾴκης ἐς μεσόγειαν, διεφθάρησαν ἐν δραβήσκῳ τῇ ἠδωνικῇ ὑπὸ τῶν θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ ἐννέα ὁδοὶ κτιζόμενον. θάσιοι δὲ νικηθέντες μάχαις, καὶ πολιορκούμενοι, λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμύνειν ἐκέλευον ἐσβαλόντας ἐς τὴν ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν ἀθηναίων, καὶ ἔμελλον. διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ εἵλωτες αὐτοῖς, καὶ τῶν περιοίκων θουριᾶταί τε καὶ αἰθεεῖς, ἐς ἰθώμην ἀπέστησαν. πλεῖστοι δὲ τῶν εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν μεσσηνίων τότε δουλωθέντων

λωθέντων ἀπόγονοι, ᾗ ⊂ μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν ἰθώμῃ, πόλεμος καθεστήκει λακεδαιμονίοις. θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγησαν ἀθηναίοις. τεῖχός τε καθελόντες, καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι, καὶ τολοιπὸν φέρειν, τήν τε ἤπειρον, καὶ τὸ μέταλλον ἀφέντες. λακεδαιμόνιοι δὲ ὡς αὐτοῖς πρὸς τοὺς ἐν ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους, καὶ ἀθηναίους. οἱ δ' ἦλθον, κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. τοῖς δὲ πολιορκίας μακρᾶς καθεστηκήας, τούτου ἐνδεᾶ ἐφαίνετο. βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας, πρῶτον λακεδαιμονίοις, καὶ ἀθηναίοις φανερὰ ἐγένετο. οἱ γὰρ λακεδαιμονίοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐκ ἡλίσκετο, δείσαντες τὴν ἀθηναίων τὸ τολμηρόν, καὶ τὴν νεωτεροποιΐαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι μή τι ἢν πραμείνωσον ὑπὸ τῶν ἐν ἰθώμῃ πεισθέντες, νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν, τὴν μὲν ὑπεψίαν οὐ δηλοῦντες. εἰπόντες δὲ ὅτι οὐδὲν προσδέοντι αὐτῶν ἔτι. οἱ δ' ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου, καὶ δεινὸν ποιησάμενοι, καὶ οὐκ ἀξιώσαντες ὑπὸ λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς, ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο. ⊂ πρὸς θεσσαλοὺς

σαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχίαι
κατέστη. οἱ δ' ἐν ἰθώμῃ δεκάτῳ ἔτει ὡς οὐκέτι ἐδύναντο
ἀντέχειν. ξυνέβησαν πρὸς τοὺς λακεδαιμονίους ἐφῷ τε
ἐξιάσιν ἐκ πελοποννήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπι-
βήσονται αὐτῆς. ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι
δοῦλον. ἦν δέ τι καὶ χρηστήριον τοῖς λακεδαιμονίοις πυθι-
κὸν προτοῦ, τὸν ἱκέτην τοῦ διὸς τοῦ ἰθωμήτα ἀφιέναι. ἐξῆλ-
θον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες. καὶ αὐτοὺς ἀθηναῖοι
δεξάμενοι κατ' ἔχθος ἤδη τὸ λακεδαιμονίων, ἐς νάυπακ-
τον κατῴκισαν, ἣν ἔτυχον ἠρηκότες νεωστὶ λοκρῶν τῶν ὀζο-
λῶν ἐχόντων. προσεχώρησαν δὲ καὶ μεγαρῆς ἀθηναίοις ἐς
ξυμμαχίαν λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς κορίν-
θιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. καὶ ἔσχον ἀθηναῖοι
μέγαρα καὶ πηγᾶς, καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν
μεγαρεῦσι, τὰ ἀπὸ τῆς πόλεως ἐς νίσαιαν. καὶ ἐφρούρουν
αὐτοί. καὶ κορινθίοις μὲν οὐχήκιστα ἀπὸ τοῦ δὲ τὸ σφο-
δρὸν μῖσος ἤρξατο πρῶτον ἐς ἀθηναίους γενέσθαι. ἱνάρως
δὲ ὁ ψαμμητίχου, λίβυς, βαλιλεὺς λιβύων τῶν πρὸς αἰγύ-
πτῳ, ὁρμώμενος ἐκ μαρείας τῆς ὑπὲρ φάρου πόλεως,
ἀπέστησεν αἰγύπτου τὰ πλέω, ἀπὸ βασιλέως ἀρταξέρξου.
καὶ αὐτὸς ἄρχων γενόμενος, ἀθηναίους ἐπηγάγετο. οἱ δὲ
(ἔτυχον γὰρ ἐς κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις
αὐτῶν τε καὶ τῶν ξυμμάχων) ἦλθον ἀπολιπόντες τὴν
κύπρον, καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν νεῖλον,
τοῦ τε ποταμοῦ κρατοῦντες, καὶ τῆς μερίδος τῶν δύο μερῶν
πρὸς τὸ τρίτον μέρος, ὃ καλεῖται λευκὸν τεῖχος, ἐπολέ-
μου. ἐνῆσαν

μοων. ϛνῆσαν δὲ αὐτόθι πρῶτον μὲν μόνον οἱ καταφυγόντες, καὶ αἰγυπτίων οἱ μὴ ξυναπράντες. ἀθηναίοις δὲ ναυσὶν ἀπροσδόκητος ἐς ἁλιάς, πρὸς κορινθίους, καὶ ἐπιδαυρίους, μάχη ἐγένετο. καὶ ϛνίκων κορίνθιοι, καὶ ὕστερον ἀθηναῖοι ϛναυμάχησαν ἐπὶ κεκρυφαλείᾳ πελοποννησίων ναυσί. ϛνίκων ἀθηναῖοι, πολέμιοι δὲ κατασάντες πρὸς αἰγινήτας ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' αἰγινήτας μεγάλη, ἀθηναίων ϛ αἰγινητῶν. καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν. καὶ ϛνίκων ἀθηναῖοι. καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν, ϛ ἐπολιόρκουν, λεωκράτους τοῦ στροίβου στρατηγοῦντος. ἔπειτα πελοποννήσιοι ἀμύνειν βουλόμενοι αἰγινήταις, ἐς μὲν τὴν αἴγιναν, τριακοσίους ὁπλίτας πρότερον κορινθίων ϛ ἐπιδαυρίων ἐπικούρους διεβίβασαν. τὰ δὲ ἄκρα φρουρείας κατέλαβον. καὶ ἐς τὴν μεγαρίδα κατέβησαν κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀσφαλῶς ἔσεσθαι ἀθηναίους βοηθεῖν τοῖς μεγαρεῦσιν, ἔν τε αἰγίνῃ, ἀπόντος στρατοῦ πολλοῦ, καὶ ἢν αἰγύπτῳ ἦν ἢ μὴ βοηθῶσιν, ἀπὸ αἰγίνης ἀνασκήσεσθαι αὐτούς. οἱ δ' ἀθηναῖοι τὸ μὲν πρὸς αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν. τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων, οἵ τε πρεσβύτατοι, καὶ οἱ νεώτατοι, ἀφικνοῦνται ἐς τὰ μέγαρα, μυρωνίδου στρατηγοῦντος, ϛ μάχης γενομένης ἰσοῤῥόπου πρὸς κορινθίους, διεκρίθησαν ἀπ' ἀλλήλων. καὶ ϛνόμισαν αὐτοὶ ἑκάτεροι, οὐκ ἔλασσον ἔχειν ϛν τῷ ἔργῳ, καὶ οἱ μὲν ἀθηναῖοι (ἐκράτησαν γὰρ ὅμως μᾶλλον) ἀπελθόντων τῶν κορινθίων, τροπαῖον ἔστησαν. οἱ δὲ κορίνθιοι κακιζόμενοι

μενοι ὑπὲρ τῶν ἐν τῇ πόλει πρεσβυτέρων, καὶ παρασκευασά-
μενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα, ἐλθόντες ἀνθίστα-
σαν τροπαῖον καὶ αὐτοὶ, ὡς νικήσαντες, καὶ οἱ ἀθηναῖοι
ἐκβοήσαντες ἐκ τῶν μεγάρων, τούς τε τὸ τροπαῖον ἱστάν-
τας διαφθείρουσι, καὶ τοῖς ἄλλοις ξυμβαλόντες, ἐκράτη-
σαν. οἱ δὲ νικώμενοι, ὑπεχώρουν. καί τι αὐτῶν μέρος οὐκ
ὀλίγον προσβιασθὲν, καὶ διαμαρτὸν τῆς ὁδοῦ, ἐσέπεσεν ἐς
τοῦ χωρίου ἰδίωτου, ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον, ⊂
οὐκ ἦν ἔξοδος. οἱ δὲ ἀθηναῖοι γνόντες, κατὰ πρόσωπόν τε
εἶργον τοῖς ὁπλίταις, καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς,
κατέλευσαν πάντας τοὺς εἰσελθόντας. καὶ πάθος μέγα
τοῦτο τοῖς κορινθίοις ἐγένετο. τὸ δὲ πλῆθος ἀπεχώρησεν
αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου. ἤρξαντο δὲ κατὰ τοὺς χρόνους
τούτους, ⊂ τὰ μακρὰ τείχη ἀθηναῖοι ἐς θάλασσαν οἰκο-
δομεῖν, τό, τε φαληρόν δὲ, καὶ τὸ ἐς πειραιᾶ. καὶ φοκέων
στρατευσάντων ἐς δωριὰς, τὴν λακεδαιμονίων μητρόπο-
λιν, βοιὸν, καὶ κυτίνιον, καὶ ἐρινεὸν, καὶ ἑλόντων ἓν τῶν
πολισμάτων τούτων, οἱ λακεδαιμόνιοι, νικομήδους τοῦ
κλεομβρότου ὑπὲρ πλειστοάνακτος τοῦ παυσανίου βασι-
λέως, νέου ὄντος ἔτι ἡγουμένου, ἐβοήθησαν τοῖς δωριεῦσιν,
ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις, καὶ τῶν
ξυμμάχων μυρίοις, ⊂ τοὺς φωκέας ὁμολογίᾳ ἀναγκά-
σαντας ἀποδοῦναι τὴν πόλιν, ἀπεχώρουν πάλιν, καὶ κατὰ
θάλασσαν μὲν αὐτοὺς διὰ τοῦ κρισσαίου κόλπου εἰ βούλοιντο
πραιοῦσθαι, ἀθηναῖοι ναῦσι περιπλεύσαντες, ἔμελλον κω-
λύσειν, διὰ δὲ τῆς γεραινείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς,

ἀθηναίων ἐχόντων μέγαρα καὶ πηγάς, πορεύεσθαι δύσοδός τε γὰρ ἡ γεράνεια καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ ἀθηναίων, καὶ τότε ἠσθάνοντο αὐτοὺς μέλλοντας, καὶ ταύτῃ κωλύσειν. ἔδοξε δὲ αὐτοῖς

ἐν βοιωτοῖς

ἐν βοιωτοῖς περιμείνασι, σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέ-
στατα διαπορεύσονται, τὸ δέ τι καὶ ἄνδρες τῶν ἀθηναίων ἐπῆ-
γον αὐτοὺς κρύφα, ἐλπίσαντες δῆμόν τε καταπαύσειν, καὶ
τὰ μακρὰ τείχη οἰκοδομούμενα. ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς
οἱ ἀθηναῖοι πανδημεὶ, καὶ ἀργείων χίλιοι, καὶ τῶν ἄλλων
ξυμμάχων, ὡς ἕκαστοι. ξύμπαντες δὲ ἐγένοντο τετρακισχί-
λιοι, καὶ μύριοι. νομίσαντες δὲ ἀπορεῖν ὅπη διέλθωσιν,
ἐπεστράτευον αὐτοῖς. καί τι καὶ τοῦ δήμου καταλύσεως ὑπο-
ψίᾳ. ἦλθον δὲ καὶ θεσσαλῶν ἱππεῖς τοῖς ἀθηναίοις καὶ τοῦ
ξυμμαχικὸν, οἳ μετέστησαν ἐν τῷδ' ἔργῳ πρὰ τοὺς λακε-
δαιμονίους. γενομένης δὲ μάχης ἐν τανάγρᾳ τῆς βοιω-
τίας, ἐνίκων λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι. καὶ φόνος
ἐγένετο ἀμφοτέρων πολύς. καὶ λακεδαιμόνιοι μὲν ἐς τὴν
μεγαρίδα ἐλθόντες, καὶ δενδροτομήσαντες, πάλιν ἀπῆλ-
θον ἐπ' οἴκου διὰ γεραινείας, καὶ ἰσθμοῦ. ἀθηναῖοι δὲ δευ-
τέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην, ἐστράτευσαν
ἐς βοιωτοὺς, μυρωνίδου τρατηγοῦντος, καὶ μάχῃ ἐν οἰνο-
φύτοις τοὺς βοιωτοὺς νικήσαντες, τί τε χώρας ἐκράτησαν
τῆς βοιωτίας καὶ φωκίδος. καὶ ταναγραίων τὸ τεῖχος
περιεῖλον. καὶ λοκρῶν τῶν ὀπουντίων ἑκατὸν ἄνδρας ὁμή-
ρους τοὺς πλουσιωτάτους ἔλαβον. τά τε τείχη τὰ ἑαυτῶν
τὰ μακρὰ, ἀπετέλεσαν. ὡμολόγησαν δὲ καὶ οἱ αἰγινῆ-
ται μεταταῦτα τοῖς ἀθηναίοις, τείχη τε περιελόντες,
καὶ ναῦς παραδόντες, φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα
χρόνον. καὶ πελοπόννησον περιέπλευσαν ἀθηναῖοι, τολ-
μίδου τοῦ τολμαίου στρατηγοῦντος. καὶ τὸ νεώριον

τῶν λακεδαιμονίων ἐνέπρησαν. καὶ χαλκίδα κορινθίων πόλιν εἷλον. καὶ σικυωνίους ἐν ἀποβάσει καὶ γῆς μάχῃ ἐκράτησαν. οἱ δ' ἐν τῇ αἰγύπτῳ ἀθηναῖοι, καὶ οἱ ξύμμαχοι, ἔτι ἐπέμενον. καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. τὸ μὲν γὰρ πρῶτον, ἐκράτουν καὶ αἰγύπτου οἱ ἀθηναῖοι, καὶ βασιλεὺς πέμπει ἐς λακεδαίμονα μεγάβαζον, ἄνδρα πέρσην χρήματα ἔχοντα, ὅπως ἐς τὴν ἀττικὴν ἐσβαλεῖν, πεισθέντων τῶν πελοποννησίων, καὶ ἀπ' αἰγύπτου ἀπαγάγοι ἀθηναίους, ὡς δὲ αὐτῷ οὐ προὐχώρει, καὶ τὰ χρήματα ἄλλως ἀνάλοντο, ὁ μὲν μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν ἀσίαν ἀνεκομίσθη. μεγάβαζον δὲ τὸν ζωπύρου πέμπει ἄνδρα πέρσην μετὰ στρατιᾶς πολλῆς. ὃς ἀφικόμενος κατὰ γῆν, τούς τε αἰγυπτίους, καὶ τοὺς ξυμμάχους, μάχῃ ἐκράτησε. καὶ ἐκ τῆς μέμφιδος ἐξήλασε τοὺς ἕλληνας. καὶ τέλος ἐς προσωπίτιδα τὴν νῆσον κατέκλεισε. καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν, καὶ μῆνας ἕξ, μέχρις οὗ ξηράνας τὴν διώρυχα, καὶ πρατρέψας ἄλλῃ τὸ ὕδωρ, τάς τε ναῦς ἐπὶ τῆς ξυρῆς ἐποίησε, καὶ καὶ νήσου τὰ πολλὰ, ἤπειρον. καὶ διαβὰς, εἷλε τὴν νῆσον πεζῇ, οὕτω μὲν τὰ τῶν ἑλλήνων πράγματα ἐφθάρη ἓξ ἔτη πολεμήσαντα. καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς λιβύης, ἐς κυρήνην διεσώθησαν. οἱ δὲ πλεῖστοι ἀπώλοντο. αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέως ἐγένετο, πλὴν ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως. τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν. καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν αἰγυπτίων οἱ ἕλειοι. ἰνάρως δὲ ὁ λιβύων βα-

λιλεὺς,

pro πολεμησάντων ἑλλήνων

σιλεὺς, ὃς τὰ πάντα ἔπραξε περὶ καὶ αἰγύπτου, προδοσίᾳ
ληφθεὶς ἀνεσταυρώθη. ἐκ δὲ τῶν ἀθηναίων καὶ καὶ ἄλλης
ξυμμαχίδος, πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι
ἐς αἴγυπτον, ἔσχον κατὰ τὸ μενδήσιον κέρας, οὐκ εἰδότες τῶν
γεγενημένων οὐδέν. καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες
περοὶ, καὶ ἐκ θαλάσσης φοινίκων ναυτικὸν, διέφθειραν τὰς
πολλὰς τῶν νεῶν. αἱ δ' ἐλάσσους, διέφυγον πάλιν. τὰ μὲν
κατὰ τὴν μεγάλην στρατιὰν ἀθηναίων καὶ τῶν ξυμμάχων
ἐς αἴγυπτον, οὕτως ἐτελεύτησεν. ἐκ δὲ θεσσαλίας, ὀρέστης ὁ
ἐχεκρατίδου ἡὸς τοι θεσσαλῶν βασιλέως, φεύγων, ἔπεισεν
ἀθηναίους ἑαυτὸν κατάγειν. καὶ παραλαβόντες τοὺς βοιω-
τοὺς, καὶ φωκέας ὄντας ξυμμάχους οἱ ἀθηναῖοι, ἐστράτευ-
σαν καὶ θεσσαλίας ἐπὶ φάρσαλον. καὶ καὶ μὲν γῆς ἐκρά-
τουν, ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων. οἱ γὰρ ἱππεῖς
τῶν θεσσαλῶν εἶργον, τὴν δὲ πόλιν οὐκ εἷλον. οὐδ' ἄλλο
προὐχώρει αὐτοῖς οὐδὲν, ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπε-
χώρησαν πάλιν ὀρέστην ἔχοντες ἄπρακτοι. μετὰ δὲ ταῦτα
οὐ πολλῷ ὕστερον, χίλιοι ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν
πηγαῖς ἐπιβάντες (εἶχον δ' αὐτοὶ τὰς πηγὰς) πρέπλευ-
σαν ἐς σικυῶνα, περικλέους τοι ξανθίππου στρατυγοῦντος.
καὶ ἀπεβάντες, σικυωνίων τοὺς προσμίξοντας, μάχῃ ἐκρά-
τησαν. καὶ εὐθὺς παραλαβόντες ἀχαιοὺς, καὶ διαπλεύσαν-
τες πέραν τῆς ἀκαρνανίας, ἐς οἰνιάδας ἐστράτευσαν, καὶ
ἐπολιόρκουν. οὐ μὲν τοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ'
οἴκου. ὕστερον δὲ διαλιπόντων ἐτῶν τριῶν, σπονδαὶ γίγνονται
πελοποννησίοις καὶ ἀθηναῖοις πενταετεῖς. καὶ ἑλληνικοῦ

Μ πολέμυ ἐπέχομ οἱ ἀθηναῖοι. ἐς δὲ κύπρομ ἐςρατεύονθ
ναυσὶ διακοσίαις αὐτῶμ τε Ⓒ τῶν ξυμμάχωμ, κίμωνθ
ςρατηγοῦντθ. καὶ ἑξήκοντα μὲν νῆες ἐς αἴγυπτομ ἀπ'
αὐτῶμ ἔπλευσαν, ἄμυρταίυ μεταπέμποντθ τὸν ἐν κοῖς
ἕλεσι βασιλέως. αἱ δὲ ἄλλαι κίτιομ ἐπολιόρκουμ. κίμω-
νθ δὲ ἀπραγμόντθ, καὶ λιμῷ γιγνομένυ, ἀπεχώρησαμ,
ἀπὸ κιτίυ. Ⓒ πλεύσαντες ὑπὲρ (supra) σαλαμῖνθ τὴν ἐν κύπρῳ,
φοίνιξι καὶ κυπρίοις καὶ κιλιξὶμ ἐναυμάχησαν, καὶ ἐπε-
ζομάχησαν ἅμα. Ⓒ νικήσαντες ἀμφότερα, ἀπεχώρησαν
ἐπ' οἴκυ, καὶ αἱ μὲν ἄιγύπτιαι νῆες πάλιμ αἱ ἐλθοῦσαι μετ'
αὐτῶν. λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸμ ἱερὸμ καλούμε- s. volunt Iouiani
νομ πόλεμομ ἐςράτευσαν. Ⓒ κρατήσαντες τοῦ ἐν δελφοῖς
ἱεροῦ, πρῶτοσαν δελφοῖς, καὶ ἄνθις ὕστερομ ἀθηναῖοι, ἀπε-
χωρησάντωμ αὐτῶμ ςρατεύσαντες, καὶ κρατήσαντες, πρῶτο-
σαμ φωκεῦσι. καὶ χρόνυ ἐγγιγνομένυ, μεταταῦτα ἀθηναῖοι,
βοιωτῶμ τοὺς φυγόντωμ ἐχόντωμ ὀρχομενόμ, καὶ χαιρώνειαμ
καὶ ἄλλ' ἄττα χωρία τῆς βοιωτίας, ἐςράτευσαν, ἑαυτῶμ μὲν
χιλίοις ὁπλίταις, τῶν δὲ ξυμμάχωμ ὡς ἑκάστοις ἐπὶ τὰ
χωρία ταῦτα πολέμια ὄντα, τολμίδυ τοῦ τολμαίυ ςρα-
τηγοῦντθ. καὶ χαιρώνειαμ ἑλόντες, καὶ ἀνδραποδίσαντες,
ἀπεχώρησαμ, φυλακὴμ καταςήσαντες, ποςδυομένοις δὲ αὖ-
τοῖς ἐν κορωνείᾳ, ἐπιτίθενται οἵ τε ἐκ φωκέων ὁρχομενοῦ φυ-
γάδες βοιωτῶν, καὶ λοκροὶ μετ' αὐτῶμ, καὶ εὐβοέωμ φυ-
γάδες, καὶ ὅσοι φωκέων αὐτῆς γνώμης ἦσαμ. καὶ μάχῃ κρα-
τήσαντες, τοὺς μὲν διέφθειραμ τῶν ἀθηναίωμ, τοὺς δὲ ζῶν-
τας ἔλαβομ. Ⓒ τῶν βοιωτίαμ δὲ ξέλιπομ ἀθηναῖοι πᾶσαμ,

σπονδὰς ποιησάμενοι, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. καὶ οἱ μὲν φεύγοντες βοιωτῶν κατελθόντες, καὶ οἱ ἄλλοι πάντες, αὐτόνομοι πάλιν ἐγίγνοντο. μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον, εὐβοια ἀπέστη ἀπ' ἀθηναίων. καὶ ἐς αὐτὴν διαβεβηκότων ἤδη περικλέους στρατηγοῦντος ἀθηναίων, ἀγγέλθη αὐτῷ ὅτι μέγαρα ἀφέστηκε, καὶ πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν ἐς τὴν ἀττικήν, καὶ οἱ φρουροὶ ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ μεγαρέων, πλὴν ὅσοι ἐς νίσαιαν ἀπέφυγον. ἔπαγαγόμενοι δὲ κορινθίους, καὶ σικυωνίους, καὶ ἐπιδαυρίους, ἀπέστησαν οἱ μεγαρεῖς. ὁ δὲ περικλῆς πάλιν κατατάχθεν ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς εὐβοίας. καὶ μετατιθέτο, οἱ πελοποννήσιοι τῆς ἀττικῆς ἐς ἐλευσῖνα, καὶ θρίωζε ἐσβαλόντες, ἐδῄωσαν, πλεισοάνακτος τοῦ παυσανίου βασιλέως λακεδαιμονίων ἡγουμένου. καὶ τὸ πλέον οὐκέτι προελθόντες, ἀπεχώρησαν ἐπ' οἴκου. καὶ ἀθηναῖοι πάλιν ἐς εὔβοιαν διαβάντες, περικλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν. καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο. ἐξιαίας δὲ ἐξῳκίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον. ἀναχωρήσαντες δὲ ἀπὸ εὐβοίας, οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς λακεδαιμονίους, καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες νίσαιαν. καὶ ἀχαΐαν, καὶ πηγὰς, καὶ τριζῆνα. ταῦτα γὰρ εἶχον ἀθηναῖοι πελοποννησίων. ἕκτῳ δὲ ἔτει σαμίοις, καὶ μιλησίοις πόλεμος ἐγίγνετο πρὸς περσέως. καὶ οἱ μιλήσιοι ἐλασσόμενοι τῷ πολέμῳ, παῤ ἀθηναίους ἐλθόντες, κατεβόων πρὸς σαμίων ξυνεπελαμβάνοντο δὲ καὶ τῆς αὐτῆς φυλῆς σάμου ἄνδρες ἰδιῶται, νεωτερίσαι βουλόμενοι

βυλόμενοι τῶν πολιτείαν. πλεύσαντες οὖν Ἀθηναῖοι ἐς
Σάμον ναυσὶ πεντηκόντα, δημοκρατίαν κατέστησαν, καὶ
ὁμήρους ἔλαβον τῶν Σαμίων πεντήκοντα καὶ παῖδας, ἴσους
δὲ ἄνδρας. καὶ κατέθεντο ἐς Λῆμνον. καὶ φρουρὰν ἐγκατα-
λιπόντες, ἀνεχώρησαν. τῶν δὲ Σαμίων, ἦσαν γάρ τινες οἱ
οὐχ ὑπεμενον, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνεθέμενοι τῶν
ἐν τῇ πόλει τοῖς δυνατωτάτοις, καὶ πιστὰ λαβόντες καὶ ὑπόσπον-
δον ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε συλλέξαν-
τες ἐς ἑπτακοσίους, διέβησαν νὺξ νύκτα ἐς τὴν Σάμον. καὶ
πρῶτον μὲν τοῦ δήμου ἐπανέστησαν, καὶ ἐκράτησαν τῶν
πλείστων. ἔπειτα τοὺς ὁμήρους κλέψαντες ἐκ Λήμνου τούς
αὐτῶν ἀπέστησαν, καὶ τοὺς φρουροὺς τῶν Ἀθηναίων, καὶ τοὺς
ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν πιστὰ λαβόντες. ὧν τε
μίλητον ἐνθὺς παρεσκευάζοντο στρατιάν. ξυναπέστησαν δὲ
αὐτοῖς καὶ Βυζάντιοι. Ἀθηναῖοι δὲ ὡς ἤσθοντο, πλεύσαντες
ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου, ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν
οὐκ ἐχρήσαντο. ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκο-
πὴν τῶν Φοινισσῶν νεῶν, οἱ Χῖοι, καὶ Λέσβιοι, πρέσβεις ἀγέλυσαι βοηθεῖν. πεντεκαίδεκα δὲ ναυσὶ καὶ τέσ-
σαρσι, πρὸς κλέους δεκάτου αὐτῶν στρατηγοῦντος, ναυμάχη-
σαν πρὸς Πρασίᾳ τῇ νήσῳ, Σαμίων ναυσὶν ἑβδομήκοντα,
ὧν ἦσαν αἱ εἴκοσι σφαιρώτιδες. ἔτυχον δὲ αἱ πᾶσαι
ἀπὸ μιλήτου πλέουσαι, καὶ ἐνίκων Ἀθηναῖοι. ὑπῆρχον δὲ
αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες πεντεκαίδεκα, καὶ
Χίων, καὶ Λεσβίων, πέντε καὶ εἴκοσι. καὶ ἀποβάντες ἐς τὴν
γῆν, καὶ κρατοῦντες τοῦ πεζοῦ, ἐπολιόρκουν τῇσι τείχεσι,
τὴν

τὴν πόλιν, ⊂ ἐκ θαλάσσης ἅμα. πρικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν, ᾤχετο κατατάχος ἐπὶ καύνου, ⊂ καρίας, ἐσαγγελθέντων ὅτι φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν. ᾤχετο γὰρ ⊂ ἐκ καὶ σάμου πέντε ναυσὶ στησαγόρας, καὶ ἄλλοι ἐπὶ τὰς φοινίσσας ἐν τούτῳ δὲ οἱ σάμοι ἐξαπιναίως ἔκπλουν πρισάμενοι, ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες, τάς τε προφυλακίδας ναῦς διέφθειραν, καὶ ναυμαχοῦντες, τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης καὶ καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας πρὶ τεσσαρεσκαίδεκα. καὶ ἐσεκομίσαντο, καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. ἐλθόντος δὲ πρικλέους, πάλιν τοῖς ναυσί, κατεκλείσθησαν. καὶ ἐκ τῶν ἀθηνῶν ὕστερον προσεβοήθησαν. τεσσαρακοντα μὲν αἱ μετὰ θουκυδίδου, καὶ ἄγνωνος, καὶ φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ τληπολέμου, καὶ ἀντικλέους. ἐκ δὲ χίου, καὶ λέσβου, τριάκοντα. ⊂ ναυμαχίαν μὲν τινα βραχεῖαν ἐποιήσαντο οἱ σάμιοι. ἀδύνατοι δὲ ὄντες, ἀντιχεῖν, ἐξεπολιορκήθησαν ἐννάτῳ μηνί, ⊂ προσεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες, καὶ ὁμήρους δόντες ναῦς πραδόντες, καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. ξανέβησαν δὲ καὶ βυζάντιοι ὥσπερ καὶ πρότερον, ὑπήκοοι εἶναι μεταταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον, τὰ προειρημένα, τά τε κερκυραϊκὰ, καὶ τὰ ποτιδαιατικὰ, καὶ ὅσα πρόφασις μεταξὺ τοῦ δὲ τοῦ πολέμου κατέστη. ταῦτα τι ξύμπαντα ὅσα ἔπραξαν οἱ ἕλληνες, πρός τε ἀλλήλους, καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, μεταξὺ καὶ τε ξέρξου ἀναχωρήσεως, καὶ καὶ

ἀρχῆς τοῦ δὲ τοῦ πολέμου, ἐν οἷς ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. οἱ δὲ λακεδαιμόνιοι αἰσθόμενοι, οὔτε ἐκώλυον εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τοπλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρότου μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο. τό δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ ἡ δύναμις τῶν ἀθηναίων σαφῶς ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. τότε δὲ οὐκέτι ἀνασχετὸν ἐπιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πᾶσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχὺς, ἣν δύνωνται, ἀραμένοις, τόνδε τὸν πόλεμον. αὐτοῖς μὲν οὖν τοῖς λακεδαιμονίοις διέγνωστο λελῦσθαί τε τὰς σπονδὰς, καὶ τοὺς ἀθηναίους, ἀδικεῖν. πέμψαντες δὲ ἐς δελφοὺς, ἐπηρώτων τὸν θεόν. εἰ πολεμοῦσιν, ἄμεινον ἔσται. ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατακράτος πολεμοῦσι, νίκην ἔσεσθαι. καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ παρακαλούμενος, καὶ ἄκλητος. αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐβούλοντο ἐπαγαγεῖν, εἰ χρὴ πολεμεῖν. καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας, καὶ ξυνόδου γενομένης, οἵ τε ἄλλοι εἶπον ἃ ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν ἀθηναίων, καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι. καὶ οἱ κορίνθιοι δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάστων ἰδίᾳ, ὥστε ψηφίσασθαι πόλεμον, δεδιότες περὶ τῇ ποτιδαίᾳ μὴ προδιαφθαρῇ. παρόντες δὲ καὶ τότε, καὶ τε λευταῖοι ἐπελθόντες ἔλεγον τοιάδε.

ΔΗΜΗ-

ΔΗΜΗΓΟΡΙΑ ΚΟΡΙΝΘΙΩΝ.

Τοὺς μὲν λακεδαιμονίους ὦ ἄνδρες ξύμμαχοι, οὐκ ἂν ἔτι αἰτιασαίμεθα, ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι, καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. χρὴ γὰρ τοὺς ἡγεμόνας τὰ ἰδία ἐξίσου νέμοντας, τὰ κοινὰ προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται. ἡμῶν δὲ ὅσοι μὲν ἀθηναίοις ἤδη ἐνηλλάγησαν, οὐχὶ διδαχῆς δέονται ὥστε φυλάξασθαι αὐτούς, τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον, καὶ μὴ ἐν πόρῳ κατῳκημένους, εἰδέναι χρὴ, ὅτι τοῖς κάτω ἢν μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων καὶ πάλιν ἀντίληψιν, ὧν ἡ θάλασσα τῇ ἠπείρῳ δίδωσι. καὶ τῶν νῦν λεγομένων μὴ κακοὺς κριτὰς, ὡς μὴ προσηκόντων εἶναι, προσδέχεσθαι δέ ποτε εἰ τὰ κάτω προοίντο, κἂν μέχρι σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν βουλεύεσθαι. διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' εἰρήνης μεταλαμβάνειν. ἀνδρῶν γὰρ σωφρόνων μὲν ἐστιν εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν. ἀγαθῶν δὲ ἀδικουμένους, ἐκ μὲν εἰρήνης, πολεμεῖν. εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆναι. καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μή τε τῷ ἡσύχῳ καὶ εἰρήνης ἡδόμενον, ἀδικεῖσθαι. ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν, τάχιστ' ἂν ἀφαιρεθείη καὶ ῥᾳστώνης τὸ τερπνὸν, δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι. ὅ τε, ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα, κατωρθώθη, καὶ ἔτι πλείω ἃ καλῶς δοκοῦντα βουλευθῆναι,

εἰς τὸ παντίον ἀιχρῶς πριέσκ: ξυνθυμῶται γὰρ οὐδεὶς ὅμοια τῇ πίσει, ⸂ἔργῳ ἐπεξέρχετη, ἀλλὰ μετ' ἀσφαλείας μᾶλλ δοξάζομεν, μετὰ δέους δὲ οὐ ζαλ' ἔργῳ ἐλλείπομεν. ἡμεῖς δὲ νεῶν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν, ⸂ἱκανὰ ἔχοντες ἐγκλήματα, καὶ ὅτ' ἂν ἀμυνώμεθα ἀθηναίους, καταθυσόμεθα αὐτὸν οὐ καιρῷ. κατὰ πολλὰ δὲ ἡμᾶς, εἰκὸς ἐπικρατῆσαι. πρῶτον μὲν πλήθει προύχοντας, καὶ ἐμπειρίᾳ πολεμικῇ ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγιγνόμενα ἰόντας, ναυβικόν τε, ᾧ ἰσχύσιν, ἀπ' οὗ ὑπαρχόσης ἑκάστοις οὐσίας ἀξαρτυσόμεθα, καὶ ἀπὸ τῶν ξυμμάχων καὶ ὁλυμπίᾳ χρημάτων. δάνεισμα γὰρ ποιησάμενοι, ὑπολαβεῖν οἷοί τ' ἐς μισθῷ μείζονι τοὺς ξένους αὐτῶν ναυβάτας, ὧνπερ ἀθυμαίων ἢ δωσομεν μᾶλλον, ἢ οἰκεία. ἢ δὲ ἡμετέρα ἥσσον ἂν τοῦτο πάθοι τοῖς σώμασι τὸ πλέον ἰσχύουσα, ἢ τοῖς χρήμασι μιᾷ τε νίκῃ ναυμαχίας καὶ τὸ εἰκὸς ἁλίσκουτ. εἰ δ' ἀντίοιεν μελετήσομεν καὶ ἡμεῖς οὐ πλέονι χρόνῳ τὰ ναυτικά. καὶ ὅταν τὼν ἐπισήμων ἐς τὸ ἴσον κατασήσωμεν, τῇ γε εὐψυχίᾳ δήπου περιεσόμεθα. ὃ γὰρ ἡμεῖς φύσει ἔχομεν ἀγαθόν, ἐκείνοις οὐκ ἂν γένοιτο διδακτόν. ὃ δ' ἐκεῖνοι ἐπισήμως προύχουσι, καθαιρετέον ἡμῖν ὅτι μελέτῃ. χρήματα δ' ὡς ἔχειν ἐς αὐτά, οἴσομεν· ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι ἐπὶ δουλείᾳ αὐτῶν φέροντες οὐκ ἀποδώσουσιν. ἡμεῖς δ' ἐπὶ ζαλ' ἁμωσόμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι, οὐκ ἄρα δαπανήσομεν, καὶ ἐπὶ ζαλ μὴ ὑπ' ἐκείνων αὐτὰ ἀφαιρεθέντες αὐτοῖς τοῖς κακῶς πάσχειν.

x. alter affectt. sunt animo in diuersum, alter in vi gendae iſt.

schol. hoc ad ea quae ante dicta sunt pertinet. Fuit autem Isocrates paulo antiquior.

χειρ. ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοί τῳ πολέμῳ ἡμῖν, ξυμμάχων τε ἀπόστασις, μάλιστα προαίρεσις οὖσα τῶν πρόσθεν. αἷς ἰσχύουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα τε ὅσα οὐκ ἄν ἴσως νῦν προϊδοι. ἤκιστα γὰρ πόλεμος ἐπὶ ἡκιστοῖς χωρεῖ. αὐτὸς δὲ ἀφ' αὑτοῦ τὰ πολλὰ πεφυκὼς, πρὸς τὸ παρατυγχάνον. ἐν ᾧ μὲν ἐνεργήτως αὐτῷ πρόσεστι, μὴ πολέμιον, σομιλήσας, βεβαιότερος. ὁ δὲ ὀργιασθεὶς περὶ αὐτοῦ, οὐκ ἐλάσσω πάσχει. ἐν ᾧ θυμούμεθα δὲ καὶ ὅτι εἰ μὴ ἡμῶν ἦσαν ἑκάστοις πρὸς ἀναπάλους περὶ γῆς ὅρων διαφοραὶ, οἷς ὁμῶν ἦν. νῦν δὲ πρὸς ξύμπαντάς τε ἡμᾶς ἀθλιώτατοι ἱκανοὶ, καὶ κατὰ πόλιν ἔτι διωστῶτες, ὥστε εἰ μὴ καὶ ἀθρόοι, καὶ ἔθνη, καὶ ἕκαστον ἄστυ μιᾷ γνώμῃ ἀμυνόμεθα αὐτούς, διχα γε ὄντας ἡμᾶς, ἀπόνως χειρώσονται, καὶ τῆς ἅπασαν, εἰ καὶ δεινόν ἐστι ἀκοῦσαι. ἴσως οὐκ ἄλλο τι φέρουσαν, ἢ ἄνδρας δειλίαν, ὃ καὶ λόγῳ ἐνδιαιτᾶσθαι αἰσχρὸν τῇ πελοποννήσῳ, καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν. ἐν ᾧ ἢ δικαίως δοκοῦμεν ἂν πάσχειν, ἢ διὰ δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἵ τὴν ἑλλάδα ἠλευθέρωσαν. ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτό. τύραννον δὲ ἐῶμεν ἐγκαθεσθαι πόλει· τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλῦσαι, καὶ οὐκ ἴσμεν ὅπως τάδε ξυμβαίνει τῶν μεγίστων ξυμφορῶν οὐκ ἀπηλλαγμένα, ἀξυνεσίας, ἢ μαλακίας, ἢ ἀμελείας, οἷς γὰρ δὴ πεφύκασι ταῦτα, ἐπὶ τοὺς πλείστους, δὴ βεβάσασιν καταφρόνησιν ἐχόρηκατε, ἢ ἐκ τοῦ πολλοὺς σφᾶλαι, τὸ ξυνετὸν ὄνομα ἀφροσύνῃ μετωνόμασαι. τὰ μὲν οὖν προγεγενημένα τὶ δεῖ

μακρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει, αἰτιᾶσθαι. περὶ δὲ τῶν ἐπειτα μελλοντων, τοῖς πρῶσι βοηθοῦντας, χρὴ ἐπιτα-λαιπωρεῖν. πάτριον γὰρ ἡμῖν ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι, καὶ μὴ μεταβάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε, νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε, οὐ γὰρ δίκαιον ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι, ἀλλὰ θαρσοῦντας, ἰέναι καὶ πολλὰ ἐς τὸν πολεμον, τοι τε θεοῦ χρήσαντος, καὶ αὐτοι ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῶν ἄλλης ἑλλάδος ἁπάσης ξυναγωνιουμένης. τὰ μὲν φόβῳ, τὰ δὲ ὠφελείᾳ σπονδάς τε οὐ λύσετε πρότεροι, ἃς γε καὶ ὁ θεὸς κελεύων πολεμεῖν, νομίζει παραβεβᾶσθαι, ἢ δι' ἀκηρίας δὲ μᾶλλον βοηθήσετε. λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες. ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, καὶ ἡμῶν κοινῇ τάδε παραινούντων, εἴπερ βεβαιότατον τὸ ταῦτα ξυμφέροντα, καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε ποτιδαιάταις τε ποιεῖσθαι τιμωρίαν, οὖσι δωριεῦσι, καὶ ὑπὸ ἰώνων πολιορκουμένοις, οὗ πρότερον ἦν τοὐναντίον, καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευτερίαν, ὡς οὐκέτι ἐνδέχεται περιμένοντας, τοὺς μὲν ἤδη βλάπτεσθαι, τοὺς δ' ἐι γνωσθησόμεθα, ξυνελθόντες μὲν, ἀμύνεσθαι δὲ ἀτολμῶντες, μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν. ἀλλὰ νομίσαντες ἐπ' ἀνάγκην ἀφῖχθαι ὦ ἄνδρες ξύμμαχοι, καὶ ἅμα τάδε ἄριστα λέγεσθαι, ψηφίσασθε τὸν πολεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινόν. τῆς δ' ἀπ' αὐτοι διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες (ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται) ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι,

λεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον. καὶ τὴν καθεστηκῆαν ἐν τῇ ἑλλάδι πόλιν τύραννον ἡγησάμενοι, ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥστε τὴν μὲν, ἤδη ἄρχειν. τὴν δὲ διανοεῖσθαι, πρασσήσωμεθα ἐπελθόντες. καὶ αὐτοί τε ἀκινδύνως τὸ λοιπὸν οἰκῶμεν, καὶ τοὺς μὲν νῦν δεδουλομένους ἕλληνας, ἐλευθερώσωμεν. τοιαῦτα μὲν οἱ κορίνθιοι εἰπον. οἱ δὲ λακεδαιμόνιοι ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώμην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν, ὅσοι παρῆσαν ἑξῆς, καὶ μείζονι καὶ ἐλάσσονι πόλει. καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. δεδογμένον δὲ αὐτοῖς, εὐθὺς μὴ ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν. ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις, ἃ πρόσφορα ἦν, καὶ μὴ εἶναι μέλλησιν. ὅμως δὲ καθισταμένοις ὧν ἔδει, ἐνιαυτὸς μὲν οὐ διετρίβη. ἔλασσον δὲ πρὶν ἐσβαλεῖν ἐς τὴν ἀττικὴν, καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς, ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τοῦ χρόνου πρὸς τοὺς ἀθηναίους ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσι. καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ λακεδαιμόνιοι, ἐκέλευον τοὺς ἀθηναίους τὸ ἄγος ἐλάυνειν τοῦ θεοῦ, τὸ δὲ ἄγος ἦν τοιόνδε. κύλων ἦν ἀθηναῖος ἀνὴρ ὀλυμπιονίκης, τὴν πάλαι εὐγενής τε καὶ δυνατός. ἐγεγαμήκει δὲ θυγατέρα θεαγένους, μεγαρέως ἀνδρὸς, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει μεγάρων. χρωμένῳ δὲ τοῦ κύλωνι ἐν δελφοῖς, ἀνεῖλεν ὁ θεὸς ἐν τῇ τοι διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν ἀθηναίων ἀκρόπολιν. ὁ δὲ παρά τε τοι θεαγένους δύναμιν λαβών, καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθεν

ὀλύμπια

ὀλύμπια τὰ ἐν πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν,
ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ διὸς μεγίστην εἶναι,
καὶ ἑαυτῷ τι προσήκειν ὀλύμπια νενικηκότι εἰ δὲ ἐν τῇ
ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι
κατενόησε, τό, τε μαντεῖον οὐκ ἐδήλου. ἔστι γὰρ καὶ ἀθη-
ναίοις διάσια, ἃ καλεῖτε διὸς ἑορτὴ μειλιχίου μεγίστη, ἔξω
τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ, οὐχ ἱερεῖα, ἀλλὰ
θύματα ἐπιχώρια. δοκῶν δὲ ὀρθῶς γιγνώσκειν, ἐπεχείρησε
τῷδε ἔργῳ. οἱ δ' ἀθηναῖοι αἰσθόμενοι, ἐβοήθησάν τε πανδη-
μεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς. καὶ προσκαθεζόμενοι, ἐπολιόρ-
κουν. χρόνου δὲ ἐπιγιγνομένου, οἱ ἀθηναῖοι τρυχόμενοι τῇ
προσεδρείᾳ, ἀπῆλθον οἱ πολλοὶ ἐπιτρέψαντες τοῖς ἐννέα
ἄρχουσι τὰ φυλακήν τε, καὶ τὰ πᾶν αὐτοκράτορσι διαθεῖναι,
ἢ ἂν ἄριστα διαγιγνώσκωσι. τότε δὲ τὰ πολλὰ τῶν πολι-
τικῶν, οἱ ἐννέα ἄρχοντες ἔπρασσον. οἱ δὲ μετὰ τοῦ κύλωνος
πολιορκούμενοι, φλαύρως εἶχον, σίτου δὲ καὶ ὕδατος ἀπο-
ρίᾳ. ὁ μὲν οὖν κύλων, καὶ ὁ ἀδελφὸς αὐτοῦ, ἐκδιδράσκου-
σιν. οἱ δ' ἄλλοι, ὡς ἐπιέζοντο, καί τινες καὶ ἀπέθνησκον ὑπὸ
τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν, ἱκέται τὸν ἐν τῇ
ἀκροπόλει. ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν ἀθηναίων ἐπι-
τετραμμένοι τὴν φυλακὴν, ὡς ἑώρων ἀποθνήσκοντας ἐν
τῷδε ἱερῷ, ἐφῷ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες,
ἀπέκτειναν. καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν
θεῶν ἐν τοῖς βωμοῖς, ἐν τῇ πρόδῳ διεχρήσαντο. καὶ ἀπὸ τού-
του, ἐναγεῖς, καὶ ἀλητήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο, καὶ
τὸ γένος τὸ ἀπ' ἐκείνων. ἤλασαν μὲν οὖν καὶ οἱ ἀθηναῖοι

τοὺς

τοὺς ἐναγεῖς, τούτους. ἤλασε δὲ καὶ κλεομένης ὁ λακε-
δαιμόνιος, ὕστερον μετὰ ἀθηναίων στασιαζόντων. τούς
τε ζῶντας ἐλάυνοντες, καὶ τῶν τεθνεώτων τὰ ὀστᾶ ἀνελόν-
τες ἐξέβαλον. κατῆλθον μέν τοι ὕστερον, καὶ τὸ γένος αὐ-
τῶν ἔτι ἐστὶν ἐν τῇ πόλει. τοῦτο δὴ τὸ ἄγος οἱ λακεδαιμό-
νιοι ἐλάυνειν ἐκέλευον δήθεν τοῖς θεοῖς πρῶτον τιμωροῦν-
τες. εἰδότες δὲ περικλέα τὸν ξανθίππου προσεχόμενον
αὐτῷ κατὰ τὴν μητέρα καὶ νομίζοντες, ἐκπεσόντος αὐτοῦ,
ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν ἀθηναίων, οὐ μέν τοι
τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον διαβολὴν
οἴσειν αὐτῷ πρὸς τὴν πόλιν, ὡς καὶ διὰ τὴν ἐκείνου ξυμ-
φορὰν, τὸ μέρος ἔσται ὁ πόλεμος. ὢν γὰρ δυνατώτα-
τος τῶν καθ' ἑαυτὸν, καὶ ἄγων τὴν πολιτείαν, ἠναντιοῦτο
πάντα τοῖς λακεδαιμονίοις, καὶ οὐκ εἴα ὑπείκειν, ἀλλ' ἐς
τὸν πόλεμον ὥρμα τοὺς ἀθηναίους. ἀντεκέλευον δὲ καὶ οἱ
ἀθηναῖοι τοὺς λακεδαιμονίους τὸ ἀπὸ ταινάρου ἄγος ἐλαύ-
νειν οἱ γὰρ λακεδαιμόνιοι ἀναστήσαντες πότε ἐκ τοῦ ἱεροῦ
τοῦ ποσειδῶνος, ἀπὸ ταινάρου τῶν εἱλώτων τοὺς ἱκέτας
ἀπαγαγόντες, διέφθειραν, διὸ δὴ καὶ σφίσιν αὐτοῖς νο-
μίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν σπάρτῃ. ἐκέλευον
δὲ καὶ τὸ καὶ χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς. ἐγένετο
δὲ τοιόνδε. ἐπειδὴ παυσανίας ὁ λακεδαιμόνιος τὸ πρῶτον
μεταπεμφθεὶς ὑπὸ σπαρτιατῶν ἀπὸ καὶ ἀρχῆς τῆς ἐν ἑλ-
λησπόντῳ. καὶ κριθεὶς ὑπ' αὐτῶν, ἀπελύθη μὴ ἀδικεῖν.
δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη. ἰδίᾳ δὲ αὐτὸς τριήρη
λαβὼν ἑρμιονίδα, ἄνευ λακεδαιμονίων ἀφικνεῖται ἐς

ἑλλήσποντον. τῷ μὲν λόγῳ ἐπὶ τὸν ἑλληνικὸν πόλεμον. τῷ δὲ ἔργῳ, τὰ πρὸς βασιλέα πράγματα βουλόμενος πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος καὶ ἑλληνικῆς ἀρχῆς. εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο, καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο. βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ προσίᾳ μετὰ τὴν ἐκ κύπρου ἀναχώρησιν, εἶχον δὲ μῆδοι αὐτὸ, ὡς βασιλέως προσήκοντές τινες, καὶ ξυγγενεῖς, οἳ ἐάλωσαν ἐν αὐτῷ, τότε τούτους οὓς ἔλαβεν, ἀπέπεμπε βασιλεῖ κρύφα. τὴν ἄλλων ξυμμάχων. τῷ δὲ λόγῳ, ἀπέδρασαν αὐτόν. ἔπρασσε δὲ ταῦτα μετὰ γογγύλου τοῦ ἐρετριέως, ᾧπερ ἐπέτρεψε, τό, τε βυζάντιον καὶ τοὺς αἰχμαλώτους. ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν γόγγυλον φέροντα αὐτῷ ἐνεγέγραπτο δὲ τάδε καὶ ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη.

Ἐπιστολὴ παυσανίου πρὸς βασιλέα.

Παυσανίας ὁ ἡγεμὼν καὶ σπάρτης τούς δε τέ σοι χαρίζεσθαι βουλόμενος, ἀπέπεμπε δορὶ ἑλὼν, καὶ γνώμην ποιοῦμαι, εἰ καί σοι δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι, καί σοι σπάρτην τε καὶ τὴν ἄλλην ἑλλάδα ὑποχείριον ποιῆσαι. δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πράξαι μετὰ σοῦ βουλευόμενος. εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν, δι' οὗ τολοιπὸν τοὺς λόγους ποιησόμεθα. τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ, καὶ ἀποστέλλει ἀρτάβαζον τὸν φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε δασκυλίτιν σατραπίαν παραλαβεῖν, μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχε.

ὡς πρὶ

καὶ περὶ παυσανίαν ἐς βυζάντιον ἐπιστολὴν, ἀντεπετίθει αὐτῷ, ὡς τάχιστα διαπέμψαι, καὶ τὴν σφραγῖδα ἀποδεῖξαι, καὶ ἤν τι αὐτῷ παυσανίας πραγγέλλη περὶ τῶν ἑαυτῶν πραγμάτων, πράσσειν ὡς ἄριστα, καὶ πιστότατα. ὁ δὲ ἀφικόμενος, τά τε ἄλλα ἐποίησεν, ὥσπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν. ἀντεπεγέγραπτο δὲ τάδε.

Επιστολὴ βασιλέως πρὸς παυσανίαν.

Ὧδε λέγει βασιλεὺς ξέρξης παυσανίᾳ, καὶ τῶν ἀνδρῶν οὕς μοι πέραν θαλάσσης ἐκ βυζαντίου διέσωσας, κείσεταί σοι εὐεργεσία ἐν τῷδ' ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος, καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. καί σε μήτε νὺξ, μήθ' ἡμέρα ἐπισχέτω, ὥστε ἀνεῖναι πράσσειν τι, ὧν ἐμοὶ ὑπισχνῇ. μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνη κεκωλύσθω. μηδὲ στρατιᾶς πλήθει. εἴποι δεῖ παραγίγνεσθαι, ἀλλὰ μετ' ἀρταβάζου ἀνδρὸς ἀγαθοῦ, ὅν σοι ἔπεμψα, πράσσε θαρσῶν καὶ τὰ ἐμὰ, καὶ τὰ σὰ ὅπη κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις. ταῦτα λαβὼν ὁ παυσανίας τὰ γράμματα, ὧν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν ἑλλήνων διὰ τὴν ἐν πλαταιάσιν ἡγεμονίαν. πολλῷ μᾶλλον τότε ἦρτο, καὶ οὐκέτι ἠδύνατο ἐν τῷδ' καθεστηκότι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε μηδικὰς ἐνδυόμενος, ἐκ τοῦ βυζαντίου ἐζήει. καὶ διὰ τῆς θρᾴκης πορευόμενον αὐτὸν μῆδοι καὶ αἰγύπτιοι ἐδορυφόρουν. τράπεζάν τε μηδικὴν παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προὐδήλου, ἃ τῇ γνώμῃ μειζόνως ἐσέπειτα ἔμελλε πράξειν. δυσπρόσοδόν τε αὐτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ

ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέ-
ναι. διόπερ καὶ πρὸς τοὺς ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία
μετέστη. οἱ δὲ λακεδαιμόνιοι αἰσθόμενοι, τότε πρῶτον δὲ
αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτόν. καὶ ἐπειδὴ τῇ ἑρμιονίδι
νηῒ τὸ δεύτερον ἐκπλεύσας, οὐ κελευσάντων αὐτῶν, τοιαῦ-
τα ἐφαίνετο ποιῶν. καὶ ἐκ τοῦ βιζαντίου βίᾳ ὑπ' ἀθηναίων
ἐπολιορκηθεὶς, ἐς μὲν τὴν σπάρτην οὐκ ἐπανεχώρει. ἐς
δὲ κολωνὰς τὰς τρωϊάδας ἱδρυθεὶς, πράσσων τε ἐσηγγέλ-
λετο αὐτοῖς ἐς τοὺς βαρβάρους, καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μο-
νὴν ποιούμενος, οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαν-
τες κήρυκα οἱ ἔφοροι, καὶ σκυτάλην, εἶπον τοῦ κήρυκος
μὴ λείπεσθαι. εἰ δὲ μὴ, πόλεμον αὐτῷ σπαρτιάτας προ-
αγορεύειν. ὁ δὲ βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ
πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν, ἀνεχώρει τὸ
δεύτερον ἐς σπάρτην. καὶ ἐς μὲν τὴν εἰρκτὴν ἐσπίπτει τὸ
πρῶτον ὑπὸ τῶν ἐφόρων. ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασι-
λέα δρᾶσαι τοῦτο. ἔπειτα διαπραξάμενος, ὕστερον ἐξῆλθε,
καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτῶν
ἐλέγχειν. καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ σπαρτιᾶται
σημεῖον, οὔτε οἱ ἐχθροὶ, οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύ-
σαντες, βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου
ὄντα, καὶ ἐν τῷ πρόντι τιμὴν ἔχοντα. πλείσταρχον γὰρ τὸν
λεωνίδου ὄντα βασιλέα, καὶ νέον ἔτι, ἀνεψιὸς ὢν, ἐπετρό-
πευσεν. ὑποψίας δὲ πολλὰς παρεῖχε, τῇ τε παρανομίᾳ, καὶ
ζηλώσει τῶν βαρβάρων, μὴ ἴσος βούλεσθαι εἶναι τοῖς πα-
ροῦσι. τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τι που ἐξεδεδιή-

τητο

τῶν ἀνῶ κοβεσότων νομίμων, καὶ ὅτι ἐπὶ τὸν τρίποδά
ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν μή-
δων ἀκροθίνιον, ἠξίωσάν σφων ἐπιγράψαθαι ἀυτὸς ἰδίᾳ δ' ἕλε-
γεον τόδε.

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ κράτος ὦλεσε μήδων
παυσανίας, φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

τὸ μὲν οὖν ἔλεγεον οἱ λακεδαιμόνιοι ἀξεκόλαψαν
εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο, καὶ ἐπέγραψαν ἐνο-
μασὶ τὰς πόλεις, ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον, ἐσή-
σαντο ἀνάθημα. τοῦτο μὲν τοῦ παυσανίου, ἀδίκημα καὶ τοῦτ'
ἐδόκει εἶναι. καὶ ἐπεί γε δὴ ἐν τούτῳ καθεστήκει, πολλῷ
μᾶλλον πρόσοικον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ δια-
νοίᾳ. ἐπωδάνοντο δὲ καὶ εἰς τοὺς Ἕλληνας πράσσειν τι
ἀυτόν. καὶ ἦν δὲ οὕτως. ἐλευθερώσειν τε ἔφη ὑπισχνεῖτο ἄν-
τοῖς, καὶ πολιτείαν, ἣν ξυνεπαναστῶσι, καὶ ὃ πᾶν ξυγκα-
ταργάσωνται. ἀλλ' οὐδ' ὣς οὐδὲ ἀνῶ ἐλώτων μιαιφονῆσ-
σαι πιστεύσαντες, ἠξίωσαν νεώτερόν τι ποιεῖν εἰς αὐτόν,
χρώμενοι δὲ τρόπῳ, ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτούς, μὴ
ταχεῖς εἶναι πρὸς ἀνδρὸς ἀπαρῆσαι, ἄνευ ἀναμφισβητή-
των τεκμηρίων, βουλεύσαί τι ἀνήκεστον, πλήν γε δή αὐτοῖς,
ὡς λέγεται, ὁ μέλλων τὰς πολυτελείας βασιλεῖ ἐπισολὰς
πρὸς ἀρτάβαζον κομιεῖν, ἀνὴρ ἀργίλιος παιδικά ποτε ὢν
αὐτοῦ, καὶ πιστότατος ἐκείνῳ, μιαιφονίης γίγνεται, δείσας μὴ
ξυνθυμοσίην τινα, ὅτι οὐδείς πω ἐξ ἀνθρώπων ἀγγέλων πάλιν
ἀφίκετο. καὶ πρὸς ποιησάμενος σφραγῖδα, ἵνα μὴ φυλακὴ
ᾖ λόγος, ἢ μὴ ἐκεῖνος μεταγράψῃ τι αἰτήσας, μὴ ἐπιγνῷ.

λύει τὰς ἐπιστολὰς, ἐν αἷς ὑπονοήσας τι τοιοῦτον προσε-
πεστάλθαι, καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν. τότε
δὴ οἱ ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν
ὑπίστευσαν. αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ παυ-
σανίου τι λέγοντος, ἀπὸ πρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ ταί-
ναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν δια-
φράγματι καλύβην, ἐς ἣν τῶν τε ἐφόρων ἐντὸς τινὰς ἔκρυψε,
καὶ παυσανίου ὡς αὐτὸν ἐλθόντος, καὶ ἐρωτῶντος τὴν
πρόφασιν καὶ ἱκετείας, ἤσθοντο πάντα σαφῶς, αἰτιωμένου
τοῦ ἀνθρώπου, τά τε περὶ αὐτοῦ γραφέντα, καὶ τἄλλ' ἀπο-
φαίνοντος καθέκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ταῖς
πρὸς βασιλέα διακονίαις πραβάλοιτο, προτιμηθείη δ' ἐν
ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν. κἀκείνου αὐτά
τε ταῦτα ξυνομολογοῦντος, καὶ περὶ τοῦ παρόντος οὐκ
ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος καὶ
ἀναστάσεως, καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι, καὶ
μὴ τὰ πρασσόμενα διακωλύειν. ἀκούσαντες δὲ ἀκριβῶς,
τότε μὲν ἀπῆλθον οἱ ἔφοροι. βεβαίως δὲ ἤδη εἰδότες, ἐν
τῇ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. λέγεται δ' αὐτὸν μέλ-
λοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ
πρόσωπον προσιόντος, ὡς εἶδε, γνῶναι ἐφῷ ἐχώρει.
ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου, καὶ δηλώσαντος
εὐνοίᾳ πρὸς τὸ ἱερὸν χαλκιοίκου χωρῆσαι δρόμῳ, ⊂ προ-
καταφυγεῖν. ἦν δὲ ἐγγὺς τὸ τέμενος, ⊂ ἐς οἴκημα οὐ μέ-
γα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσελθὼν ἵνα μὴ ὑπαίθριος, ταλαιπωροίη,
ἡσύχαζεν. οἱ δὲ τοπαραυτίκα μὴ ὑστέρησαν τῇ διώξει. μετὰ
δὲ τοῦτο

δὲ τοῦτο, τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον, καὶ τὰς θύρας ἔνδον ὄντα τηρήσαντες αὐτὸν, ἀπολαβόντες εἶσω, ἀπῳκοδόμησαν. προσκαθεζόμενοί τε, ἐξεπολιόρκησαν λιμῷ. καὶ μέλλοντος αὐτοῖς ἀποψύχειν, ὥσπερ εἶχεν ἦν ζωὴ οἰκήματι, ἀισθόμενοι, ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα, καὶ ἐξαχθεὶς, ἀπέθανε πρὸς ἄχθημα. καὶ αὐτὸν ἐμέλησαν μὴ ἐς νόμ καιάδαν, οὔπω τοὺς κακούργους ἐμβάλλειν εἰώθεσαν. ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς, τόν τε τάφον ὕστερον ἔχησε, τοῖς λακεδαιμονίοις μετενεγκεῖν, οὔπω ἀπέθανε. (ναῦν κεῖ) ἐν ᾗ πρότερον ἐσεβάλοντο, ὁ γραφὴ σῆλαι δηλοῦσι, καὶ ὡς ἄγος αὐτοῖς ἦν δ' πεπραγμένον, δύο σώματα ἀνὴρ ἑνὸς τῇ χαλκιοίκῳ ἀπολοῦσαι. οἱ δὲ ποινασάμενοι χαλκοῦς ἀνδριάντας δύο, ὡς ἀντὶ παυσανίου ἀνέθεσαν. οἱ δὲ ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν τοῖς λακεδαιμονίοις ἐλαύνειν αὐτό. τοῦ δὲ μηδισμοῦ τ' παυσανίου λακεδαιμόνιοι πρέσβεις πέμψαντες παρὰ τοὺς ἀθηναίους, ξυνεπῃλοῦντο καὶ νόμ Δημοκλέα, ὡς εὕρισκον ἐκ πολλῶν περὶ παυσανίαν ἐλέγχων. ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. οἱ δ' ἀναθέντες ἔτυχε γὰρ ὀστρακισμοῦ, καὶ ἔχων δίαιταν μὴ ἐν ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς πολλὰ ἄλλα πελοποννήσου) πέμπουσι μετὰ τῶν λακεδαιμονίων ἑτοίμων ὄντων, ξυνδιώκειν ἄνδρας, οἷς εἶχεν ἄγος ὅπου ἂν προτύχωσιν. ὁ δὲ Δημοκλῆς προαισθόμενος, φεύγει ἐκ πελοποννήσου ἐς κέρκυραν, ὧν αὐτῶν εὐεργέτης. ἐσελθόντων δὲ φασκόντων τῶν κερκυραίων ἔχειν αὐτὸν.

ὡς δὲ

ὥστε λακεδαιμονίοις καὶ ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν κατ' ἀνάκτορον. καὶ διωκόμενος ὑπὸ τῶν προσεταγμένων τῇ πύλῃ τοῖς χωροῦσιν, ἀναγκάζεται κατὰ τὸ ἄποροον πρὸς ἄδμητον τὸν μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν. ὁ δὲ τῇ γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν, καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ ἀδμήτου, δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ. εἰ τὰ ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ, ἀθηναίων δεομένῳ. φεύγοντα ἁμωρεῖσθαι. ἐν γὰρ ἂν ὑπ' ἐκείνου πολλῶν ἀδικημένων, ἂν τῷ παρόντι κακῶς πάσχειν. γυναῖον δὲ εἶναι, τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου ἁμωρεῖσθαι. καὶ ἅμα αὐτὸς μὲν εἰκείνῳ χρείας ἂν ὢν, οὐκ ἐς σῶμα σώζεσθαι ἀναπλώσειν. ἐκεῖνον δ' ἂν εἰ ἐκδοίη αὐτὸν λείπων ὑφ' ὧν καὶ ἐφῷ διώκεται, σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. ὁ δὲ ἀκούσας, ἀνίησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ ἤθους, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο. καὶ ὕστερον οὐ πολλῷ, πρός τε λακεδαιμονίοις καὶ ἀθηναίοις ἐλθοῦσι, καὶ πολλὰ εἰποῦσιν, οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει βουλόμενον ὡς βασιλέα πορευθῆναι ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ ἐς Πύδναν τὴν ἀλεξάνδρου, ᾧ ἡ ὁλκὰς τυχὼν ἀναγομένης ἐπ' ἰωνίας, ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς θρᾴκιον ἀθηναίων στρατόπεδον, ὃ ἐπολιόρκει νάξον. καὶ ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηὶ δείσας. φράζει δὲ ναυκλήρῳ, ὅς ἐστι, καὶ ἐκ φεύγει. καὶ εἰ μὴ σώσει αὐτὸν, ἔφη ἐρεῖν, ὅτι χρήμασι πειθεὶς

Ἐμπρησμονὴ

Nomine non indemnat. sup. Strym. Sam.

ἐν ἀνάκτορι

Θρᾳκίων μὲν ἀθηναίων

παθεῖς αὐτὸν ἄγα. τῶν δὲ ἀσφάλεαν εἶναι, μηδ' ἕνα ἐκ-
βλῶσαι ἐκ τῆ νεὼς μέχρι πλοῦς γένηται. ταθομλώφ δ' ἀν-
δρῶ, χάριν ἀπομνήσεσθαι ἀξίαν. ὁ δὲ ναύκληρος ποιεῖ τ
ταῦτα. καὶ ἀπρσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὸ τὴν σρα-
τοπέδον, ὕσρομ ἀφικνεῖται εἰς ἔφεσον. καὶ ὁ Θεμισοκλῆς
ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων ὅσα. ἦλθε γὰρ αὐτῶ
ὕσρομ ἐκ τε ἀθηνῶν παρὰ τῶν φίλων, καὶ δὴ ἄρχους ἔ
ὑπεξέκειτο. καὶ μετὰ τῶν κάτω πρσῶν ζῶν πορθυθεὶς
ἄνω, ἐσπέμπει γράμματα εἰς βασιλέα ἀρταξέρξεω τὸν
ξέρξου νεωσὶ βασιλεύοντα. ἐδήλου δ' ἡ γραφή, ὅτι θεμισο-
κλῆς ἥκω παρὰ σὲ, ὃς κακὰ μὲν πλεῖσα ἑλλήνων εἰργασ-
μαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπι-
όντα ἐμοὶ ἀνάγκη ἠμύνόμην. πολὺ δ' ἔτι πλείω ἀγαθὰ,
ἐπειδὴ ἐν τῆ ἀσφαλεῖ μᾶλλον ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ,
πάλιν ἡ ἀπρκομιδὴ ἐγίγνετο. καί μοι εὐρρεσία ὀφείλε-
γράψαι τῶν τε ἐκ σαλαμῖνος πρὸς ἄγγελσιν ἣν ἀναχωρή-
σεως, καὶ τῶν περσῶν ἐμὴν φθονδῶς προσεποιήσατο
τότε δι' αὐτὸν, ὃν διάλυσιν, μὴ νῦν ἔχω σε μεγάλα ἀγαθα
δρᾶσαι, πάρειμι, δικοκόμβυ ὑπὸ τῶν ἑλλήνων διὰ τὴ
σὴν φιλίαν. βόλομαι δ' ἐνιαυτὸν ἐπίσχων, αὐτός σοι
πρὶ ὧν ἥκω, δηλῶσαι. βασιλεὺς δὲ ὡς λέγεται ἐθαυμασέ
τε αὐτοῦ τὴν διάνοιαν, καὶ ἐκέλευσε ποιεῖν οὕτως. ὅδ' ἐν
τῶ χρόνῳ, ὃν ἐπέσχε, τά τε πρσίδων γλώσσης ὅσα ἠδύνατο
κατεμάνθανε, καὶ τῶν ἐπιτηδευμάτων τῆ χώρας. ἀφικό-
μενος δὲ μετὰ τὸν ἐνιαυτὸν, γίγνεται παρ' αὐτῶ μέγας,
καὶ ὅσων οὐδεὶς πω ἑλλήνων, διά τε τὴ προϋπαρχουσαν

ξ ἀξίωσιν,

ἀξίωσιν, καὶ τὴν ἑλληνικὴν ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δηλώσειν. μάλιστα δὲ ἀπὸ τῶν πεζῶν διδοὺς, ξυνετὸς φάνεσθαι. ἦν γὰρ ὁ θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι, οἰκείᾳ γνώμῃ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς ἅπαν οὐδὲν, οὔτ' ἐπιμαθών, πλῆν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστον γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ χρησομένου ἄριστος εἰκαστής. καὶ ἃ μὲν μετὰ χεῖρας ἔσχε, καὶ διηγήσασθαι οἷός τε. ὧν δὲ ἄπειρος εἶη, οὐδὲ ταῦτα ἱκανῶς οὐκ ἀπέλλακτο. τό, τε ἄμεινον ἢ χεῖρον ἐν τῷ παραυτίκα ἔτι προεώρα μάλιστα. καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχυτῆτι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. νοσήσας δὲ πλουτᾷ τὸν βίον. λέγουσι δέ τινες καὶ ἐκδόσιον φαρμάκῳ ἀπεθανεῖν αὐτὸν ἀδυνάτων νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ, ἃ ὑπεσχέτο. μνημεῖον μὲν οὖν αὐτοῦ ἐν μαγνησίᾳ ἔστι τῇ ἀσιανῇ ἐν τῇ ἀγορᾷ. ταύτης γὰρ ἦρχε φίλης χώρας, δόντος βασιλέως αὐτῷ. μαγνησίαν μὲν, ἄρτον ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ. λάμψακον δὲ οἶνον. ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι. μυοῦντα δὲ ὄψον, τὰ ὀστᾶ φασι κομίσθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε, κελεύσαντος ἐκείνου, καὶ πεθῆναι κρύφα ἀθηναίων ἐν τῇ ἀττικῇ. οὐ γὰρ ἐξῆν δάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντα. τὰ μὲν κατὰ παυσανίαν τὸν λακεδαιμόνιον, καὶ θεμιστοκλέα τὸν ἀθηναῖον, λαμπροτάτους γνωμίνους τῶν καθ' ἑαυτοὺς ἐλλήνων,

οὕτως

οὕτως ἐπελεύτησε λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῇ πρώτῃ πρεσβείας, τοιαῦτα ἐπέταξάν τε, καὶ ἀντεκελεύσθησαν πρὶ πᾶν ἀναγῶν τῇ ἐλάσεως. ὕστερον δὲ φοιτῶντες παρ' ἀθηναίους, πολλάκις τε ἀπαιτίσασθαι ἐκέλευον, καὶ ἄγιναν ἀνόμον ἀθιέναι. καὶ μάλιστά γε πάντων καὶ τῇ σφόδρα τὸ πρὶ μεγαρέων ψήφισμα καθελεῖν, μὴ ἀμ γένοιτο πόλεμον, ἐν ᾧ εἴρητο ἀνοῖς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ ἀθηναίων ἀρχῇ, μηδὲ τῇ ἀπικῇ ἀγορᾷ. οἱ δ' ἀθηναῖοι οὔτε τἄλλα ἐποίουν, οὔτε τὸ ψήφισμα καθαίρουν, ἐπικαλοῦντες ἐπὶ ἐργασίαν μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς, καὶ τῆ ἀορίστου, καὶ ἀνδραπόδων ὑποδοχῶν τῶν ἀθηναμένων. τέλος δὲ ἀθικομένων τῶν πελοποννησίων πρέσβεων ἐκ λακεδαίμονος, ἐφ' ᾧ τε καὶ μελησίππου, καὶ ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρόσθεν εἰώθεσαν, ἀυτὰ δὲ τάδε, ὅτι λακεδαιμόνιοι βούλονται τῶν εἰρήνην εἶναι, εἰ καὶ ἀν εἰ τοὺς ἕλληνας ἀυτονόμους ἀφῆτε, ποιήσαντες ἐκκλησίαν οἱ ἀθηναῖοι, γνώμας σφίσιν ἀυτοῖς προυτίθεσαν. καὶ ἐδόκει ἅπαξ πρὶ ἁπάντων βουλευσαμένους, ἀποκρίνεσθαι, καὶ πρόσθεν ἄλλοι τε πολλοὶ ἔλεγον ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, μὴ ὡς χρὴ πολεμεῖν, καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν. καὶ παρελθὼν περικλῆς ὁ ξανθίππου, ἀνὴρ κάτ' ἐκεῖνον τὸν χρόνον πρῶτος ἀθηναίων λέγειν τε καὶ πράσσειν δυνατώτατος

τότε παρῆν τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΠΕΡΙΚΛΕΟΥΣ.

Τὰς μὲν γνώμας ὦ ἀθηναῖοι ἀεὶ αὐτὰς ἔχομαι, μὴ εἴκειν πελοποννησίοις, καίπερ εἰδὼς τοὺς ἀνθρώπους ἐν τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν, καὶ ἐν ᾧ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. ὁρῶ δὲ καὶ νῦν ὅμοια καὶ παρὰ πλείω ξυμβαλόντα μοι ὄντα, καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ, τοῖς κοινῇ δόξασιν, ἴσα ἅ καὶ σφαλώμεθα, βοηθεῖν. ἢν μηδὲ κατορθῶντας, τὸ ξυνέσεως μεταποιεῖσθαι. ξυνέσται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου. διόπερ καὶ εἰκὸς τύχῃ, ὅσα ἂν παλόγως ξυμβῇ, εἰκάζεσθαι. λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν, καὶ νῦν οὐχ ἥκιστα. εἰρημένον γὰρ δίκας μὴ πρὸς διαφόρως ἀλλήλοις διδόναι, καὶ δέχεσθαι, ἔχειν δὲ ἕκατέρους, ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ἤτησαν, οὔτε ἡμῶν διδόντων δέχονται. βούλονται δὲ πολέμῳ μᾶλλον, ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι. καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι, πάρεισι. πολὺ δ' αἰσχίους τε καὶ ἀπαίσιος ἐλεύσεσθαι, καὶ ἅμα γίγνεσθαι αὐτόνομον ἀφίεναι, καὶ δ' μεγάρεων ψήφισμα καθαιρεῖν. οἱ δὲ πλεῖστοι οἶδε ἥκοντες, καὶ τοὺς ἄλλους προαγορεύσουσιν αὐτονόμους ἀφιέναι, ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέος ἂν πολεμεῖν, εἰ δ' μεγάρεων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προύχονται, εἰ καθαιρεθείη, μὴ ἂν γίγνεσθαι τὸν πόλεμον. μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε, ὡς δι' μικρὸν ἐπολεμήσαμεν, δ γὰρ

τὸ γὰρ βραχὺ τοῦτο, πᾶσαν ὑμῶν ἔχει τὴν βεβαίωσιν, καὶ πεῖραν καὶ γνώμης. οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλό τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθαι, ὡς φόβῳ καὶ τοῦτο ὑπακούσοντες. ἀπισχυρισάμενοι δὲ, σαφὲς ἂν καταστήσητε αὐτοῖς, ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέρεσθαι, αὐτόθεν δὴ διανοήθητε, ἢ ὑπακούειν πρίν τι βλαβῆναι, ἢ εἰ πολεμήσομεν, ὥσπερ ἔμοιγε ἄμεινον δοκεῖ εἶναι, καὶ ἐπὶ μεγάλῃ βραχείᾳ ὁμοίως προφάσει μὴ εἴξοντες, μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτήμεθα. τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥτε μεγίστη καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων, πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. τὰ δὲ τοῦ πολέμου καὶ τῶν ἑκατέροις ὑπερχόντων, ὡς οὐκ ἀσθενέστερα ἕξομεν, γνῶτε καθέκαστον ἀκούοντες. αὐτουργοί τε γάρ εἰσι πελοποννήσιοι, καὶ οὔτε ἰδίᾳ, οὔτε ἐν κοινῷ χρήματα ἐστὶν αὐτοῖς, ἔπειτα, χρονίων πολέμων, καὶ διαπεντίων ἄπειροι, διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν καὶ οἱ τοιοῦτοι οὔτε ναῦς πληροῦντες, οὔτε πεζὰς στρατιὰς πολλάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες, καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες, καὶ προσέτι, καὶ θαλάσσης εἰργόμενοι. αἱ δὲ περιουσίαι, τοὺς πολέμους μᾶλλον, ἢ αἱ βίαιοι ἐσφοραὶ ἀνέχουσι, σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων, ἢ χρήμασι πολεμεῖν. τὸ μὲν πιστὸν ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι. τὸ δὲ, οὐ βέβαιον, μὴ προαναλώσειν. ἄλλως τε, κἂν παρὰ δόξαν, ὅπερ εἰκὸς ὁ πόλεμος αὐτοῖς μηκύνηται. μάχη μὲν μιᾷ πρὸς ἅπαντας ἕλληνας δυνατοὶ πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι ἀντιχεῖν.

ἀρχῆν. πολεμῶν δὲ μὴ πρὸς ὁμοίαν αὐλίζεσθαι κωλύω, ἀδύ-
Germania. νατοι, ὅταν μήτε βυλευτηρίῳ ἑνὶ χρώμενοι, παραχρῆμά τε
ἐξέως ἐπιτελῶσι. πάντες τε ἰσόψηφοι ὄντες, καὶ οὐκ ὁμό-
φυλοι, τὸ ἐφ' ἑαυτὸν ἕκαστον εἰκάζειν, ἀξιοῦντες μηδὲν
ἐπιτελὲς γίγνεσθαι, καὶ γὰρ οἱ μὲν ὡς μάλιστα ἀμυνεῖ-
σθαί ἕνα βάλλονται. οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι,
χρόνιοί τε ξυνιόντες, ἐν βραχεῖ μορίῳ σκοπεῖσί τι τῶν
κοινῶν. ἔρχει δὲ πλείονι, τὰ οἰκεῖα πράσσουσι. καὶ ἕκα-
στον οὐ παρὰ τὸν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάπτειν, μέλειν δέ
τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν. ὥστε ἔρχει καὶ ὑπὸ
πάντων ἰδίᾳ δοξάσματα λανθάνειν τὸ κοινὸν ἀθρόον
φθερόμενον. μέγιστον δὲ τῇ τῶν χρημάτων ἀπάνει κωλύ-
σουσι, ὅταν σχολῇ αὐτὰ προιρόμενοι, διαμέλλωσι. τῷ
δὲ πολέμῳ οἱ καιροὶ, οὐ μένουσι, καὶ μιᾷ οὐδὲ ἡ ἐπιτείχι-
σις. οὐδ' ὁ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. τῶν μὲν γὰρ
χαλεπὸν ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι.
ἥπερ δὴ ἐν πολεμίᾳ τε, καὶ οὐκ ἔλασσον ἐκείνοις ἡμῶν ἀντε-
πιτειχισμένων. φροντίσουσι δ' εἰ ποιήσονται, τοῦ μὲν γῆς
βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς, καὶ ἀποστάσεως.
οὐ μὴν τοι ἱκανόν γε ἔσται ἐπιτειχίσαι τε, καὶ κωλύειν
ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων καὶ ἢν βιάζωμεν ταῖς
ναυσὶν ἀμύνεσθαι. πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦτο τῆς γῆς
ἐκείνοις ναυτικῆς ἐμπειρίας, ἢ ἐκείνοις ἐκ τοῦ καὶ ἤπειρον ἐς τὰ
ναυτικά. τὸ δὲ φοβεῖσθαι ἐπισίτους μονάς ἡμᾶς ἔσεσθαι, οὐ ξυμ-
βαίνει ἀνθρώποις προσηυτρεπίσθαι. οὐδὲ γὰρ ὑμᾶς μελετῶντες
ἀνὴρ εὐθὺς ἀπὸ τῶν μηχανῶν δεινὸς γενέσθαι. πῶς δὴ ἄνδρες
γεωργοὶ,

γεωργοὶ, καὶ οὐ θαλάττιοι, καὶ προσέτι οὐδὲ μελετῶντες ἐπὶ θάτερα, ἀσθενεῖς ὄντες καὶ ἀπορώτατοι. διὰ δὲ τοῦτο ὑφ' ἡμῶν πολλαῖς ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἂν εἴη δρᾶν. πρὸς μὲν γὰρ ὀλίγας ναῦς ἐφορμοῦσας, καὶ διακινδυνεύσεσθαι, πλήθει τῇ ἀμαθίαν θρασύνοντες. πολλαῖς δ' εἰργόμενοι, ἥσυχάσουσι· καὶ μὴν ἐν τῷ μελετῶντα, ἀξιωτέρους ἔσονται. διὰ αὐτὸ ὀκνηρότεροι, τὸ δὲ ναυλικόν, τέχνης ὄντος, ὥσπερ ἄλλοτι. οὐκ ἐνδέχεται ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι. εἶτα καὶ κινήσαντες τὸν ὁλυμπιάσιν, ἢ δελφοῖς χρημάτων, μισθῷ μείζονι πειρῶντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν. μὴ ὄντων μὲν ἡμῶν ἀναπάλων. ἐσβάντων αὐτῶν τε καὶ τῶν μετοίκων, δεινὸν ἂν ἦν. νῦν δὲ τόδε τε ὑπάρχει. καὶ ὅπερ κράτιστον, κυβερνήτας ἔχομεν πολίτας. καὶ τἄλλων ὑπηρεσίαν, πλείστης καὶ ἀμείνους. ἢ πᾶσα ἡ ἄλλη ἑλλάς. καὶ ἐπὶ τοῦ κινδύνου ὀυδεὶς ἂν δέξαιτο τῶν ξένων τιὼν τε αὐτῶν φεύγειν, καὶ μετὰ φίλων ἴσου ἅμα ἐλπίδα, ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δ' ὄσεως, ἐκείνοις ξυναγωνίζεσθαι. καὶ τὰ μὲν πελοποννησίων, ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι. τὰ δὲ ἡμέτερα, τοῦτων τε ὧν πρὸ παρ' ἐκείνοις ἐμεμφάμεν ἀπηλλάχθαι, καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν. ἴσως τε ἐπὶ τῇ χώραν ἡμῶν περιοῦσιν, ἡμεῖς ἐπὶ τῇ ἐκείνων πλουσιώμεθα, ἢ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσεσθαι πελοποννήσου τε μέρους τὴν τιμωρίαν, καὶ τῶν ἀπεικῶν ἄπασαν. οἱ μὲν γὰρ οὐχ ἑξουσιν ἄλλων ἐνδιαιτᾶσθαι ἀμαχεί. ἡμῖν δὲ ἔστι γε πολλή, καὶ ἐν νήσοις, καὶ κατὰ

καὶ κατ' ἤπειρον. μέγα γὰρ τὸ καὶ θαλάσσης κράτος. σκέψασθε δὲ (εἰ γὰρ ἦμεν νησιῶται) τίνες ἂν ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας, τὴν μὲν γῆν, καὶ οἰκίας, ἀφεῖναι. καὶ δὲ θαλάσσης, καὶ πόλεως, φυλακὴν ἔχειν. καὶ πελοποννησίους ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλείοσι μὴ διαμάχεσθαι. κρατήσαντές τε γὰρ αὖθις, οὐκ ἐλάσσοσι μαχούμεθα. καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων ὅθεν ἰσχύομεν, προσαπόλλυται, οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρατεύειν, τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων. οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες, ταῦτα κτῶνται, καὶ εἰ ὤμην πείσειν ὑμᾶς αὐτοὺς ἂν ἐξελθόντας, ἐκέλευον αὐτὰ δῃῶσαι, καὶ δεῖξαι πελοποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε. πολλὰ δὲ ἄλλα ἔχω ἐς ἐλπίδα τοι περιέσεσθαι, ἢν ἐθέλητε, ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες, καὶ κινδύνους αὐθαιρέτους μὴ προσίθεσθαι. μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκίας ἡμῶν ἁμαρτίας, ἢ τὰς τῶν ἐναντίων διανοίας, ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται. νῦν δὲ τούτοις ἀποκρινάμενοι, ἀποπέμψωμεν, μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ, καὶ λιμέσι χρῆσθαι, ἢν καὶ λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι, μήτε ἡμῶν, μήτε τῶν ἡμετέρων ξυμμάχων. οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς, οὔτε τόδε. τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα. καὶ ὅταν κἀκεῖνοι ταῖς ἑαυτῶν ἀποδῶσι πόλεσι, μή σφισι τοῖς

λακε-

λακεδαιμονίοις ἐπιτηδείως ἀυτονομεῖσθαι, ἀλλὰ ἀυτοῖς ἑκάστοις, ὡς βούλονται, δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας, πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ, ἀμυνούμεθα. ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη πολεμεῖν. ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν, ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνοντι, οἱ γοῦν πατέρες ἡμῶν ὑποστάντες μύδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι, ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλείποντες, γνώμῃ δὲ πλείονι ἢ τύχῃ, καὶ τόλμῃ μείζονι, ἢ δυνάμει, τόν τε βάρβαρον ἀπεώσαντο, καὶ ἐς τάδε προήγαγον αὐτὰ, ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι. καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι. ὁ μὲν πρικλῆς τοιαῦτα εἶπεν.

οἱ δὲ ἀθηναῖοι νομίσαντες ἄριστά σφισι παραινεῖν αὐτὸν, ἐψηφίσαντο, ἃ ἐκέλευε, καὶ τοῖς τε λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου γνώμῃ, καθέκαστά τε ὡς ἔφρασε, καὶ τὸν ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἕτοιμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων, ἐπὶ ἴσῃ, καὶ ὁμοίᾳ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο. αἰτίαι δὲ αὗτι καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν ἐπιδάμνῳ, καὶ κερκύρᾳ, ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς, καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν, καὶ πρόφασις τοῦ πολεμεῖν.

ΘΟΥΚΥΔΙΔΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΔΕΥΤΕΡΑΣ.



ΑΡΧΕΤΑΙ δὲ πόλεμος ἐνθένδε, ἤδη ἀθηναίων, καὶ πελοποννησίων, καὶ τῶν ἑκατέροις ξυμμάχων. ἐν ᾧ, οὔτε ἐπεμίγνυντο, ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους, καταστάντες δὲ ξυνεχῶς ἐπολέμουν. γέγραπται δὲ ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος, καὶ χειμῶνα. τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαί, αἳ ἐγένοντο μετ' εὐβοίας ἅλωσιν. τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ χρυσίδος ἐν ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης, καὶ αἰνησίου ἐφόρου ἐν σπάρτῃ, καὶ πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος ἀθηναίοις, μετὰ τὴν ἐν ποτιδαίᾳ μάχην, μηνὶ ἕκτῳ, καὶ ἅμα ἦρι ἀρχομένῳ, θηβαίων ἄνδρες ὀλίγω πλείους τριακοσίων, ἡγοῦντο δὲ αὐτῶν βοιωταρχοῦντες, πυθάγγελός τε ὁ φυλίδου, καὶ διέμπορος ὁ θνητορίδου, ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς πλάταιαν τῆς βοιωτίας, οὖσαν ἀθηναίων ξυμμαχίδα, ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας πλαταιέων ἄνδρες, ναυκλείδης τε, καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως, ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι, καὶ τὴν πόλιν θηβαίοις προσποιῆσαι, ἔπραξαν δὲ ταῦτα, δι' εὐρυμάχου τοῦ λεοντιάδου, ἀνδρὸς θηβαίων δυνατωτάτου, προϊδόντες καὶ οἱ θηβαῖοι ὅτι ἔσοιτο ὁ πόλεμος, ἠβούλοντο τὴν πλάταιαν ἀεί, σφίσι διάφορον

οὖσαν

οὖσαν, ἔτι ἐν εἰρήνῃ τε, καὶ τοῖ πολέμου μή που φανερῶ καθεστῶτος προκαταλαβεῖν. ἢ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυλακῆς οὐ προκαθεστηκύας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα, τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο, ὥστ' εὐθὺς, ἔργου ἔχεσθαι, καὶ ἱέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν. γνώμην δὲ ἐποιοῦντο, κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις, καὶ ἐς ξύμβασιν μᾶλλον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν. καὶ ἀνεῖπεν ὁ κῆρυξ, εἴ τις βούλετο κατὰ τὰ πάτρια τῶν πάντων βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα, νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν. οἱ δὲ πλαταιεῖς, ὡς ᾔσθοντο ἔνδον τε ὄντας τοὺς θηβαίους, καὶ ἐξαπιναίως κατειλημένην, τὴν πόλιν, καταδείσαντες, καὶ νομίσαντες πολλῷ πλείους, ἐσεληλυθέναι (οὐ γὰρ ἑώρων ἐν τῇ νυκτὶ) πρὸς ξύμβασιν ἐχώρησαν, καὶ τοὺς λόγους δεξάμενοι, ἡσύχαζον. ἄλλως τε, καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐννεωτέριζον. πράσσοντες δέ πως ταῦτα, κατενόησαν, οὐ πολλοὺς τοὺς θηβαίους ὄντας. ἐνόμισαν ἐπιθέμενοι, ῥᾳδίως κρατῆσαι. τῷ γὰρ πλήθει τῶν πλαταιέων, οὐ βουλομένῳ ἦν τῶν ἀθηναίων ἀφίστασθαι. ἐδόκει οὖν ἐπιχειρητέα εἶναι, καὶ ξυνελέγοντο διορύσσοντες τοὺς κοινοὺς τείχους παρ' ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες. ἀμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίσασαν, ἵν' ἀντὶ τείχους ᾖ καὶ τἆλλα ἐξήρτυον ᾗ ἕκαστον ἐφαίνετο πρὸς τὰ πρόντα ξύμφορον ἔσεσθαι. ἐπεὶ δὲ ὡς ἐκ τῶν δυνατῶν ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα, καὶ αὐτὸ τὸ πρίορθρον, ἐχώρουν ἐκ τῶν

οἰκιῶν ἐπ' αὐτοὺς, ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι
προσφέροιντο, καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται. ἀλλ' ἐν
νυκτὶ φοβερώτεροι ὄντες, ἥσσους ὦσι καὶ σφετέρας ἐμπει-
ρίας, καὶ κατὰ τὴν πόλιν. προσέβαλλόν τε εὐθὺς, καὶ ἐς χεῖ-
ρας ἤεσαν κατατάχος. οἱ δ' ὡς ἔγνωσαν ἐξηπατημένοι,
ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς, καὶ τὰς προσβολὰς ἢ
προσπίπτοιεν ἀπεωθοῦντο. καὶ δίς μὲν ἢ τρὶς ἀπεκρού-
σαντο. ἔπειτα πολλῷ θορύβῳ, αὐτῶν τε προσβαλόντων,
καὶ τῶν γυναικῶν, καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν
κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων λίθοις τε καὶ κεράμῳ
βαλλόντων. καὶ ὑετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενο-
μένου, ἐφοβήθησαν. καὶ τραπόμενοι, ἔφυγον διὰ τῆς πόλεως.
ἄπειροι μὲν ὄντες οἱ πλείους, ἐν σκότῳ, καὶ πηλῷ τῷ διόδων,
ἢ χρὴ σωθῆναι. καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς, τὰ γιγνό-
μενα ἦν. ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας τοῦ μὴ ἐκ-
φεύγειν, ὥστε διεφθείροντο οἱ πολλοί. τῶν δὲ πλαταιέων τὶς
τὰς πύλας ᾗ ἐσῆλθον, καὶ ἅιπερ ἦσαν ἀνεῳγμέναι, ἔκλεισε
στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλὸν,
ὥστε μήδε ταύτῃ ἔτι ἔξοδον εἶναι. διωκόμενοι δὲ κατὰ τὴν
πόλιν, οἱ μὲν τινες αὐτῶν, ἐπὶ τὸ τεῖχος ἀναβάντες, ἔρρι-
ψαν ἐς τὸν ἔξω σφᾶς αὐτοὺς, καὶ διεφθάρησαν οἱ πλείους.
οἵδε κατὰ πύλας ἐρήμους γυναικὸς δούσης πέλεκυν, λαθόν-
τες καὶ διακόψαντες τὸν μοχλὸν, ἐξῆλθον οὐ πολλοί. αἴ-
σθησις γὰρ ταχεῖα ἐπεγένετο. ἄλλοι δὲ ἄλλῃ καὶ πόλεως
σποράδην ἀπώλλυντο. τὸν δὲ πλεῖστον, καὶ ὅσον μάλιστα
ἦν ξυνεστραμμένον, ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ
τείχους.

τείχους. καὶ αἱ θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῖ, οἰόμενοι
πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἄντικρυς δίο-
δον ἐς τὸ ἔξω. ὁρῶντες δὲ αὐτοὺς οἱ πλαταιεῖς ἀπειλημ-
μένους, ἐβουλεύοντο εἴτε κατακαύσωσιν ὥσπερ ἔχουσιν
ἐμπρήσαντες τὸ οἴκημα, εἴτέ τι ἄλλο χρήσονται. τέλος δὲ,
οὗτοί τε, καὶ ὅσοι ἄλλοι τῶν θηβαίων περιῆσαν κατὰ τὴν πό-
λιν πλανώμενοι, ξυνέβησαν τοῖς πλαταιεῦσι, σφᾶς τε
αὐτοὺς παραδοῦναι, καὶ τὰ ὅπλα, χρήσασθαι, ὅ, τι ἂν βούλων-
ται. οἱ μὲν δὴ ἐν τῇ πλαταίᾳ, οὕτως ἐπεπράγεσαν. οἱ δ'
ἄλλοι θηβαῖοι, οὓς ἔδει ἔτι καὶ νυκτὸς παραγενέσθαι παν-
στρατιᾷ, εἴ τι ἄρα μὴ προσχωροίη τοῖς ἐσεληλυθόσι, καὶ
ἀγγελίας ἅμα καθ' ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενη-
μένων, ἐπεβοήθουν. ἀπέχει δ' ἡ πλάταια τῶν θηβῶν σταδίους
ἑβδομήκοντα. καὶ τὸ ὑδὼρ τὸ γενόμενον καὶ νυκτὸς, ἐποίησε
βραδύτερον αὐτοὺς ἐλθεῖν. ὁ γὰρ ἀσωπὸς ποταμὸς ἐῤῥύη
μέγας, καὶ οὐ ῥᾳδίως διαβατὸς ἦν. πορευόμενοί τε ἐν
ὑετῷ. καὶ τὸν ποταμὸν μόγις διαβάντες, ὕστερον παρε-
γένοντο ἤδη τῶν ἀνδρῶν, τῶν μὲν διεφθαρμένων. τῶν δὲ
ζώντων ἐχομένων. ὡς δ' ἤσθοντο οἱ θηβαῖοι τὸ γεγενημένον
ἐπεβούλευον τοῖς ἔξω καὶ πόλεως τῶν πλαταιέων. ἦσαν
γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς, καὶ κατασκευὴ, οἷα,
ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου, ἐβούλοντο γάρ
σφίσιν εἴ τινα λάβοιεν, ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα
τύχωσί τινες ἐζωγρημένοι. καὶ οἱ μὲν ταῦτα διενοοῦντο.
οἱ δὲ πλαταιεῖς, ἔτι διαβουλευομένων αὐτῶν ὑπὸ τοπή-
σαντες τοιοῦτόν τι ἔσεσθαι, καὶ δείσαντες περὶ τοῖς ἔξω,

κήρυκα ἀξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες, ὅτι οὔτε τὰ πεποιημένα ὅσια δράσειαν ἂν σπονδαῖς σφῶν φερομένους καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν. εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν ἀποδώσειν τοὺς ἄνδρας ἀπρικτωνεῖν, οὓς ἔχουσι ζῶντας. ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς, ἀπέδωσαν αὐτοῖς τοὺς ἄνδρας, Θηβαῖοι μὲν ταῦτα λέγουσι, καὶ ἐπομόσαι φασὶν αὐτούς, πλαταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας ἐνδὺς ὑποχέσθαι ἀποδώσειν, ἀλλὰ λόγῳ πρῶτον γνωμώμενοι ἵν' ἃ ξυμβαίνωσι, ἐπομόσαι οὐ φασιν, ἐκ γοῦν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι, οὐδὲν ἀδικήσαντες, οἱ δὲ πλαταιῆς, ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατατάχθη ἐσεκομίσαντο. ἀπέκτειναν τοὺς ἄνδρας ἐυθύς, ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες. Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες, τόν τε ποιήσαντες, ἐς τε τὰς ἀθλίους ἄγγελον ἔπεμψαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις, τάδε μὲν τῇ πόλει καθίσαντο πρὸς τὰ παρόντα, ἣ ἐδόκει αὐτοῖς. τοῖς δ' ἀθλιωτάτοις ἤγγελθη ἐνδὺς τὰ παρὰ τῶν πλαταιέων γεγενημένα. Βοιωτῶν τε πρᾶγμα ξυνέλαβον, ὅσοι ἦσαν ἐν τῇ ἀττικῇ. καὶ ἐς τὴν πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες αὐτοῖς εἰπεῖν μηδὲν νεώτερον ποιεῖν πρὶν περὶ τῶν ἀνδρῶν, οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν. οὐ γὰρ ἠγγέλθη αὐτοῖς ὅτι τεθνήκοτες εἶεν. ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων, ὁ πρῶτος ἄγγελος ἐξῆν. ὁ δὲ δεύτερος ἅτε νενικημένων τῶν ἐναντίων, καὶ ξυμπεπτωκότων, καὶ μηδὲν ἔτι ὑποπτεύοντος οὐδενὸς, ἧκε μετὰ τὴν ἀναχώρησιν τῶν Θηβαίων. οὕτω

δὴ οὐκ εἰδότες οἱ ἀθηναῖοι ἐπέστελλον. ὁ δὲ κῆρυξ ἀφι-
κόμενος, εὗρε τοὺς ἄνδρας διεφθαρμένους. καὶ μετὰ
ταῦτα οἱ ἀθηναῖοι, στρατεύσαντες ἐς πλάταιαν σῖτόν τε
ἐσήγαγον, καὶ φρουροὺς ἐγκατέλιπον, τῶν τε ἀνθρώ-
πων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ, καὶ παισὶν ἐξε-
κόμισαν. γεγενημένου δὲ τοῦ ἐν πλαταιαῖς ἔργου, καὶ λε-
λυμένων λαμπρῶς τῶν σπονδῶν, οἱ ἀθηναῖοι πρεσκευά-
ζοντο, ὡς πολεμήσοντες. πρεσκευάζοντο δὲ ⊂ οἱ λακεδαι-
μόνιοι, καὶ οἱ ξύμμαχοι αὐτῶν, πρεσβείας τε μέλλοντες
πέμπειν πρὰ βασιλέα, καὶ ἄλλωσε ἐς τοὺς βαρβάρους,
εἴποθέν τινα ὠφέλειαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι·
πόλεις τε ξυμμαχίδας ποιούμενοι, ὅσαι ἦσαν ἔκτος καὶ
ἑαυτῶν δυνάμεως. καὶ λακεδαιμονίοις μὲν πρὸς ταῖς
αὐτοῦ ὑπαρχούσαις ἐξ ἰταλίας, καὶ σικελίας, τοῖς τἀκεί-
νων ἑλομένοις ναῦς ἐπετάχθησαν ποιεῖσθαι κατὰ μέγετος
τῶν πόλεων, ὡς ἐς τὸν πάντα ἀριθμὸν, πεντακοσίων νεῶν
ἐσομένων, καὶ ἀργύριον ῥητὸν ἑτοιμάζειν, τὰ τ' ἄλλα ἡσυ-
χάζοντας, καὶ ἀθηναίους δεχομένους μιᾷ νηΐ, ἕως ἂν ταῦ-
τα πρασκευασθῇ. ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμα-
χίαν ἐξήταζον, καὶ ἐς τὰ περὶ πελοπόννησον μᾶλλον
χωρία ἐπρεσβεύοντο, κέρκυραν, καὶ κεφαλληνίαν, καὶ ἀκαρ-
νᾶνας, καὶ ζάκυνθον, ὁρῶντες εἰ σφίσι φίλια ταῦτ' εἴη, βε-
βαίως πέριξ τὴν πελοπόννησον καταπολεμήσαντες. ὀλί-
γον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ' ἔῤῥωντο ἐς τὸν πό-
λεμον οὐκ ἀπεικότως. ἀρχόμενοι γὰρ πάντες, ὀξύτερον
ἀντιλαμβάνονται, τότε δὴ καὶ νεότης πολλὴ μὲν οὖσα ἐν

τῇ πελο-

τῇ πελοποννήσῳ. πολλὴ δ' ἐν ταῖς ἀθήναις, οὐκ ἀκουσίως
ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου. ἤ τε ἄλλη ἑλλὰς πᾶσα
μετέωρος ἦν, ξυνιουσῶν τῶν πρώτων πόλεων, καὶ πολ-
λὰ μὲν λόγια ἐλέγετο, πολλὰ δ' χρησμολόγοι ἦδον, ἔν τε
τοῖς μέλλουσι πολεμήσειν, καὶ ἐν ταῖς ἄλλαις πόλεσιν.
ἔτι δὲ δῆλος ἐκινήθη ὀλίγῳ πρὸ τούτων, πρότερον οὔπω
σεισθεῖσα, ἀφ' οὗ ἕλληνες μέμνηνται. ἐλέγετο δὲ καὶ ἐδόκει
ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι, εἴτε τι ἄλλο τοιου-
τότροπον ξυνέβη γενέσθαι. πάντα ἀνεζητεῖτο. ἡ δὲ εὔνοια,
πρὰ πολὺ ἐποίει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς λακε-
δαιμονίους. ἄλλως τε καὶ προειπόντων ὅτι τὴν ἑλλάδα
ἐλευτεροῦσιν, ἔῤῥωτό τε πᾶς, καὶ ἰδιώτης, καὶ πόλις, εἴ τι
δύναιτο καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς.
ἐν τούτῳ τε κεκωλύσθαι ἐδόκει ἑκάστῳ τὰ πράγματα, ᾧ
μή τις αὐτὸς παρέσται, οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς
ἀθηναίους. οἱ μὲν, καὶ ἀργῆς ἀπολυθῆναι βουλόμενοι. οἱ
δὲ, μὴ ἀρχθῶσι φοβούμενοι. πρασκευῇ μὲν οὖν τοιαύτῃ καὶ
γνώμῃ ὥρμηντο. πόλεις δ' ἑκάτεροι τάς δ' ἔχοντες ξυμ-
μάχους, ἐς τὸν πόλεμον καθίσταντο. λακεδαιμονίων μὲν
οἵδε ξύμμαχοι, πελοποννήσιοι μὲν οἱ ἐντὸς ἰσθμοῦ
πάντες, πλὴν ἀργείων καὶ ἀχαιῶν. τούτοις δ' ἐς ἀμφο-
τέρους φιλία ἦν. πελήνῃς δὲ ἀχαιῶν μόνοι ξυνεπολέμουν
τὸ πρῶτον, ἔπειτα δὲ ὕστερον, καὶ ἅπαντες. ἔξω δὲ πελο-
ποννήσου, μεγαρῆς, λοκροὶ, βοιωτοὶ, φοκῆς, ἀμπρακιῶται,
λευκάδιοι, ἀνακτόριοι, τούτων ναυτικὸν παρείχοντο, κορίν-
θιοι, μεγαρῆς, σικυώνιοι, πελληνῆς, ἠλεῖοι, ἀμπρακιῶται,
λευκάδιοι

λευκάδιοι ἱππέας δὲ βοιωτοὶ, φωκῆς, λοκροί. αἱ δ' ἄλλαι πόλεις, πεζὸν παρεῖχον. αὕτη μὲν λακεδαιμονίων ξυμμαχία. ἀθηναίων δὲ χῖοι, λέσβιοι, πλαταιῆς, μεσσήνιοι, οἱ ἐν ναυπάκτῳ ἀκαρνάνων οἱ πλείους. κορκυραῖοι, ζακύνθιοι, ⊂ ἄλλαι πόλεις, αἱ ὑποτελεῖς οὖσαι, ἐν ἔθνεσι τοσοῖσδε. καρία ἡ ἐπὶ θαλάσσῃ δωριῆς καρσὶ πρόσοικοι. ἰωνία, ἑλλήσποντος, τὰ ἐπὶ θρᾴκης. νῆσοι, ὅσαι ἐντὸς πελοποννήσου, καὶ κρήτης πρὸς ἥλιον ἀνίσχοντα. πᾶσαι αἱ ἄλλαι κυκλάδες, πλὴν μήλου, καὶ θήρας. τούτων ναυτικὸν πρείχοντο, χῖοι, λέσβιοι, κορκυραῖοι. οἱ δ' ἄλλοι, πεζὸν, καὶ χρήματα. ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ πρασκευὴ ἐς τὸν πόλεμον ἦν. οἱ δὲ λακεδαιμόνιοι μετὰ τὰ ἐν πλαταιαῖς εὐθὺς πρὶ ἡγγελλον κατὰ τὴν πελοπόννησον, ⊂ τὴν ἔξω ξυμμαχίδα, στρατιὰν πρασκευάζεσθαι ταῖς πόλεσι, τά τε ἐπιτήδεια. οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ὡς ἐσβαλοῦντες ἐς τὴν ἀττικήν. ἐπειδὴ δὲ ἑκάστης ἕτοιμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῄεσαν τὰ δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν ἰσθμόν. ⊂ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, ἀρχίδαμος ὁ βασιλεὺς τῶν λακεδαιμονίων, ὅσπερ ἡγεῖτο καὶ ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν, καὶ τοὺς μάλιστα ἐν τέλει, καὶ ἀξιωλογωτάτους παρεῖναι τοιάδ' ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΑΡΧΙΔΑΜΟΥ.

Ἄνδρες πελοποννήσιοι, ⊂ οἱ ξύμμαχοι, ⊂ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ τῇ πελοποννήσῳ,

καὶ ἔξω ἐποιήσαντο. καὶ ἡμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ πολέμων ἄπειροι εἰσίν. ὅμως δὲ τῆς δὲ οὔπω μείζονα παρασκευὴν ἔχοντες, ἐξήλθομεν, ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι, μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους. ἡ γὰρ ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῆρτε. καὶ προσέχει τὸν γνώμην, εὔνοιαν ἔχουσα διὰ τὸν ἀθηναίων ἔχθος πρᾶξαι ἡμᾶς, ἃ ἐπὶ νοοῦμεν. οὔκουν χρὴ εἴτῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι, καὶ ἀσφάλεια πολλὴ εἶναι, μὴ ἂν ἐθέλειν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης, τούτων ἕνεκα ἀμελέστερόν τι πρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα, καὶ στρατιώτην τὸν καθ' αὑτὸν ἀεὶ προσδέχεσθαι ἐς κινδυνόν τινα ἥξειν. ἄδηλα γὰρ τὰ τῶν πολέμων. καὶ ἐξ ὀλίγου τὰ πολλὰ, καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται. πολλάκις τε τὸ ἔλασσον πλῆθος δεδιὸς, ἄμεινον ἡμύνατο τοὺς πλέονας, διὰ τὸν καταφρονοῦντας ἀπαρασκεύους γένεσθαι. χρὴ δὲ ἀεὶ ἐν τῇ πολεμίᾳ, τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ δεδιότας, παρεσκεύασθαι. οὕτω γὰρ πρός τε τὸν ἐπιέναι τοῖς ἐναντίοις, εὐψυχότατοι ἂν εἶεν, πρός τε τὸ ἐπιχειρεῖσθαι, ἀσφαλέστατοι. ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὔπω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα πρεσκευασμένην. ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτοὺς, εἰ μὴ καὶ νῦν ὥρμηνται, ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δηοῦντάς τε καὶ τἀκείνων φθείροντας. πᾶσι γὰρ ἐν τοῖς ὄμμασι, καὶ ἐν τῷ πραυτίκα ὁρᾷν

πάσχοντάς

πάσχοντάς τι ἄνθες, ὀργὴ προσπίπτει. καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυμῷ πλεῖστα ἐς ἔργον κατίσταντο. ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἳ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι, καὶ ἐπιόντες τὴν τῶν πέλας δηοῦν μᾶλλον, ἢ τὴν ἑαυτῶν ὁρᾷν. ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες, καὶ μεγίστην δόξαν οἰσόμενοι, τοῖς τε προγόνοις, καὶ ἡμῖν αὐτοῖς, ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἔπεσθαι ὅποι ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι, καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι. κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας, ἑνὶ κόσμῳ χρωμένους φαίνεσθαι.

Τοσαῦτα εἰπὼν, καὶ διαλύσας τὸν σύλλογον ὁ ἀρχίδαμος, μελήσιππον πρῶτον ἀπεστέλλει ἐς τὰς ἀθήνας τὸν διακρίτου, ἄνδρα σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ ἀθηναῖοι, ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας, οἱ δὲ, οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν, οὐδ' ἐπὶ τὸ κοινόν. ἦν γὰρ περικλέους γνώμη πρότερον νενικηκυῖα, κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι λακεδαιμονίων ἐξεστρατευμένων. ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι, καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερόν. τότε λοιπὸν ἀναχωρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται πρεσβεύεσθαι, ξυμπέμπουσι τε τοῦ μελησίππου ἀγωγοὺς, ὅπως μηδενὶ ξυγγένηται ὅδ' ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγένετο, καὶ ἔμελλε διαλύεσθαι. τοσόνδε εἰπὼν, ἐπορεύετο, ὅτι ἥδε ἡ ἡμέρα τοῖς ἕλλησι μεγάλων κακῶν ἄρξει. ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον, καὶ ἔγνω ὁ ἀρχίδαμος ὅτι οἱ ἀθηναῖοι

οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας τῷ στρατῷ, προὐχώ-
ρει ἐς τὴν γῆν αὐτῶν. βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον,
καὶ τοὺς ἱππέας παρείχοντο πελοποννησίοις ξυστρατεύειν.
τοῖς, δὲ λειπομένοις ἐς πλάταιαν, ἐλθόντες, τὴν γῆν ἐδῄουν,
ἔτι δὲ τῶν πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν ἰσθμόν,
καὶ ἐν ὁδῷ ὄντων πρὶν ἐσβαλεῖν ἐς τὴν ἀττικήν, πορικλῆς
ὁ ξανθίππου στρατηγὸς ὢν ἀθηναίων δέκατος αὐτὸς ὡς
ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι ἀρχίδα-
μος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις ἢ αὐτὸς
ἰδίᾳ βουλόμενος χαρίζεσθαι τοὺς ἀγροὺς αὐτοῖ πραλί-
πῃ καὶ μὴ δῃώσῃ, ἢ καὶ λακεδαιμονίων κελευσάντων, ἐπὶ
διαβολῇ τῇ ἑαυτοῖ γένηται τοῦτο, ὥσπερ καὶ τὰ ἄγη ἐλάυ-
νειν προεῖπον ἕνεκα ἐκείνου, προηγόρευε τοῖς ἀθηναίοις ἐν
τῇ ἐκκλησίᾳ, ὅτι ἀρχίδαμος μὲν οἱ ξένος εἴη, οὐ μέν τοι
ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο τοὺς δ' ἀγροὺς τοὺς ἑαυτῆς,
καὶ οἰκίας, ἢν ἄρα μὴ δῃώσωσιν οἱ πολέμιοι, ὥσπερ καὶ τὰ
τῶν ἄλλων. ἀφίησιν αὐτὰ δημόσοια εἶναι, καὶ μηδεμίαν
οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. παρήνει δὲ καὶ περὶ τῶν
παρόντων, ἅπερ καὶ πρότερον παρασκευάσεσθαί τε ἐς τὸν
πόλεμον, καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, ἐς τε μάχην
μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάττειν, καὶ
τὸ ναυτικὸν, ἥπερ ἰσχύουσιν ἐξαρτύεσθαι τά τε τῶν ξυμμά-
χων διὰ χειρὸς ἔχειν, λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων
εἶναι τῶν χρημάτων καὶ προσόδου. τὰ δὲ πολλὰ τοῖ πο-
λέμου, γνώμη, καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι, θαρ-
σεῖν τε ἐκέλευε, προσιόντων μὲν ἑξακοσίων ταλάντων,

ὡς ἐπι-

ὡς ἐπὶ πολὺ φόρου κατ' ἰδίαν τὸν ἀπὸ τοῦ ξυμμάχου τῇ πόλει ἄνδρ' ἕκαστον ἄλλης προσόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων. τὰ γὰρ πλεῖστα τριακοσίων ἀπολελειμμένα ἦν καὶ ἐγένετο, ἀφ' ὧν ἐς τε τὰ προπύλαια τῆς ἀκροπόλεως, καὶ τἆλλα οἰκοδομήματα, καὶ ἐς ποτίδαιαν ἀπανηλώθη. χωρὶς δὲ χρυσίου ἀσήμου καὶ ἀργυρίου ἔν τε ἀναθήμασιν ἰδίοις, καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη πρός τε τὰς πομπὰς, καὶ τοὺς ἀγῶνας, καὶ σκῦλα μηδικὰ, καὶ εἴ τι τοιοῦτότροπον, οὐκ ἐλάσσονος ἦν, ἢ πεντακοσίων ταλάντων. ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετέθη χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτοὺς καὶ ἦν πάνυ ἐξειργωνται πάντων, καὶ αὐτῆς δὴ θεοῦ τοῖς περικειμένοις χρυσίοις. ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα πεντεκαίδεκα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου καὶ περιαιρετὸν εἶναι ἅπαν. χρήσαμένους τε ἐπὶ σωτηρίᾳ, ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. χρήσασι μὲν οὖν οὕτως ἐδόκει αὐτούς. ὁπλίτας δὲ τριχιλίους καὶ μυρίους εἶναι, ἄνευ τῶν ἐν τοῖς φρουρίοις, καὶ τῶν ἐπὶ παλαιμ ἑξακισχιλίων, καὶ μυρίων. τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον ὅτε οἱ πολέμιοι ἐσέβαλον, ἀπό τε τῶν πρεσβυτάτων, καὶ τῶν νεωτάτων, καὶ μετοίκων ὅσοι ὁπλῖται ἦσαν. τὸν τε μακρὸν φαληρικὸν τεῖχος σάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος, καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τριῶν καὶ τεσσαράκοντα. ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ, καὶ φαληρικοῦ. τὰ δὲ μακρὰ τεῖχη πρὸς τὸν πειραιᾶ, τεσσαράκοντα

κοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο. καὶ τοι πειραιέως
ξὺν μουνυχίᾳ, ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος
τὸ δ' ἐν φυλακῇ ὄν, ἦν ἥμισυ τούτου. ἱππέας δ' ἀπέφαινε.
διακοσίους, καὶ χιλίους, ξὺν ἱπποτοξόταις. ἑξακοσίους δὲ,
καὶ χιλίους τοξότας, καὶ τριήρεις τὰς πλωίμους τριακο-
σίας. ταῦτα γὰρ ὑπῆρχεν ἀθηναίοις, καὶ οὐκ ἐλάσσω
ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ τοπρῶτον ἔμελλε πελοποννη-
σίων ἔσεσθαι, καὶ ἐς τὸν πόλεμον καθίσταντο. ἔλεγε δὲ καὶ
ἄλλα οἷά περ εἰώθει περικλῆς, ἐς ἀπόδειξιν τοι περιέσεσθαι
τῷ πολέμῳ οἱ δὲ ἀθηναῖοι ἀκούσαντες, ἀνεπείθοντό τε, καὶ
ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας, καὶ γυναῖκας, καὶ
τὴν ἄλλην παρασκευὴν ἣ κατ' οἶκον ἐχρῶντο. καὶ αὐτῶν
τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν, πρόβατα δὲ καὶ
ὑποζύγια ἐς τὴν εὔβοιαν διέπεμψαντο, καὶ ἐς τὰς νήσους
τὰς ἐπικειμένας. χαλεπῶς δὲ αὐτοῖς διὰ τὸ ἀεὶ εἰωθέναι
τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι, ἡ ἀνάστασις
ἐγίγνετο. ξυνεβεβήκει δὲ ἀπὸ τοι πάνυ ἀρχαίου ἑτέρων
μᾶλλον ἀθηναίοις τοῦτο. ἐπὶ γὰρ κέκροπος καὶ τῶν πρώ-
των βασιλέων, ἡ ἀττικὴ ἐς θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο,
πρυταννεῖά τε ἔχουσα, καὶ ἄρχοντας. καὶ ὁπότε μή τι
δείσειαν οὐ ξυνήεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα, ἀλλ'
αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο, καὶ ἐβουλεύοντο. καί τινες καὶ
ἐπολέμησάν ποτε αὐτῶν, ὥσπερ καὶ ἐλευσίνιοι μετ' εὐμόλ-
που πρὸς ἐρεχθέα. ἐπειδὴ δὲ θησεὺς ἐβασίλευσε, γενόμενος
μετὰ τοῦ ξυνετοι καὶ δυνατὸς, τά τε ἄλλα διεκόσμησε τῆς
χώραν, καὶ καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευ-

τήρια,

τήρια, καὶ τὰς ἀρχὰς, ἐς τὴν νῦν πόλιν οὖσαν, ἐν βουλευ-
τήριον ἀποδείξας, καὶ πρυτανεῖον, ξυνῴκισε πάντας. Ὁ
νεμομένους τὰ αὐτῶν ἑκάστους ἅπερ καὶ πρότοι, ἠνάγκασε
μιᾷ πόλει ταύτῃ χρῆσθαι, ἢ ἁπάντων ἤδη ξυντελούντων
ἐς αὐτὴν μεγάλη γενομένη παρεδόθη ὑπὸ θησέως τοῖς
ἔπειτα. καὶ ξυνοίκια ἐξ ἐκείνου ἀθηναῖοι, ἔτι καὶ νῦν τῇ θεῷ
ἑορτὴν δημοτελῆ ποιοῦσι. τὸ δὲ πρὸ τούτου. ἡ ἀκρόπολις ἡ
νῦν οὖσα, πόλις ἦν. καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα τε-
τραμένον. τεκμήριον δὲ, τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει
Ὁ ἄλλων θεῶν ἐστι. καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς
πόλεως μᾶλλον ἵδρυται, τό, τε τοῦ διὸς τοῦ ὀλυμπίου, καὶ
τὸ πύθιον, καὶ τὸ τῆς γῆς, Ὁ τὸ ἐν λίμναις διονύσου, ᾧ τὰ
ἀρχαιότερα διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ ἀν-
θεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ' ἀθηναίων ἴωνες ἔτι καὶ νῦν
νομίζουσιν. ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. καὶ
τῇ κρήνῃ, τῇ νῦν μὲν τῶν τυράννων οὕτω κελευσάντων
ἐννεακρούνῃ καλουμένῃ. τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν
οὐσῶν, καλλιρόῃ ὠνομασμένῃ, ἐκείνῃ τε ἐγγὺς οὔσῃ τὰ
πλείστου ἄξια ἐχρῶντο. καὶ νῦν ἔτι, ἀπὸ τοῦ ἀρχαίου πρό τε
γαμικῆς, Ὁ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι.
καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτην κατοίκησιν καὶ ἡ
ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' ἀθηναίων πόλις. τῇ τε οὖν
ἐπιπολύκτῃ τὴν χώραν ἀνανόμῳ οἰκῆσαι μετεῖχον οἱ
ἀθηναῖοι. καὶ ἐπειδὴ ξυνῳκίσθησαν διὰ τὸ ἔθος ἐν τοῖς
ἀγροῖς, ὅμως οἱ πλείους τῶν τε ἀρχαίων, καὶ τῶν ὕστερον
μέχρι τοῦδε τοῦ πολέμου πανοικησίᾳ γενόμενοί τε, καὶ

οἰκήσαν-

οἰκήσαντες, οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο. ἄλλως τε, καὶ ἄρτι ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ μηδικά. ἐβαρύνοντο δὲ καὶ χαλεπῶς. ἔφερον, οἰκίας τε καταλιπόντες, καὶ ἱερὰ, ἃ διαπαντὸς ἦν αὐτοῖς ἐκ τοῦ κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια. διαιτάν τε μέλλοντες μεταβάλλειν, καὶ οὐδὲν ἄλλο, ἢ πόλιν τὴν αὐτοῖ ἀπολείπων ἕκαστος. ἐπειδὴ δὲ ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις. καὶ παρὰ φίλων τινὰς, ἢ οἰκείων καταφυγή. οἱ δὲ πολλοὶ τά τε ἔρημα τοῦ πόλεως ᾤκησαν, καὶ τὰ ἱερὰ, καὶ τὰ ἡρῷα πάντα, πλὴν τοῦ ἀκροπόλεως, καὶ τοῦ ἐλευσινίου, καὶ εἴ τι ἄλλο βεβαίως κληιστὸν ἦν, τό, τε πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν. καί τι καὶ πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε λέγον, ὡς τὸ πελασγικὸν, ἀργὸν ἄμεινον. ὅμως ὑπὸ τοῦ πραχρῆμα ἀνάγκης ἐξῳκήθη. καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι, ἢ προσεδέχοντο. οὐ γὰρ διὰ τὴν πρόνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον, ἢ ἀνάγκη τῆς οἰκήσεως, ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον, προῄδει μὴ ἐπ' ἀγαθῷ πότε αὐτὸ κατοικισθησόμενον. κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοὶ, καὶ ὡς ἕκαστός που ἐδύνατο. οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις. ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾤκησαν κατανειμάμενοι, καὶ τοῦ πειραιέως τὰ πολλά. ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες, καὶ τῇ πελοποννησίῳ ἑκατὸν νεῶν πλοῦν ἐξαρτύοντες,

καὶ οἱ

καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν. ὁ δὲ στρατὸς τῶν πελοποννησίων προϊὼν, ἀφίκετο καὶ ἀττικῆς ἐς οἰνόην πρῶτον, ᾗπερ ἔμελλον ἐσβαλεῖν. καὶ ὡς ἐκαθέζοντο, προσβολὰς προσκευάζοντο τῷ τείχει, ποιησόμενοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ. ἡ γὰρ οἰνόη οὖσα ἐν μεθορίοις καὶ ἀττικῆς, καὶ βοιωτίας, ἐτετείχιστο. καὶ αὐτῷ φρουρίῳ οἱ ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος καταλάβοι. τάς τε οὖν προσβολὰς ἠυτρεπίζοντο, καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτήν. αἰτίαν τε οὐκ ἐλαχίστην ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι, καὶ τοῖς ἀθηναίοις ἐπιτήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν, ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς, ἥτε ἐν τῷ ἰσθμῷ ἐπιμονὴ γενομένη, καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτόν. μάλιστα δὲ ἡ ἐν τῇ οἰνόῃ ἐπίσχεσις. οἱ γὰρ ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ, καὶ ἐδόκουν οἱ πελοποννήσιοι ἐπελθόντες ἂν διατάχους, πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὰ ἐκείνου μέλλησιν. ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν. ὁ δὲ, προσδεχόμενος, ὡς λέγεται, τοὺς ἀθηναίους, καὶ γῆς ἔτι ἀκεραίου οὔσης, ἐνδώσειν τί, καὶ κατοκνήσειν περιϊδεῖν αὐτὴν τμηθεῖσαν, ἀνεῖχεν. ἐπειδὴ μὲν τοι προσβαλόντες τῇ οἰνόῃ, καὶ πᾶσαν ἰδέαν πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο. οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς, μετὰ τὰ ἐν πλαταίᾳ τῶν ἐσελθόντων θηβαίων γενόμενα, ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέ-

βαλον ἐς τὴν Ἀττικήν. ἦγετο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. Οἱ καθεζόμενοι, ἔτεμνον. πρῶτον μὲν Ἐλευσῖνα καὶ Θριάσιον πεδίον. καὶ προϊόντι ἄνω τὴν Ἀθηναίων ἱππέων πρὸ αὐτῶν ξύντες καλούμενοι ἐποιήσαντο. ἔπειτα πρόσχωρον ἐν δεξιᾷ ἔχοντες Θ' Ἀιγάλεων ὄρος, διὰ Κηφισοπείας, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χωρίον μέγιστον τῶν Ἀττικῆς, τήν δὴ μὴν καλουμένων. Οἱ καθεζόμενοι ἐς αὐτὸ, στρατόπεδόν τε ἐποιήσαντο. χρόνον τε πολλὸν ἐμμείναντες, ἔτεμνον. γνώμη δὲ τοιάδε λέγεται τὸν Ἀρχίδαμον πρός τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι, καὶ ἐς Θ' πεδίον ἐκείνη τῇ ἐσβολῇ οὐ καταβῆναι. τὸν γὰρ Ἀθηναίους ἐλπίζειν ἀκμάζοντάς τε νεότητι πολλῇ, καὶ παρεσκευασμένους ἐς πόλεμον, ὡς οὔπω πρότερον, ἴσως ἂν ἐπεξελθεῖν, καὶ τῶν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο πρὸς τὰς Ἀχαρνὰς καθήμενον εἰ ἐπεξίασιν. ἅμα μὲν γὰρ αὐτὸν ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ξυστρατοπεδεῦσαι, ἅμα δὲ Οἱ Ἀχαρνῆς μέγα μέρος ὄντες τῆς πόλεως (τριχίλιοι γὰρ ὁπλῖται ἐγίγνοντο) οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην. εἰ δὲ καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τό, τε πεδίον τεμεῖν, Οἱ ἐς αὐτῶν τὴν πόλιν χωρίσεσθαι. τοὺς γὰρ Ἀχαρνέας ἐστρημένους τῶν σφετέρων, οὐχ ὁμοίως προθύμους ἔσεσθαι ἐς τὸν κίνδυνον, ἔφασαν δὲ φανέσθαι τῇ γνώμῃ.

γνώμῃ. τοιαύτη μὲν διανοίᾳ ὁ ἀρχίδαμος πρὶ τὰς ἀχαρ-
νὰς ἦν. ἀθηναῖοι δὲ μέχρι μὲν οὗ πρὶ ἐλευσῖνα καὶ τὸ θριάσιον
πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω.
αὐτοὺς, μὴ προιέναι. μεμνημένοι καὶ πλεισοάνατα τὸν παυσα-
νίου λακεδαιμονίων βασιλέα ὅτε ἐσβαλὼν καὶ ἀττικῆς ἐς
ἐλευσῖνα καὶ τρίωζε στρατῷ πελοποννησίων, πρὸ τοῦ δὲ τοῦ
πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν, ἀνεχώρησε πάλιν, ἐς
τὸ πλέον οὐκέτι προελθών. διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένε-
το ἐκ σπάρτης, δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώ-
ρησιν. ἐπειδὴ δὲ πρὶ ἀχαρνὰς, ἶδον τὸν στρατὸν ἑξήκοντα.
σταδίους καὶ πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο,
ἀλλ' αὐτοῖς ὡς εἰκὸς καὶ γῆς τεμνομένης ἐν τῷδ' ἐμφανεῖ,
ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι,
πλὴν τὰ μηδικὰ, δεινὸν ἐφαίνετο. καὶ ἐδόκει τοῖς τε ἄλλοις,
καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι, καὶ μὴ περιορᾷν. κατὰ
ξυστάσεις τε γιγνόμενοι, ἐν πολλῇ ἔριδι ἦσαν. οἱ μὲν κελέ-
υοντες ἐπεξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. χρησμολόγοι τε
ἦδον χρησμοὺς παντοίους. ὧν ἠκροᾶτο, ὡς ἕκαστος ὥρ-
μητο. οἵ τε ἀχαρνῆς οἰόμενοι πρὰ σφίσιν αὐτοῖς οὐκ ἐλα-
χίστην μοῖραν εἶναι ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο,
ἐνῆγον τὴν ἔξοδον μάλιστα. παντί τε τρόπῳ ἀνηρέθιστο ἡ
πόλις, καὶ τὸν περικλέα ἐν ὀργῇ εἶχον. καὶ ὧν παρῄνεσε
πρότερον, ἐμέμνηντο οὐδὲν ἀλλ' ἐκάκιζον, ὅτι στρατηγὸς
ὢν, οὐκ ἐπεξάγοι. αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων, ὧν
ἔπασχον περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χα-
λεταίνοντας, καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς

γινώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει
αὐτῶν, οὐδὲ ξύλλογον οὐδένα, τὸ μὴ ὀργῇ τι μᾶλλον, ἢ γνώ-
μῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε, καὶ
δι' ἡσυχίας μάλιστα ὅσον ἠδύνατο εἶχεν. ἱππέας μὲν τοι
ἐξέπμπεν ἀεὶ, τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπί-
πτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως, κακουργεῖν.
καὶ ἱππομαχία τίς ἐγένετο βραχεῖα ἐν φρυγίοις, τῶν τε
ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων, καὶ θεσσαλοῖς μετ' αὐτῶν
πρὸς τοὺς βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ ἀθη-
ναῖοι, καὶ θεσσαλοὶ, μέχρις οὗ προσβοηθησάντων τοῖς
βοιωτοῖς τῶν ὁπλιτῶν, τροπὴ ἐγένετο αὐτῶν. καὶ ἀπέ-
θανον τῶν θεσσαλῶν. καὶ ἀθηναίων οἱ πολλοί. ἀνείλοντο
μὲν τοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. καὶ οἱ πελοποννή-
σιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. ἡ δὲ βοήθεια αὕτη τῶν
θεσσαλῶν κατὰ τὸ πειλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς ἀθη-
ναίοις. καὶ ἀφίκοντο παρ' αὐτοὺς, λαρισσαῖοι, φαρσάλιοι,
πρᾶσιοι, κρανώνιοι, πειράσιοι, γυρτώνιοι, φεραῖοι. ἡγοῦντο
δὲ αὐτῶν, ἐκ μὲν λαρίσσης, πολυμήδης, καὶ ἀριστόνους, ἀπὸ
τῆς στάσεως ἑκάτερος. ἐκ δὲ φαρσάλου, μένων. ἦσαν δὲ
καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες. οἱ δὲ πελοποννή-
σιοι, ἐπειδὴ οὐκ ἐπεξῄεσαν αὐτοῖς οἱ ἀθηναῖοι ἐς μάχην,
ἄραντες ἐκ τῶν ἀχαρνῶν, ἐδῄουν τῶν δήμων τινὰς ἄλλους,
τῶν μεταξὺ πάρνηθος, καὶ βριλήσσου ὄρους. ὄντων δὲ αὐ-
τῶν ἐν τῇ γῇ, οἱ ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ
πελοπόννησον, ἅσπερ πρεσκευάζοντο, καὶ χιλίους ὁπλίτας
ἐπ' αὐτῶν, καὶ τοξότας τετρακοσίους. ἐστρατήγει δὲ καρκί-

νος τε

νός τε ὁ ξενοτίμου, καὶ πρωτέας ὁ ἐπικλέους, καὶ σωκράτης ὁ ἀντιγένους. καὶ οἱ μὲν ἄραντες, τῇ πρασκευῇ ταύτῃ πορίεπλεον. οἱ δὲ πελοποννήσιοι, χρόνον ἐμμείναντες ἐν τῇ ἀττικῇ, ὅσον εἶχον τὰ ἐπιτήδεια, ἀνεχώρησαν διὰ βοιωτῶν, οὐχ ᾗπερ ἐσέβαλον. παριόντες δὲ ὠρωπὸν, τὴν γῆν τὴν πειραϊκὴν καλουμένην, ἣν νέμονται ὠρώπιοι, ἀθηναίων ἡπήκοοι ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς πελοπόννησον, διελύθησαν κατὰ πόλεις ἕκαστοι. ἀναχωρησάντων δὲ αὐτῶν, οἱ ἀθηναῖοι φύλακας κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διαπαντὸς τοι πολέμου φυλάξειν. καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαίρετα ποιησαμένοις, χωρὶς θέσθαι, καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλλων πολεμεῖν, ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλότι, ἢν μὴ οἱ πολέμιοι νηί τῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει, καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο. τριήρεις τε μετ' αὐτῶν ἐξαιρέτους ἑκατὸν ἐποιήσαντο κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας, καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλότι, ἢ μετὰ τῶν χρημάτων περὶ τοι αὐτοι κινδύνου, ἢν δέῃ. οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ πορὶ πελοπόννησον ἀθηναῖοι. καὶ κορκυραῖοι μετ' αὐτῶν πεντήκοντα ναυσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων, ἄλλά τε ἐκάκουν πορίπλέοντες, καὶ ἐς μεθώνην τῆς λακωνικῆς ἀπεβάντες, τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ, καὶ ἀνθρώπων οὐκ ἐν ὄντων. ἔτυχε δὲ πορὶ τοὺς χώρους τούτους βρασίδας ὁ τέλλιδος, ἀνὴρ

παραλάτης φρουρὰν ἔχων, καὶ ἀναθήμενον, ἐσκήθει τοῖς
ἐν Ζῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. διαδραμὼν δὲ τὸ
τεῖχος Ἀθηναίων στρατόπεδον ἐσκεδασμένον κατὰ τὸ χώρα-
κα καὶ πρὸς τὸ τεῖχος πεπαμμένον, ἐσπίπτει ἐς τὸν μεθώ-
νην. καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσόδῳ ἀπολέσας τῶν μετ'
ἐκείνου, τὸν τε πόλιν προυποίησε, καὶ ἀπὸ τούτου τοῦ τολ-
μήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπηνέθη ἐν
τάρτῃ. οἱ δὲ Ἀθηναῖοι ἄραντες, πλέουσι. καὶ ἔντες τὴν
Ἀλείας ἐς φειάν, ἐδήωσαν τὴν γῆν ἐπὶ δύο ἡμέρας. καὶ προσ-
βοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἤλιδος πελακοσίους λο-
χάδας, καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων, μάχῃ
ἐκράτησαν. ἀνέμου δὲ καλοῦντος μεγάλου, χειμαζόμενοι
ἐν ἀλιμενίῳ χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς,
καὶ περιέπλευσαν τὸν Ἴχθυν καλούμενον τὴν ἄκραν ἐς τὸν
ἐν τῇ φειᾷ λιμένα. οἱ δὲ μισθίοι ἐν τούτῳ καὶ ἄλλοι ἐκ
νεῶς οἱ ῥᾳδιουργούμενοι ἐπεβοήθουν, καὶ γῆν χωρίσαντες, τὴν
φειὰν αἴρουσι, καὶ ὕστερον ἄλλαι τε νῆες περιπλεύσασαι, ἀνα-
λαμβάνουσιν αὐτούς, καὶ ἀναγόνται ἐκλιπόντες φειάν.
καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ, προσεβεβοηθήκει,
παπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία, ἐδήουν,
ὑστερον δὲ τοῦ αὐτοῦ χρόνου τοῦτου, οἱ Ἀθηναῖοι τριάκοντα ναῦς
ἀπέπεμψαν περὶ τὴν λοκρίδα, καὶ εὐβοίας ἅμα φυλακήν.
ἐστρατήγει δὲ αὐτῶν κλεόπομπος ὁ κλεινίου. καὶ ἀπρφά-
σεως ποιησάμενος, τι πελαλασίᾳ ἔσιν ἃ ἐδήωσε,
καὶ θρόνιον εἷλεν. ὁμόρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν ἀλωπη
τοὺς βοηθήσαντας λοκροῖς μάχῃ ἐκράτησεν, ἀνέβησαν τε
καὶ

καὶ ἀιγινήτας ὧν αὐτῷ δέρα τότῳ δὴ ἀιγινᾶς ἀθηναῖοι αὐτός τε παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου αἰσίμ ἀιτίους εἶναι, καὶ τὴν αἴγιναν ἀσφαλέστερον ἐφαίνετο τῇ πελοποννήσῳ ἐπικειμένην, ἢν ἦν πέμψαντες ἑποίκους ἔχειν. καὶ δὴ ἐπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς οἰκήτορας. ἐκπεσόντι δὲ τοῖς ἀιγινήταις, οἱ λακεδαιμόνιοι ἔδοσαν θυρέαν οἰκεῖν, καὶ τῆς γῆς νέμεσθαι, κατά τε τὸ ἀθηναίων διάφορον, καὶ ὅτι σφῶν ἐνεργέται ἦσαν ὑπὸ τὸν σεισμόν, καὶ τὴν εἵλωτων τὴν ἐπανάστασιν. ἡ δὲ θυρεάτις γῆ, μεθορία ἐστὶ ἀργείας καὶ λακωνικῆς ὄρος, ἐπὶ θάλασσαν καθήκουσα. καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾠκησαν. οἱ δ' ἐπανάστησαν καὶ τὴν ἄλλην ἑλλάδα. τοῦ δ' αὐτοῦ θέρους νομιζία καὶ σελινοῦντα, ὥστε καὶ μόνον δοκεῖν εἶναι γίγνεσθαι δάσατον, ὁ ἥλιος ἐκλιπὲς μετὰ μεσημβρίαν, καὶ πάλιν ἀνεπληρώθη γνόμων μὴν ὁ μισγιδής, καὶ ἀστέρων ἄνω ἐκφανέντων. καὶ ἐν τῷ αὐτῷ θέρει νυμφόδωρον μὲν πύθεω, ἄνδρα ἀθηναῖον, οὗ εἶχε τὴν ἀδελφὴν σιτάλκης, δάπανον παρ' αὐτῷ μέγα, οἱ ἀθηναῖοι πρότερον πολέμιον νομίζοντες, πρόξενον ἐποιήσαντο, καὶ μετεπέμψαντο, βουλόμενοι σιτάλκῃ σφίσι τὸν τήρεω θρᾳκῶν βασιλέα ξύμμαχον γενέσθαι. ὁ δὲ τήρης οὗτος ὁ τοῦ σιτάλκου πατήρ, πρῶτος ὧν δυνάστης μεγάλης βασιλείας ἐπιπλέον, τῆς ἄλλης θρᾴκης ἐποίησε. πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι θρᾳκῶν. τήρει δὲ τῷ πρόσθεν τοῦ παυσίου ἔτει ἀθηναῖοι χόνδη γυναῖκα, προσῆκον ὁ τήρης οὗτος οὐδέν, οὐδὲ ὁμόφυλον θρᾴκης ἐγέ-

νοντο.

νοντο. ἀλλ' ὁ μὲν ἐν δαυλίᾳ καὶ φωκίδος νῦν καλου-
μένης γῆς ὁ τηρεὺς ᾤκει, τότε ὑπὸ θρᾷκες οἰκουμένης, καὶ
τὸ ἔργον τὸ περὶ τὸν ἴτυν αἰγυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπρα-
ξαί. πολλοῖς δὲ καὶ τῶν ποικτῶν ἐν ἀηδόνος μνήμῃ δαυ-
λιὰς ἡ ὄρνις ἐπωνόμασται. εἰκὸς δὲ καὶ τὸ κῆδος πανδίο-
να ξυνάψασθαι καὶ θυγατρὸς διὰ τοσούτου, ἐπ' ὠφελείᾳ τῇ
πρὸς ἀλλήλους μᾶλλον, ἢ διὰ πολλῶν ἡμερῶν ἐς ὀδρύ-
σας ὁδοῦ. τήρης δὲ, οὔτε τὸ οὐτὸ ὄνομα ἔχων, βασιλεὺς
τε πρῶτος ἐν κράτει ὀδρυσῶν ἐγένετο. οὗ δὴ ὄντα τὸν σι-
τάλκην, οἱ ἀθηναῖοι ξύμμαχον ἐποιήσαντο, βουλόμενοι
σφίσι τὰ ἐπὶ θρᾴκης χωρία καὶ περδίκκαν ξυνελεῖν αὐ-
τὸν. ἐλθὼν τε ἐς τὰς ἀθήνας ὁ νυμφόδωρος, τήν τε τὰ
σιτάλκου ξυμμαχίαν ἐποίησε, καὶ σάδοκον τὸν ἡὸν αὐτὸν
ἀθηναῖον. τόν τε ἐπὶ θρᾴκης πόλεμον ὑπεδέχετο κατα-
λύσειν. πείσειν γὰρ σιτάλκην πέμψειν στρατιὰν ἀθηναίοις,
ἱππέων τε, καὶ πελταστῶν. ξυνεβίβασε δὲ καὶ τὸν περδίκ-
καν τοῖς ἀθηναίοις. καὶ θέρμην αὐτῷ ἔπεισεν ἀπὸ δοῦναι.
ξυνεστράτευσέ τ' εὐθὺς περδίκκας ἐπὶ χαλκιδέας μετ' ἀθη-
ναίων, καὶ φορμίωνος. οὕτω μὲν σιτάλκης τε ὁ τηρέω
θρᾷκες βασιλεὺς, ξύμμαχος ἐγένετο ἀθηναίοις, καὶ περ-
δίκκας ὁ ἀλεξάνδρου μακεδόνων βασιλεύς. οἱ δ' ἐν ταῖς
ἑκατὸν ναυσὶν ἀθηναῖοι, ἔτι ὄντες περὶ πελοπόννησον,
σόλιόν τε κορινθίων πόλισμα αἱροῦσι, καὶ πραδιδόασι
παλιρεῦσιν ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι,
καὶ ἄστακον, ἧς ἔναρχος ἐπυράννει, λαβόντες κατακρά-
τος, καὶ ἐξελάσαντες αὐτὸν, τὸ χωρίον ἐς τὴν ξυμμα-
χίαν

χίαν προσεποιήσαντο. ὧν τε κεφαλληνίαν τὴν νῆσον προσπολέμωντες, προσηγάγοντο ἄνδρ μάχης. κεῖται δὲ ἡ κεφαλληνία κατ' ἀκαρνανίαν, καὶ λευκάδα, πεντάπολις οὖσα σαλλῆς, κράνιοι, σαμαῖοι, πρόναιοι. ὕστερον δ' οὐ πολλῷ, ἀνεχώρησαν οἱ νῆες ἐς τὰς ἀθήνας. πρὶ δὲ τὸ φθινόπωρον τοῦ τέρους τότε, ἀθηναῖοι παυδημεὶ αὐτοὶ καὶ οἱ μέτοικοι ἐσέβαλον ἐς τὴν μεγαρίδα, πρικλέους τοῦ ξανθίππου στρατηγοῦντος. καὶ οἱ πρὶ πελοπόννησον ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσὶν (ἔτυχον γὰρ ἔτι ἐν αἰγίνῃ ὄντες, ἐῶ οἴκαδ ἀνακομιζόμενοι) ὡς ἤθοντο τοὺς ἐκ τῆς πόλεως παντελῶς ἐν μεγάροις ὄντας, ἐπλεύσαν παρ' αὐτούς, καὶ ξυνεμίχθησαν. στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον ἀθηναίων ἐγένετο, ἀκμαζόντης ἔτι τῆς πόλεως, καὶ οὔπω νοσησάσης. μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ ἀθηναῖοι. χωρὶς δὲ, αὐτοῖς οἱ ἐν ποτιδαίᾳ τρισχίλιοι ἦσαν. μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν. χωρὶς δὲ ὅπλος ὄμιλος ναυτῶν οὐκ ὀλίγος, δηώσαντες δὲ τὰ πολλὰ τῆς γῆς ἀνεχώρησαν. ἐγένοντο δὲ καὶ ἄλλαι πολλαὶ ὕστερον ἐν τῷ πολέμῳ καὶ ἔτος ἕκαστον ἐσβολαὶ ἀθηναίων ἐς τὴν μεγαρίδα, καὶ ἱππέων, καὶ παντελῆς μέχρις οὗ νίσαια, ἑάλω ὑπ' ἀθηναίων. ἐτειχίσθη δὲ καὶ ἀταλάντη ὑπ' ἀθηναίων φρούριον, τοῦ θέρους τότε πελοποννησίων, ἢ ἐῶ λοκροῖς τοῖς ὀποντίοις νήσῳ ἔρημη πρότερον οὖσα, τοῦ μὴ λῃσὰς ἐκπλέοντας ἐξ ὀπούντος, καὶ ἐς ἄλλης λοκρίδος, κακουργεῖν τὴν εὔβοιαν. ταῦτα μὲν ἐν τῷ

θέρει τούτῳ μετὰ τὴν πελοποννησίων ἐκ τῆς ἀττικῆς ἀνα-
χώρησιν ἐγένετο. τοι δ' ἐπιγιγνομένου χειμῶνος, εὔαρ-
χος ὁ ἀκαρνὰν βουλόμενος ἐς τὴν ἄστακον κατελθεῖν,
πείθει κορινθίους τεσσαράκοντα ναυσὶ, καὶ πεντακοσίοις
καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν, πλεύσαντας. ⊂
αὐτὸς ἐπικούρους τινὰς προσεμισθώσατο. ἦρχον δὲ τῆς
στρατιᾶς εὐφαμίδας τε ὁ ἀριστωνύμου, καὶ τιμόξενος ὁ τι-
μοκράτους, καὶ εὔμαχος ὁ χρύσιδος καὶ πλεύσαντες,
κατήγαγον. ⊂ τῆς ἄλλης ἀκαρνανίας τῆς πρὶ θάλασσαν,
ἔστιν ἃ χωρία βουλόμενοι προσποιήσασθαι. καὶ πειρα-
θέντες, ὡς οὐκ ἠδύναντο, ἀπέπλεον ἐπ' οἴκου. σχόντες δ' ἐν
τῷ πράπλῳ ἐς κεφαλληνίαν, ⊂ ἀπόβασιν ποιησάμενοι
ἐς τὴν κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν δὲ ὁμολο-
γίας τινὸς, ἄνδρας τε ἀποβάλλουσι, σφῶν αὐτῶν ἐπιθε-
μένων ἀπροσδοκήτως τῶν κρανίων. καὶ βιαιότερον ἀνα-
γαγόμενοι, ἐκομίσθησαν ἐπ' οἴκου. ἐν δὲ τῷ αὐτῷ χει-
μῶνι, οἱ ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ
ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀπο-
θανόντων τρόπῳ τοιῷδε. τὰ μὲν ὀστᾶ προτίθενται τῶν
ἀπογενομένων πρότριτα σκηνὴν ποιήσαντες, ⊂ ἐπιφέρει
τῷ αὐτοῦ ἕκαστος, ἢν τι βούληται. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ,
λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης
μίαν. ἔνεστι δὲ καὶ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ
κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, οἱ ἂν μὴ εὑρε-
θῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν,
καὶ ξένων. καὶ γυναῖκες πρῆσαν αἱ προσήκουσαι ἐπὶ τὸν

τάφον

τάφον ὁλοφυρόμενοι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἔστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν μαραθῶνι. ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῆ ἀνὴρ ἡγεμὼν ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξιώτερος εἶναι, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτον ἀπέρχονται. ὧδε μὲν θάπτουσι. καὶ διαπαντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς ἐχθῶνος τοῦ νόμου. ἐπὶ δὴ οὖν τοῖς πρώτοις τοῖσδε, πρωτηλὴς ὁ ξανθίππου ἤρέθη λέγειν. καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλόν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπιπλεῖστον τοῦ ὁμίλου ἔλεγε τοιάδε.

ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ ΤΟΥ ΠΕΡΙΚΛΕΟΥΣ.

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη ἐρρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολεμίων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ' ἂν ἀρκοῦν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ δηλουμένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, οἵα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅ τε

γὰρ ξυνειδὼς, καὶ ἔανος ἀκροατὴς, τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ πλῆσαται, νομίσειε δηλοῦσθαι, ὅ, τε ἄπειρος, ἔστιν ἃ καὶ πλεονάζεσθαι διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε, ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε. τοῦδε δὲ ὑπερβάλλοντι, αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τοῦδε νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον. ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον. δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τοῦδε τοιῷδε τῇ τιμῇ ταυτῇ τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε, ἐλευθέραν δὴ ἀρετὴν παρέδοσαν, καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον. τὰ δὲ πλέω αὐτῆς, αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν. καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν, καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ, ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ὡς οἵων μεγάλα ἐγένετο, ταῦτα

δηλώσας

δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον νομίζων, ὥστε τοῦ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ. καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν, καὶ ξένων, ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι. χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους. πράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τίσιν, ἢ μιμούμενοι ἑτέρους, καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται. μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον. κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἐν τοῦ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ, ἢ ἀπ' ἀρετῆς προτιμᾶται. οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν ἀξιώματος ἀφανίᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθημέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, οἱ καθ' ἡδονήν τι δρᾶν ἔχοντες. οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι, ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν, ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες, αἰσχύνην ὁμολογουμένην φέρουσι. καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπάυλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθημέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπεισέρχεται δὲ διὰ μέγετος καὶ πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρα

τῇ ἀπλάνσει, τὰ αὐτοὶ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων, τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα, ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν, ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς, τὸ πλέον καὶ ἀπάταις, ἢ τοῦ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται. ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἴσο παλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δὲ. οὔτε γὰρ λακεδαιμόνιοι καθ' ἑκάστους, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι, τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι, τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν, οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ὑπόπεμψιν. ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικηθέντες ὑφ' ἁπάντων ἡσσῆσθαι, καί τοι εἰ ῥᾳθυμίᾳ μᾶλλον, ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τοπλεῖον, ἢ τρόπων ἀνδρίας ἐθέλοιμεν κινδυνεύειν. περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι. καὶ ἔν τε τούτοις, τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε

γὰρ

γὰρ μεῖ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας. πλούτῳ τε ἔργου μᾶλλον καιρῷ, ἢ λόγου κόμπῳ χρώμεθα. Ὃ τοῦ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα, καὶ πολιτικῆς ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν. καὶ αὐτοὶ ἤτοι κρίνομέν γε, ἢ ἐνθυμοῦμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον, ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾷν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι, ὃ τοῖς ἄλλοις ἀμαθία μὲν, θράσος, λογισμὸς δὲ, ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν, οἱ τά τε δεινὰ, καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διαταῦτα μὴ ἀπτρεπόμενοι ἐκ τῶν κινδύνων, καὶ τὰ ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς, οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν. ὁ δ' ἀνταφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι οὐ τοι ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ καὶ ἐλευθερίας τῷ πιστῷ, ἀδεῶς τινα ὠφελοῦμεν. ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν καὶ ἑλλάδος παίδευσιν εἶναι, καὶ καθέκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπιπλεῖστ' ἂν εἴδῃ, καὶ μετὰ χαρίτων μάλιστ' ἂν

λις· ἂν εὐτραπέλῳ δ' σῶμα αὔταρκες πρὸς ἔχεσθαι. καὶ
ὡς οὐ λόγων ἕν τῷ παρόντι κόμπῳ τάδε μᾶλλον, ἢ ἔρ-
γων ὄντων ἀληθεία αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπ' ἀνδρῶν δὲ
τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς
κρείσσων ἐς πεῖραν ἔρχεται καὶ μόνη, οὔτε τῷ πολεμίῳ
ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ
ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται, μετὰ
μεγάλων δὲ σημείων, καὶ θύ δή τοι ἀμάρτυρόν γε τὴν δυ-
ναμιν παραχόμενοι, τοῖς τε νῦν, καὶ τοῖς ἔπειτα θαυμασθή-
σόμεθα. καὶ οὐδεμιᾶς προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου,
οὔτε ὅς τις ἔπεσι μὲν τὰ αὐτὰ τέρψει, τῶν δ' ἔργων τὴν ὑπό-
νοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ
γῆν ἐσβατὸν ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι,
πανταχοῦ δὲ μνημεῖα καὶ τε κακῶν καὶ ἀγαθῶν ἀΐδια ξυγκατοι-
κίσαντες. περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δι-
καιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύ-
τησαν. καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ
αὐτῆς κάμνειν. διὰ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως,
δι' ἃ σκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν
ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐ-
λογίαν ἅμα ἐφ' οἷς νῦν λέγω, φανερὰν, σημείοις καθιστάς.
καὶ εἴρηται αὐτῆς τὰ μέγιστα. ἃ γὰρ τὴν πόλιν ὕμνησα,
αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν. καὶ οὐκ ἂν
πολλοῖς τῶν Ἑλλήνων ἰσόξοπος, ὥσπερ τῶνδε ὁ λόγος
τῶν ἔργων φαίνεται. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν,
πρώτη τε μηνύουσα, καὶ πιστοῦσα βεβαίως, ἥ νῦν τῶνδε

κατα-

καταξοφή. καὶ γὰρ οἷς τἄλλα χείροσι, δίκαιον τῷ ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτί-θεσθαι. ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν, ἢ ἑκ τῶν ἰδίων ἔβλαψαν. τῶν δὲ ἢ οὔπω πλάστῳ ὡς τῶν ἔτι ἀπόλαυσιν προμήσας ἐμαλακίσθη, οὔπω πε-νίας ἐλπίδι ὡς κἂν ἔτι διαφυγὼν αὐτῶν, πλουτήσειεν, ἀναβολὴν τ' δεινοῦ ἐποιήσαντο. τῶν ἢ τῶν ἐναντίων ἡμῶν ἀμείνονα πολὺ θανατέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τούνδε κάλλιστον νομίσαντες, ἠβουλήθησαν μετ' αὐτῶν τοὺς μὴ ἡμωρῆσθαι, τῶν δὲ ἐρᾶσθαι. ἐλπίδι μὲν τ' ἀφανεῖ τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρω-μένου σφίσιν αὐτοῖς, ἀξιοῦντες πεποιθέναι. καὶ ἐν αὐτῷ τῷ ἁμύνεσθαι, καὶ παθεῖν μᾶλλον ἠγησάμενοι, ἢ τῷ ἐν-δόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν. καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμὴν φθορᾶς μᾶλλον, ἢ τοῦ δέους ἀπηλλάγησαν. καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο. οἱ δὲ λοιποὶ χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τῶν ἐς τοὺς πολεμίους διανοιαν ἔχειν, σκο-ποῦντας μὴ λόγῳ μόνῳ τῶν ὠφελίαν ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τοῖς τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν φρόνησιν τῆς πόλεως δι' ἔργων καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐρασὰς γιγνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες, τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι, ἄνδρες αὐτὰ ἐκ-

τήσαντο, καὶ ὁπότε καὶ πεῖρά τοι σφαλείησαν, οὔκουν καὶ
τῶν πόλιν γε ὧδε σφετέρας ἀρετῆς ἀξιοῦντες, σοφίσκεν,
κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώ-
ματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ
τὸν τάφον ἐπισημότατον, οὐχ ἐν ᾧ κεῖνται μᾶλλον,
ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τοῖς ἐντυχόντι ἀεὶ καὶ λό-
γου καιρῷ ἀείμνηστος καταλείπεται. ἀνδρῶν
γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος. καὶ οὐ στηλῶν μόνων ἐν
τῇ οἰκείᾳ σημαίνει ἐπιγραφῇ, ἀλλὰ καὶ ἐν τῇ μὴ προσ-
κούσῃ, ἄγραφος μνήμη παρ' ἑκάστῳ ἢ γνώμης μᾶλλον,
ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. οὓς νῦν ὑμεῖς ζηλώσαντες,
καὶ τὸ εὐδαίμον, καὶ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, καὶ εὔψυχον
κρίναντες, μὴ περιορᾶτε τοὺς πολεμικοὺς κινδύνους. οὐ
γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου,
οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν
βραχεῖ ζημίαν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ
διαφέροντα, ἢν ἃ πταίσωσιν. ἀλγεινοτέρα γὰρ ἀνδρὶ γε
φρόνημα ἔχοντι ἢ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις,
ἢ ὁ μετὰ ξώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος,
καὶ ἀναίσθητος θάνατος. διόπερ καὶ τοὺς τῶνδε νῦν νε-
κρούς, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθή-
σομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς τοιοῦτοι τρα-
φέντες. τὸ δ' εὐτυχὲς, οἵ ἂν τοῖς εὐπρεπεστάτοις λάχωσιν,
ὥσπερ οἵδε μοῖραν τελευτῆς, ὑμεῖς δὲ λύπης, καὶ ἐν οἷς
ἐνδιαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυμ-
μετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πεῖθειν ὑμᾶς, ὧν καὶ πολ-
λάκις

λάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων ἐυτυχίαις. αἷς ποτε καὶ
αὐτοὶ ἠγάλλεσθε, καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασόμενος
ἀγαθῶν στερίσκηται. ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος, ἀφαι-
ρεθείη. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς
ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι. ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων
λήθῃ, οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται. καὶ τῇ πόλει διχό-
θεν ἔκτε τὸ μὴ ἐρημοῦσθαι. καὶ ἀσφαλείᾳ ξυνοίσειν. οὐ γὰρ
οἷόν τε ἰσόν τι ἢ δίκαιον βουλεύεσθαι, οἱ ἂν μὴ καὶ παῖδας
ἐκ τοῦ ὁμοίου πραβαλλόμενοι, κινδυνεύσωσιν. ὅσοι δ' αὖ
παρηβήκατε, τόν τε πλείονα κέρδος ὂν ἐυτυχεῖτε βίον,
ἡγεῖσθε καὶ τῇ τῶνδε ἐυκλείᾳ κουφίζεσθαι. τὸ γὰρ φιλό-
τιμον ἀγήρῳ μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ καὶ ἡλικίας τὸ
κερδαίνειν, ὥσπερ τινες φασί, μᾶλλον τέρπει, ἀλλὰ τὸ τι-
μᾶσθαι. παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ
μέγαν τὸν ἀγῶνα. τὸν γὰρ οὐκ ὄντα, ἅπας εἴωθεν ἐπαι-
νεῖν, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐκ ὅμοιοι,
ἀλλ' ὀλίγω χείρους κριθείητε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς
τὸν ἀντίπαλον. τὸ δὲ μὴ ἐμποδὼν, ἀναντασωνίστῳ ἐυνοίᾳ
τετίμηται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν
ἐν χηρείᾳ ἔσονται μνησθῆναι, βραχείᾳ παρανέσει ἅπαν
σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείρωσι γε-
νέσθαι ὑμῖν, μεγάλη ἡ δόξα καὶ οἷς ἂν ἐπ' ἐλάχιστον
ἀρετῆς πέρι, ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ἦ. εἴρηται καὶ
ἐμοὶ λόγῳ κατὰ τὸν νόμον, ὅσα εἶχον πρόσφορα. καὶ ἔργῳ
οἱ θαπτόμενοι τὰ μὴ ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς
παῖδας τὸ ἀπὸ τοῦδε, δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει.

ὠφέλιμον στέφανον τοῖς δέ τε, καὶ τοῖς λειπομένοις τῶν τοι-
ῶνδε ἀγώνων προτιθεῖσα. ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς
μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. νῦν δὲ ἀπο-
λοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἄπιτε. τοιόσδε μὲν ὁ
τάφος ἐγένετο ἐν τῷδε χειμῶνι τούτῳ. καὶ διελθόντος
αὐτοῖ, πρῶτον ἔτος τοι πολέμου τοιδε ἐτελεύτα. τοι δὲ
θέρους εὐθὺς ἀρχομένου, πελοποννήσιοι καὶ οἱ ξύμμαχοι
τὰ δύο μέρη ὥσπερ καὶ τὸ πρῶτον ἐσέβαλον ἐς τὴν ἀττι-
κήν. ἡγεῖτο δὲ ἀρχίδαμος ὁ ζευξιδάμου, λακεδαιμο-
νίων βασιλεύς. καὶ καθεζόμενοι, ἐδῄουν τὴν γῆν. καὶ ὄν-
των αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ ἀττικῇ, ἡ νόσος
πρῶτον ἤρξατο γενέσθαι τοῖς ἀθηναίοις. λεγόμενον μὲν
καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ λῆμ-
νον, καὶ ἐν ἄλλοις χωρίοις. οὐ μέν τοι τοσοῦτός γε λοι-
μός, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο
γενέσθαι. οὔτε γὰρ ἰατροὶ ἤρκουν τοπρῶτον θεραπεύοντες
ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον, ὅσῳ καὶ μάλιστα
προσήεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία, ὅσα τε
πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις, καὶ τοῖς τοιούτοις ἐχρή-
σαντο, πάντα ἀνωφελῆ ἦν. τελευτῶντές τε, αὐτῶν ἀπέστη-
σαν ὑπὸ τοι κακοῦ νικώμενοι. ἤρξατο δὲ τὸ μὲν πρῶτον
ὡς λέγετο, ἐξ αἰθιοπίας καὶ ὑπὲρ αἰγύπτου. ἔπειτα δὲ καὶ
ἐς αἴγυπτον, καὶ λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν
τὴν πολλήν. ἐς δὲ τὴν ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέ-
πεσε. καὶ τὸ πρῶτον ἐν τῷδε πειραιεῖ ἥψατο τῶν ἀνθρώπων,
ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν, ὡς οἱ πελοποννήσιοι φάρμα-

κα ἐσ-

κα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα. κρῆναι γὰρ οὔπω ἦσαν
αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο. καὶ
ἔθνισκον πολλῷ μᾶλλον ἤδη. λεγέτω μὲν οὖν περὶ αὐτοῦ
ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης ἀφ' ὅτου
εἰκὸς ἦν γενέσθαι αὐτό. καὶ τὰς αἰτίας, ἅς τινας νομίζει,
τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μετα-
στῆσαι σχεῖν. ἐγὼ δὲ οἷόν τε ἐγίγνετο, λέξω. καὶ ἀφ' ὧν ἄν
τις σκοπῶν, εἴπω τε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι
προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας,
καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας. τὸ μὲν γὰρ ἔτος ὡς
ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς
ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν. εἰ δέ τις καὶ προέκαμνέ
τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς
προφάσεως, ἀλλ' ἐξαίφνης ὑγιεῖς ὄντας. πρῶτον μὲν καὶ
καφαλῆς θερμαὶ ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα,
καὶ φλόγωσις ἐλάμβανε. καὶ τὰ ἐντὸς, ἥτε φάρυγξ καὶ ἡ
γλῶσσα, εὐθὺς αἱματώδη ἦν. καὶ πνεῦμα ἄτοπον καὶ δυ-
σῶδες ἠφίει. ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος
ἐπεγίγνετο. καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη
ὁ πόνος μετὰ βηχὸς ἰσχηροῦ. καὶ ὁπότε ἐς τὴν καρδίαν
στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶ-
σαι ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπήεσαν καὶ
αὗται μετὰ ταλαιπορίας μεγάλης. λύγξ τε τοῖς πλείο-
σιν ἐνέπιπτε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρόν. τοῖς μὲν
μεταταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. καὶ τὸ
μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὐκ ἄγαν θερμὸν ἦν, οὔτε

χλωρὸν, ἀλλ' ὑπέρυθρον πελιδνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός. τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι, ἢ γυμνὸν ἀνέχεσθαι. ἥδιστά τε ἂν ἐς ὕδωρ, ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαυστῳ ξυνεχόμενοι. καὶ ἐν τῷδ' ὁμοίῳ καθεστήκει τό, τε πλέον, καὶ ἔλασσον ποτόν. καὶ ἡ ἀπορία. τοῦ μὴ ἡσυχάζειν, καὶ ἡ ἀγρυπνία ἐπέκειτο διαπαντὸς, καὶ τὸ σῶμα ὅσον παρχρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε πρὰ δόξαν τῇ ταλαιπωρίᾳ. ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος ἔτι ἔχοντές τι δυνάμεως, ἢ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὰ κοιλίαν, καὶ ἑλκόσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐκπιπτούσης, οἱ πολλοὶ ὕστερον διὰ τὴν ἀσθένειαν διεφθείροντο. καὶ διεξήει γὰρ διαπαντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν. καὶ εἴ τις ἐκ τῶν μεγίστων πριγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε. κατέσκηπτε γὰρ καὶ ἐς αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας. καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον. εἰσὶ δ' οἱ καὶ τῶν ὀφθαλμῶν. τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως. καὶ ἠγνόησαν φᾶς τε αὐτοὺς δὲ καὶ τοὺς ἐπιτηδείους γενόμενον. γὰρ κρεῖσσον λόγον τὸ εἶδος καὶ νόσου, τά τε ἄλλα χαλεπωτέρως, ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ. καὶ ἐν

τῷδε

τῷδε ἐδήλωσε μάλιστα ἄλλό τι ὄν, ἢ τῶν ξυντρόφων τί. τὰ δὲ ὄρνεα, καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσήει, ἢ γευσάμενα, διεφθείρετο. τεκμήριον δὲ τῶν μὴ τοιούτων ὀρνίθων πλήλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν. οἱ δὲ κύνες μᾶλλον αἴσθησιν πρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι, τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον οὖν πλῆπαν τὴν ἰδέαν. καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθώτων. ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ. οἱ δὲ καὶ πάνυ θεραπευόμενοι ἔν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν. ὅ, τι χρὴν προσφέροντας ὠφελεῖν. τὸ γὰρ τῷ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε. σῶμά τε ἄυταρκες ὄν. οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνήρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία ὁπότε τὶς αἴσθοιτο κάμνων. πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐκ ἀντεῖχον. καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι ὥσπερ τὰ πρόβατα, ἔθνησκον, καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν, ἀπορίᾳ τοῦ θεραπεύσοντος. εἴτε προσίοιεν, διεφθείροντο. καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. αἰσχύνῃ γὰρ ἠφείδουν

σφῶν

σφῶν αὐτῶν, ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. ἐπιπλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα, καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι. δὶς γὰρ τὸν αὐτὸν ὥστε καὶ κτείνειν οὐκ ἐπελάμβανε. καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης, μηδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι. πλέσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων, ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο, καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες, τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν αὐτοῦ ἐναποθνησκόντων. ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι οὐκ ἔχοντες, ὅ, τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο, καὶ ἱερῶν, καὶ ὁσίων ὁμοίως. νόμοι τε πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς. ἔθαπτον δὲ, ὡς ἕκαστος ἠδύνατο. καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο σπάνει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν. ἐπὶ πυρᾶς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νοσήσαντας, οἱ μὲν ἐπιθέντες τὸν ἑαυτῶν

νεκρὸν

νεκρὸν ὑφῆπτον. οἱ δὲ καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόν-
τες, ὃν φέροιεν, ἀπήεσαν. πρῶτόν τε ἦρξε, καὶ ἐς τἆλλα
τῇ πόλει ἐπιπλέον ἀνομίας τὸ νόσημα. ῥᾷον γὰρ ἐτόλ-
μα τίς ἃ πρότερον ἀπεκρύπτετο, μὴ καθ' ἡδονὴν ποιεῖν,
ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες, τῶν τ' εὐδαιμόνων,
καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτη-
μένων. εὐθὺς δὲ τἀκείνων ἐχόντων, ὥστε ταχείας τὰς
ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα
τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. καὶ τὸ
μὲν πρὸς ταλαιπωρεῖν τῷ δόξαντι καλῷ, οὐδεὶς πρόθυ-
μος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθα-
ρήσεται, ὅ, τι δὲ ἥδει τε ἡδύ, καὶ πανταχόθεν τὸ ἐς αὐτὸ
κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. θεῶν
δὲ φόβος, ἢ ἀνθρώπων νόμος, οὐδεὶς ἀπεῖργε. τὸ μὲν
κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν, καὶ μὴ ἐκ τοῦ πάντας ὁρᾶν
ἐν ἴσῳ ἀπολλυμένους. τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλ-
πίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν
ἀντιδοῦναι. πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν
ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου
τι ἀπολαῦσαι. τοιούτῳ μὲν πάθει οἱ ἀθηναῖοι περιπε-
σόντες, ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς
ἔξω δῃουμένης. ἐν δὲ τῷ κακῷ, οἷα εἰκός, ἀνεμνήσθησαν
καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδε-
σθαι, ἥξει δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.
ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομᾶ-
σθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν. ἐνίκησε

δὲ ἐπὶ τοῦ παρόντος, εἰκότως, λοιμὸν εἰρῆσθαι. οἱ γὰρ
ἄνθρωποι πρὸς ἃ ἔπαχον, τὴν μνήμην ἐποιοῦντο. ἦν δέ
γε οἶμαί ποτε ἄλλος πόλεμος καταλάβῃ δωρικὸς τοῦδε
ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτω
ᾄσονται. μνήμη δὲ ἐγένετο καὶ τοῦ λακεδαιμονίων χρη-
στηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ
πολεμεῖν, ἀνεῖλε κατακράτος πολεμοῦσι νίκην ἔσεσθαι,
καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. περὶ μὲν οὖν τοῦ χρηστηρίου, τὰ
γιγνόμενα εἴκαζον ὅμοια εἶναι, ἐσβεβληκότων, δὲ τῶν πε-
λοποννησίων, ἡ νόσος ἤρξατο εὐθὺς, καὶ ἐς μὲν πελο-
πόννησον οὐκ ἐσῆλθεν, ὅτι καὶ ἄξιον εἰπεῖν. ἐπενείματο
δὲ ἀθήνας μὰλιστα. ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων
τὰ πολυανθρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γε-
νόμενα. οἱ δὲ πελοποννήσιοι, ἐπειδὴ ἔτεμον τὸ πεδίον,
πρῆλθον ἐς τὴν πάραλον γῆν καλουμένην, μέχρι γαυρίου
ὄρους, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν ἀθηναίοις. καὶ πρῶ-
τον μὲν ἔτεμον ταύτην, ἣ πρὸς πελοπόννησον ὁρᾷ. ἔπειτα
δὲ τὴν πρὸς εὔβοιάν τε, καὶ ἄνδρον τετραμμένην. περικλῆς
δὲ στρατηγὸς ὢν καὶ τότε, περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς
ἀθηναίους, τὴν αὐτὴν γνώμην εἶχεν ὥσπερ καὶ ἐν τῇ
προτέρᾳ ἐσβολῇ. ἔτι δὲ αὐτῶν ἐν τῷ πεδίῳ ὄντων, πρὶν
ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν νεῶν ὑπλίπλουν τῇ
πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ ἕτοιμα ἦν, ἀνή-
γετο. ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας ἀθηναίων τετρακισχι-
λίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς, πρῶ-
τον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις. ξυνεστρατέ-

νοντο

νοντο δὲ ὁ Χῖοι, καὶ λέσβιοι πεντήκοντα ναυσὶν. ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη ἀθηναίων, πελοποννησίους κατέλιπον, καὶ ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. ἀφικόμενοι δὲ ἐς μιλδαυρον καὶ πελοποννήσου, ἔτεμον καὶ γῆς τὴν πολλήν. καὶ πρὸς τὴν πόλιν προσβαλόντες, ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. ἀναγαγόμενοι δὲ ἐκ καὶ ἐπιδάυρου, ἔτεμον τήν τε τροιζηνίδα γῆν, καὶ τὴν ἁλιάδα, καὶ τὴν ἑρμιονίδα. ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια καὶ πελοποννήσου. ἄραντες δὲ ἀπ' αὐτῶν, ἀφίκοντο ἐς πρασιὰς, καὶ λακωνικῆς πόλισμα ἐπιθάλασσιον. καὶ καὶ τε γῆς ἔτεμον, καὶ αὐτὸ τὸ πόλισμα εἷλον, καὶ ἐπόρθησαν. ταῦτα δὲ ποιήσαντες, ἐπ' οἴκου ἀνεχώρησαν. τοὺς δὲ πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ ἀττικῇ ὄντας, ἀλλ' ἀνακεχωρηκότας. ὅσον δὲ χρόνον οἱ πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῶν ἀθηναίων, καὶ οἱ ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς ἀθηναίους ἔφθειρε, καὶ ἐν τῇ πόλει. ὥστε καὶ ἐλέχθη, τοὺς πελοποννησίους δείσαντες τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη, καὶ θάπτοντας ἅμα ἠσθάνοντο, θάσσον ἐκ καὶ γῆς ἐξελθεῖν. τῇ δὲ ἐσβολῇ ταυτῇ πεῖστόν τε χρόνον ἐνέμειναν, καὶ τὴν γῆν πᾶσαν ἔτεμον. ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ ἀττικῇ ἐγένοντο. τοῦ δ' αὐτοῦ θέρους, ἄτων ὁ νικίου, ὁ κλεόπομπος ὁ κλεινίου ξυστράτηγοι ὄντες περικλέους, λαβόντες τὴν στρατιὰν ἧπερ ἐκεῖνος ἐχρήσατο, ἐστράτευσαν εὐθὺς ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾷκης, καὶ ποτίδαιαν ἔτι πολιορκουμένην. ἀφικόμενοι δὲ,

μηχανάς τε τῇ πολιορκίᾳ προσέφερον, καὶ παντὶ τρόπῳ ἐπεξῆσαν ἐλεῖν. προσεχώρει δὲ αὐτοῖς οὔτε ἡ ἄλωσις τῆς πόλεως, οὔτε τἆλλα τῆς παρασκευῆς ἀξίως. ἐπιγενομένη γὰρ ἡ νόσος, ἣν ταῦτα δὴ πάνυ ἐπῶνησε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιάν. ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων, ἀπὸ τῆς ξυνόδου τῆς ἐν Δηλίῳ στρατιᾶς ἐν ᾗ πρῶτον χρόνῳ ὑγιαίνοντας. φορμίων δὲ καὶ οἱ ἑξακόσιοι, καὶ χίλιοι, οὐκέτι ἦσαν περὶ Χαλκιδέας, ὁ γὰρ οὖν ἄγνωμ ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ πεντακισχιλίων ὁπλιτῶν, χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν πεντεκαίδεκα μάλιστα ἡμέραις. οἱ δὲ πρότερον στρατιῶται καταχώρων μένοντες, ἐπολιόρκουν τὴν Ποτίδαιαν. μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τὴν Περδίκκου οἱ Ἀθηναῖοι, ὡς ἦρχε τῶν ἀπὸ τῆς Θρᾴκης ἐτέτμητο τὸ δεύτερον, καὶ ἡ νόσος ἐπέκειτο ἅμα, καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας. καὶ τὸν μὲν πρόκλεα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες. πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν, καὶ πρέσβεις ἅπαξ πέμψαντες ὡς αὐτούς, ἄπρακτοι ἐγένοντο, πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες, ἐνέκειντο τῷ πολέμῳ. ὁ δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας. καὶ πάντα ποιοῦντας ἄπορ αὐτῷ ἦλπιζε, ξύλλογον ποιήσας, ἔτι μᾶλλον ἐξατιμάζειν. ἐβούλετο δὲ θαρσῦναί τε, καὶ ἀπαγαγὼν θυμοῦ μᾶλλον τῆς γνώμης πρὸς τὸ παρὸν καὶ ἐλπιδοφορωτέρους καταστῆσαι, καὶ προελθὼν ἔλεξε τοιάδε.

ΔΗΜΗ-

ΔΗΜΗΓΟΡΙΑ ΠΕΡΙΚΛΕΟΥΣ.

Καὶ προσδεχομένῳ μοι τὰ σὺν ὀργῆς ὑμῶν ἔς με γεγένηται. αἰσθάνομαι γὰρ τὰς αἰτίας. καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω, καὶ μέμψωμαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε, ἢ ταῖς ξυμφοραῖς εἴκετε. ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλέω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν, διαφθειρομένης τῆς πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται. κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται. ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἷά τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος. πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δρᾶτε ταῖς κατ' οἶκον κακοπραγίαις ἔκπεπληγμένοι, τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε. Ὃ ἐμὲ τὸν παραινέσαντα πολεμεῖν, καὶ ὑμᾶς αὐτοὺς, οἳ ξυνέγνωτε, δι' αἰτίας ἔχετε. καί τοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥσσων οἴομαι εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα. φιλόπολίς τε, καὶ χρημάτων κρείσσων. ὅ, τε γὰρ γνοὺς, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ εἰ καὶ μὴ ἐνεθυμήθη. ὅ, τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι. προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. ὥστ' εἴ μοι καὶ μέσος ἡγούμενοι μᾶλλον ἑτέρων προσεῖναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν γε τοῦ ἀδικεῖν αἰτίαν φεροίμην. καὶ γὰρ οἷς μὲν αἵρεσις

γεγένηται τἆλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι. εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον, τοῦ ὑποστάντος μεμπτότερος. καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι. ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὴ ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ καὶ γνώμης, μὴ ὀρθὸν φαίνεσθαι. διότι τὸ μὴ λυποῦν, ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, καὶ δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι, καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσοῦσης, ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκακτερεῖν, ἃ ἔγνωτε. δηλοῖ γὰρ φρόνημα, τὸ ἀιφνίδιον, καὶ ἀπροσδόκητον, καὶ τὸ πλείστῳ παραλλόγῳ ξυμβαῖνον, ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχήκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι, καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν. ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι καὶ τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι, ὅς τις μαλακίᾳ ἐλλείπει, καὶ καὶ μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον. ἀπαλγήσαντας δὲ τὰ ἴδια, τοι κοινοῦ καὶ σωτηρίας ἀντιλαμβάνεσθαι, τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμιον μὴ γένηταί τε πολὺς, καὶ οὐδὲν μᾶλλον περιγενώμεθα. ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα, ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον. δηλώσω δὲ καὶ τόδε, ὅ μοι δοκεῖ τε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν,

οὔτ'

οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις, οὐδ' ἂν νῦν ἐχρησάμην κομ-
ποδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μὴ καταπεπληγ-
μένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. οἴεσθε μὲν γὰρ τὴν
ξυμμάχων μόνον ἄρχειν. ἐγὼ δὲ ἀπεφαίνω δύο μερῶν
τὴν ἐς χρῆσιν φανερῶν, γῆς, καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς
παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε, καὶ
ἢν ἐπιπλέον βουληθῆτε, καὶ οὐκ ἔστιν ὅς τις τῇ ὑπαρχούσῃ
πρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς, οὔτε βασιλεὺς κω-
λύσει, οὔτε ἄλλο οὐδὲν ἔθνος τὴν ἐν τῷ παρόντι. ὥστε οὐ
κατὰ τὴν τῶν οἰκιῶν καὶ τῶν γῆς χρείαν, ὧν μεγάλων νο-
μίζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται. οὐδ' εἰκὸς
χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐκ ἤπιον. καὶ ἐγκαλ-
λώτισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι,
καὶ γνῶναι ἐλευθερίαν μὲν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς,
διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ'
ὑπακούσασι, καὶ τὰ προκεκτημένα φιλεῖν ἐλασσοῦσθαι. τῶν
τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ
πόνων, καὶ οὐ παρ' ἄλλων δεξάμενοι, κατίσχον τε, καὶ προ-
σέτι διασώσαντες παρέδοσαν ὑμῖν αὐτά. αἴσχιον δὲ
ἔχοντας ἀφαιρεθῆναι, ἢ κτωμένους ἀτυχῆσαι, ἰέναι δὲ
τοῖς ἐχθροῖς ὁμόσε, μὴ φρονήματι μόνον, ἀλλὰ καὶ κατα-
φρονήματι. αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς,
καὶ δειλῷ τινι ἐγγίνεται. καταφρόνησις δὲ ὃς ἂν καὶ γνώ-
μῃ πιστεύῃ τὴν ἐναντίων προέχειν, ὃ ἡμῖν ὑπάρχει. καὶ τὸ
τόλμαν ἀπὸ τῶν ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρο-
νος ἐχυρωτέραν παρέχεται. ἐλπίδι τε ἧσσον πιστεύει, ἧς

ἐν τῷ

ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς. γνώμη δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια. τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως, καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε, ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. ὡς τυῤῥαννίδα γὰρ ἤδη ἔχετε αὐτήν. ἣν λαβεῖν μὲν, ἄδικον δοκεῖ εἶναι. ἀφεῖναι δὲ, ἐπικίνδυνον, τάχιστ' ἄν τε πόλιν ὁι τοιοῦτοι ἑτέρους τε πείσαντες, ἀπολέσειαν, καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν. τὸ γὰρ ἀπράγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ ἄσφαλῶς δουλεύειν. ὑμεῖς δὲ, μή τε ὑπὸ τῶν τοιῶνδε πολιτῶν πράγεσθε, μήτε ἐμὲ δι' ὀργῆς ἔχετε, ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν, μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν, ἐπεὶ γεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένων. καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι, οὐ δικαίως, εἰ μὴ καὶ ὅτ' ἂν παράλογόν τι εὖ πράξητε, ἐμοὶ ἀναθήσετε. φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως. ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀν-

θρωποις,

ἀνθρώποις, διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν. πλεῖσα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ, καὶ δαπάνην μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἄϊδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε. πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι, μνήμη καταλείφεται ἑκάστου τε, ὅτι ἔλασσες πλείσων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν, πρός τε ξύμπαντας, καὶ καθ' ἑκάστους πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην, καὶ μεγίστην ὠκίσαμεν. καίτοι ταῦτα ὁ μὲν ἀπράγμων, μέμψαιτ' ἄν. ὁ δὲ δραστήριος βουλόμενος, καὶ αὐτὸς ἡγήσεται. εἰ δέ τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι, καὶ λυπηροὺς εἶναι ὧν τοῦ παρόντος, πᾶσι μὲν ὑπῆρξε δή, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν. ὅστις δ' ἐπὶ μεγίστοις τὸ ὠφέλιμον λαμβάνει, ὀρθῶς βουλεύεται. μίσος γὰρ οὐκ ἐπιπολὺ ἀντέχει. ἡ δὲ παρούσης τε λαμπρότης, καὶ ἐς δ' ἔπειτα δόξα, ἀείμνηστος καταλείπεται. ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προσχόντες, ἔς τε παυτίκα μὴ αἰσχρόν, τοῦ ἤδη προθύμως ἀμφότερα κτήσασθε. καὶ λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοί ἐστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι. ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὴ ἧκισα λυποῦνται, ἔργῳ ἥ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεως, καὶ ἰδίων ἀνδρῶν κράτιστοί εἰσι, τοιαῦτα ὁ περικλῆς λέγων, ἐπεθάρσυνε τοὺς ἀθυμοῦντας ὀργῇ τε ἐς αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς λακεδαιμονίους ἔτι ἔπεμπον, ἔς τε τὸν πόλεμον μᾶλλον

ὥρμηντο. ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλιπῶντο. ὁ μὲν πέ-
νης, ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος, ἐστέρητο καὶ τούτων.
οἱ δὲ δυνατοὶ, καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδο-
μίαις τε, καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες τὸ
δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μὲν τοι
πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες
αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις οὐ πολ-
λῷ, ὅπερ εἰλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο, καὶ πάν-
τα τὰ πράγματα ἐπέτρεψαν. ὧν μὲν πρὶ τὰ οἰκεῖα ἕκα-
στος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες. ὧν δὲ ἡ ξύμπασα πό-
λις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε
γὰρ χρόνον πρόυστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως
ἐξηγεῖτο, καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο
ἐπ' ἐκείνου μεγίστη, ἐπειδή τε ὁ πόλεμος κατέστη. ὁ δὲ
φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν, ἐπεβίω δὲ
δύω ἔτη, καὶ ἕξ μῆνας. καὶ ἐπειδὴ ἀπέθανεν, ἐπιπλέον
ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ
ἡσυχάζοντάς τε, καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν
μὴ ἐπικτομένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνέ-
νοντας, ἔφη πρίεσθαι. οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναν-
τίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι
κατὰ τὰς ἰδίας φιλοτιμίας, καὶ ἴδια κέρδη, κακῶς ἔς τε
σφᾶς αὐτοὺς, καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν. ἃ κατορ-
θούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν,
σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο.
αἴτιον δ' ἦν, ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώ-
ματι,

ματι, Ϲ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἦγε τὸ μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει Ϲ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων, κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, Ϲ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τοῦ δήμου καὶ τὰ πράγματα ἐνδιδόναι, ἐξ ὧν ἄλλά τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτήθη, καὶ ὁ ἐς σικελίαν πλοῦς, ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαφορὰς περὶ τοῦ δήμου προστασίας, τά τε ἐν τοῦ στρατοπέδου ἀμβλύτερα ἐποίουν. Ϲ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν, σφαλέντες δ' ἐν σικελίᾳ, ἄλλῃ τε παρασκευῇ, καὶ τοῦ ναυτικοῦ τοῦ πλέονι μορίῳ, Ϲ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλέοσιν ἀφεστηκόσι. κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα πελοποννησίοις ἐς τὸ ναυτικὸν, καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ

αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες, ἐσφάλησαν. τοσοῦτον τοῦ περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τὴν πόλιν τῶν πελοποννησίων αὐτῶν τοῦ πολέμου. οἱ δὲ λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, τοὺς αὐτοὺς θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντίπορας ἤλιδος. εἰσὶ δὲ ἀχαιῶν τῶν ἐκ πελοποννήσου ἄποικοι, καὶ ἀθηναίοις ξυνεμάχουν ἐπέπλεον δὲ λακεδαιμονίων χίλιοι ὁπλῖται, καὶ κνῆμος σπαρτιάτης νάυαρχος. ἀποβάντες δὲ ἐς τὴν γῆν, ἐδῄωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου. καὶ τοὺς αὐτοὺς θέρους τελευτῶντος, ἀριστεὺς κορίνθιος. καὶ λακεδαιμονίων πρέσβεις, ἀνήριστος, καὶ νικόλαος, καὶ στρατόδημος, καὶ τεγεάτης τιμαγόρας, καὶ ἀργεῖος ἰδίᾳ, πόλις πορευόμενοι ἐς τὴν ἀσίαν ὡς βασιλέα, εἴπως πείσειαν αὐτὸν χρήματά τε παρέχειν, καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς σιτάλκην πρῶτον τὸν τήρεω ἐς θρᾴκην, βουλόμενοι πεῖσαί τε αὐτὸν εἰ δύναιντο μεταστάντα ἀθηναίων ξυμμαχίας, στρατεῦσαι ἐπὶ τὴν ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν ἀθηναίων πολιορκοῦν, καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς. καὶ ἢ πρὸς ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ ἑλλησπόντου ὡς φαρνάκην τὸν φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. πρατυχόντες δὲ ἀθηναίων πρέσβεις, λέαρχος ὁ καλλιμάχου, καὶ ἀμεινιάδης ὁ φιλήμονος παρὰ τοῦ σιτάλκη, πείθουσι τὸν σάδοκον τὸν γεγενημένον ἀθηναῖον σιτάλκου ἡόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν,

ὅπως

ὅπως μὴ διαβάντες ὡς βασιλέα, τὴν ἐκείνου πόλιν τὸ μέρος
βλάψωσιν. ὁ δὲ πεισθεὶς, πορευομένους αὐτοὺς διὰ τῆς
θρᾴκης ἐπὶ τὸ πλοῖον, ὃ ἔμελλον τὸν ἑλλήσποντον περαιώ-
σειν, πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας
μετὰ τοῦ λεάρχου, καὶ ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις
παραδοῦναι. οἱ δὲ λαβόντες, ἐκόμισαν ἐς τὰς ἀθήνας.
ἀφικομένων δὲ αὐτῶν, δείσαντες οἱ ἀθηναῖοι τὸν ἀριστέα,
μὴ αὖθις σφᾶς ἔτι πλέω κακουργῇ διαφυγὼν, ὅτι τὸ πρὸ
τούτων τὰ τῆς ποτιδαίας τὸ τῶν ἐπὶ θρᾴκης πάντ' ἐφαί-
νετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν, αὐ-
θημερὸν ἀπέκτειναν πάντας, τὸ ἐς φάραγγας ἐσέβαλον,
δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι, οἷσπερ τὸ οἱ λακεδαι-
μόνιοι ὑπῆρξαν τοὺς ἐμπόρους, οὓς ἔλαβον ἀθηναίων τὸ
τῶν ξυμμάχων, ἐν ὁλκάσι περὶ πελοπόννησον πλέοντας
ἀποκτείναντες, τὸ ἐς φάραγγας ἐσβαλόντες. πάντας γὰρ
δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ λακεδαιμόνιοι ὅσους λά-
βοιεν ἐν τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον. καὶ τοὺς
μετὰ ἀθηναίων ξυμπολεμοῦντας, καὶ τοὺς μηδὲ μεθ' ἑτέ-
ρων. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος
καὶ ἀμπρακιῶται, αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς
ἀναστήσαντες, ἐστράτευσαν ἐπὶ τὸ ἄργος τὸν ἀμφιλοχι-
κὸν, καὶ τὴν ἄλλην ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς
ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. ἄργος
τὸ ἀμφιλοχικὸν, τὸ ἀμφιλοχίαν τὴν ἄλλην, ἔκτισε μετὰ
τὰ τρωϊκὰ οἴκαδε ἀναχωρήσας. καὶ οὐκ ἀρεσκόμενος
τῇ ἐν ἄργει καταστάσει ἀμφίλοχος ὁ ἀμφιαρέω, ἐν τῷ

ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι ἄργος
ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῶν ἀμφιλοχίας,
καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. ὑπὸ ξυμφορῶν
δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι, ἀμπρακιώτας
ὁμόρους ὄντας τῇ ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο. καὶ
ἐλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν ἀμ-
πρακιωτῶν ξυνοικησάντων. οἱ δὲ ἄλλοι ἀμφίλοχοι,
βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς ἀργείους οἱ ἀμπρα-
κιῶται χρόνῳ. καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. οἱ δ' ἀμφί-
λοχοι, γενομένου τούτου, διδόασιν ἑαυτοὺς ἀκαρνᾶσι. καὶ
προσπαρακαλέσαντες ἀμφότεροι ἀθηναίους, οἱ αὐτοῖς.
φορμίωνά τε στρατηγὸν ἔπεμψαν, καὶ ναῦς τριάκοντα,
ἀφικομένου δὲ τοῦ φορμίωνος, αἱροῦσι κατακράτος ἄρ-
γος, καὶ τοὺς ἀμπρακιώτας ἠνδραπόδισαν. κοινῇ τε
ᾤκησαν αὐτὸ ἀμφίλοχοι, καὶ ἀκαρνάνες. μετὰ δὲ τοῦτο
ἡ ξυμμαχία ἐγένετο πρῶτον ἀθηναίοις, καὶ ἀκαρνᾶσιν.
οἱ δὲ ἀμπρακιῶται, τὴν μὲν ἔχθραν ἐς τοὺς ἀργείους ἀπὸ
τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο.
ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται
αὐτῶν τε, καὶ χαόνων, καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων
βαρβάρων. ἐλθόντες τε πρὸς τὸ ἄργος, τῶν μὲν χώρας
ἐκράτουν. τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβα-
λόντες, ἀπεχώρησαν ἐπ' οἴκου, καὶ διελύθησαν κατὰ ἔθνη.
τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο. τοῦδ' ἐπιγιγνομένου
χειμῶνος, ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ πελο-
πόννησον, καὶ φορμίωνα στρατηγὸν, ὃς ὁρμώμενος ἐκ

ναυπάκτου,

ναυσάκτῳ, φυλακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ κορίνθου καὶ τοὺ κρισαίου κόλπου μηδένα, μήτ' ἐσπλεῖν. ἑτέρας δὲ ἐξ ἐπιδαυρίας, καὶ λυκίας, καὶ μελήσανδρον στρατηγὸν, ὅπως ταῦτά τε ἀσφαλῶσι, καὶ δῃῶσι τὴν πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον, βλάπτειν τὸν πλοῦν τὸν ὁλκάδων τῶν ἀπὸ φασήλιδος, καὶ φοινίκης, καὶ τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν λυκίαν ὁ μελήσανδρος ἀπονίκησε. καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε νικηθεὶς μάχῃ. τοὺς δ' αὐτοὺς χειμῶνος οἱ πολιτικαὶ ἐπαυσὴ οὐκέτι ἠδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' ἁλόντες ἐς τὴν ἀττικὴν ἐσβολαὶ πελοποννησίων οὐδὲν μᾶλλον ἐποίησαν τοὺς ἀθηναίους, ὅτε σῖτος ἐπελέλοιπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας. καὶ λοιμὸς ἀλλήλων ἐγίγνοντο. οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν ἀθηναίων τοῖς ἐπὶ σικελίαν τεταγμένοις ξυνόδου τε ἐγγιγνομένης, καὶ βδομήκοντα ἐτῶν σπονδῶν. οἱ δὲ ἀθηναῖοι ἐπὶ μὲν τοῖς ἄλλοις οὐκ ἐδέξαντο, ἐκέλευον δὲ τὰ μὲν πρῶτα τὴν ἐπιμαχίαν τὴν ἐν δεκέλειᾳ ἀφεῖναι, ἐφ' ᾧ καὶ αὐτοὶ τὴν ἐν πύλῳ ἀφήσειν. ἔπειτα τὰ ἐν τῇ ἀττικῇ ἱερὰ ἐξεῖναι θύειν καὶ προσεύχεσθαι καὶ θεωρεῖν, ἐπιτρέπειν δὲ τοὺς ἱεροποιοὺς καὶ τὸν ἄρχοντα τὸν ἐν δελφοῖς. ἐν δὲ τῇ ἐκεχειρίᾳ ἐξεῖναι ἐλθεῖν καὶ ἐς τὰ ἱερὰ τὰ ἐν τῇ ἀττικῇ θύσοντας καὶ προσευξομένους καὶ θεωροὺς πέμπειν. ἀσφαλῆ δὲ εἶναι τὴν ὁδὸν καὶ τὴν θυσίαν καὶ τὴν θεωρίαν, μὴ πλείους ἢ πεντήκοντα ἄνδρας ἰόντας, ἀνόπλους πλὴν μαχαιρῶν. ταῦτα δὲ ἐπιτρέπειν καὶ τοὺς πελοποννησίους. ἐν δὲ τῇ ἐκεχειρίᾳ μὴ εἶναι μήτε τοῖς πελοποννησίοις μήτε τοῖς ἀθηναίοις μήτε τοῖς ξυμμάχοις μήτε τοῖς ὑπηκόοις μήτε ἐπιτειχίσαι μήτε ὁπλίσαι μήτε ἐπιδημιοεργῆσαι μήτε ἐπιστρατεῦσαι μήτε ἐπιβουλεῦσαι μήτε ἐπάγεσθαι μήτε ἐπιτρέπειν μηδενὶ μηδαμόθεν μηδαμῇ μηδαμῶς. ἐν δὲ τῇ ἐκεχειρίᾳ ἐξεῖναι ἐλθεῖν καὶ ἐς τὰ ἱερὰ τὰ ἐν τῇ ἀττικῇ θύσοντας καὶ προσευξομένους καὶ θεωροὺς πέμπειν. ἀσφαλῆ δὲ εἶναι τὴν ὁδὸν καὶ τὴν θυσίαν καὶ τὴν θεωρίαν, μὴ πλείους ἢ πεντήκοντα ἄνδρας ἰόντας, ἀνόπλους πλὴν μαχαιρῶν. ταῦτα δὲ ἐπιτρέπειν καὶ τοὺς πελοποννησίους. ἐν δὲ τῇ ἐκεχειρίᾳ μὴ εἶναι μήτε τοῖς πελοποννησίοις μήτε τοῖς ἀθηναίοις μήτε τοῖς ξυμμάχοις μήτε τοῖς ὑπηκόοις μήτε ἐπιτειχίσαι μήτε ὁπλίσαι μήτε ἐπιδημιοεργῆσαι μήτε ἐπιστρατεῦσαι μήτε ἐπιβουλεῦσαι μήτε ἐπάγεσθαι μήτε ἐπιτρέπειν μηδενὶ μηδαμόθεν μηδαμῇ μηδαμῶς.

ἄνδρων αὐτῶν ξυνέβησαν· ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ἢ ἐβούλοντο. Ὕστερον ἐπ' οἴκου ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν, καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο. καὶ ὁ δεύτερον ἔτους ἐπελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε τῶν δ' ἐπιγιγνομένων θέρους, οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν. ἦγετο δὲ ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς, καὶ καθίσας τὸν στρατὸν, ἔμελλε δηώσειν τὴν γῆν. οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΤΩΝ ΠΛΑΤΑΙΕΩΝ ΠΡΕΣΒΕΩΝ.

Ἀρχίδαμε, καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδ' ἄξια, οὔτε ὑμῶν, οὔτε πατέρων, ὧν ἐσε, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἐκ τῶν μήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυστῆναι τὸν κίνδυνον τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διὶ Ἐλευθερίῳ ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπέδοσαν Πλαταιεῦσι γῆν, καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ, εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους καὶ δύναμιν. τάδε μὲν ὑμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν, ἀρετῆς ἕνεκα, καὶ προθυμίας

θυμίας καὶ ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης. ὑμεῖς δὲ τἀναντία δρᾶτε. μετὰ γὰρ θηβαίων τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν πλαταιίδα μὴ ἀδικεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾷν δὲ οἰκεῖν αὐτονόμους, καθάπερ παυσανίας ἐδικαίωσε. τοσαῦτα εἰπόντων πλαταιέων, ἀρχίδαμος ὑπολαβὼν εἶπεν.

ΑΠΟΛΟΓΙΑ ΑΡΧΙΔΑΜΟΥ.

Δίκαια λέγετε ὦ ἄνδρες πλαταιῆς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις. καθάπερ γὰρ παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μεταχόντες τῶν τότε κινδύνων ὑμῖν τε ξυνώμοσαν, καὶ εἰσὶ νῦν ὑπ' ἀθηναίοις παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα, καὶ τῶν ἄλλων ἐλευτερώσεως, ἧς μάλιστα μὲν μεταχόντες, ⊂ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις. εἰ δὲ μὴ, ἅπερ καὶ τοπρότερον ἤδη πρὸ ὑκαλεσάμεθα, ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν, καὶ ἔστε μηδὲ μέθ' ἑτέρων. δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους. καὶ τάδε ἡμῖν ἀρέσκει.

ΑΝΤΑΠΟΚΡΙΣΙΣ ΤΩΝ ΠΛΑΤΑΙΕΩΝ ΠΡΕΣΒΕΩΝ.

ὁ μὲν ἀρχίδαμος τοσαῦτα εἶπεν. οἱ δὲ πλαταιέων πρέσβεις ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν. καὶ τοῦ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ, ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται, ἄνευ ἀθηναίων. παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν. δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει, μὴ ἐκείνων ἀποχωρησάντων, ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ θηβαῖοι ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. ὁ δὲ θαρσάνων αὐτοὺς πρὸς ταῦτα ἔφη.

ΑΠΟΛΟΓΙΑ ΑΡΧΙΔΑΜΟΥ.

Ἡμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας παράδοτε ἡμῖν τοῖς λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε, καὶ δένδρα. ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν. αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ. ἐπειδὰν δὲ παρέλθη, ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν. μέχρι δὲ τοῦδε ἕξομεν πρακαταθήκην ἐργαζόμενοι, καὶ φορὰν φέροντες, ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι. οἱ δ' ἀκούσαντες, ἐσῆλθον αὖθις ἐς τὴν πόλιν. Οἱ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν ὅτι βούλονται ἃ προκαλεῖται, ἀθηναίοις κοινῶσαι πρῶτον. καὶ ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα. μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. ὁ δὲ ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες δὲ οἱ πλαταιῆς πρέσβεις ὡς τοὺς ἀθηναίους

ναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΤΩΝ ΠΛΑΤΑΙΕΩΝ ΠΡΕΣΒΕΩΝ.

Οὔτ' ἐν τῷ πρότει χρόνῳ ὦ ἄνδρες πλαταιῆς ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, ἀθηναῖοι φασὶν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν ἐπισκήπτουσί τε ὑμῖν πρὸς τὴν ὅρκων, οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν. τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ πλαταιῆς ἐβουλεύσαντο ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην εἰ δεῖ ὁρῶντας, καὶ ἄλλο πάσχοντας, ὅ, τι ἂν ξυμβαίνῃ, ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἄπτοι τοι τείχους ἀπεκρίνασθαι, ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν ἃ λακεδαιμόνιοι προκαλοῦνται. ὡς δὲ ἀπεκρίναντο, ἐν τεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπὶ μαρτυρίαν καὶ θεῶν, καὶ ἡρώων τῶν ἐγχωρίων ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε. θεοὶ ὅσοι γῆν τὴν πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορές ἐστε, ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως ἐκλιπόντων τῶνδε πρότερον τὸν ξυνώμοτον ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν, μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐνασωνίσασθαι τοῖς ἕλλησιν. οὔτε νῦν ἦν τι ποιῶμεν ἀδικήσομεν. προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. ξυγγνώμονες δέ ἐστε, καὶ μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, καὶ δὲ τι-

μαχίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως. τοσαῦτα ἐπιθεάσας, καθίσκ ἐς πάλιμον τὸν στρατόν. καὶ πρῶτον μὲν, προεσάνεωσαν αὐτοὺς τοῖς δένδρεσιν, ἃ ἔκοψαν τὰ μηδένα ἔτι δρέναι. ἔπειτα χῶμα ἔχον πρὸς τὴν πόλιν ἐλπίζοντας ταχίστω ἅιρεσιν ἔσεσθαι αὐτῶν, στρατεύματος τοσούτου ἐργαζομένου. ξύλα μὲν οὖν τέμνοντες ἐκ τῶν καθαιρῶν, παρῳκοδόμουν ἑκατέρωθεν φορμηδὸν ἀντὶ τοίχου λιθέντες, ὅπως μὴ διαχέοιτο ἐπιπολὺ τὸ χῶμα. ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ, καὶ λίθους, καὶ γῆν, καὶ εἴ τι ἄλλο ἔνυπεν μέλλοι ἐπισκαλύμμενον. ἡμέρας δὲ ἔσχον ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διαπαυόμενοι καὶ ἀναπαύλας, ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνου τε καὶ σίτου ἀναγκάζεσθαι. λακεδαιμονίων τε οἱ ξυναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες, ἢν ἀγκαζον ἐς τὸ ἔργον. οἱ δὲ πλαταιῆς ὁρῶντες τὸ χῶμα ἀναβαῖνόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες ἐπὶ ἑαυτῶν τείχει προσεῖχον, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιρόντες. ξυνεδεσμεῖτο δὲ ἡ ἅμαξα τοῖς ξύλοις, τοῦ μὴ ὑφαιρεῖν γιγνόμενον. ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα. προκαλύμματα εἶχε διέρρας, καὶ διαφθείρας, ὥστε τοὺς ἐργαζομένους, καὶ τὰ ξύλα μήτε πυροφόροις ὀϊστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. ἦρχε δὲ τοῦ ἔργου Ἀνδρομάχου τοῦ Ἀετίωνος τείχους μέγα. τὸ χῶμα οὐ χολαίτερον ἀνατανύσαν αὐτῷ. καὶ οἱ πλαταιῆς τοῦτό τε ἐπινοοῦσι, διελόντες τὸ τείχους ἡ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τῇ γῇ. οἱ δὲ πελοποννήσιοι ἀποδόμενοι, ἐν ταρσοῖς καλάμου πολὺν χρόνον ἔχοντες, ἐσέβαλον ἐς τὸ διὰ μέσου,

ὅπως

ὅπως μὴ διαχεόμενον, ὥσπερ ἡ γῆ φοροῖτο. οἱ δὲ ταύτῃ ἀποκλειόμενοι, τοῦτο μὲν ἐπέχον. ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ σαυτεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν, καὶ ἐλάνθανον ἐπιπολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας, ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος, καὶ ἱζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεῦρον τόδε, τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα. ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι, ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς, μηνοειδὲς ἐς τὴν πόλιν προσωκοδόμουν, ὅπως εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν. καὶ προχωροῦντας εἴσω, διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ πελοποννήσιοι. μίαν μὲν, ἣ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα, ἐπὶ μέγατε κατέσεισε, καὶ τοὺς πλαταιῆς ἐφόβησεν. ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες. ἀνέκλων οἱ πλαταιῆς. καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν, ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων, καὶ ὑπερτεινουσῶν, ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες ἐγκαρσίως, ὁπότε προσπεσεῖσθαί πη μέλλοι ἡ μηχανὴ, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι, καὶ οὐ διὰ χειρὸς ἔχοντες. ἡ δὲ ῥύμῃ ἐμπίπτουσα, ἀπεκαύλιζε τὸ προέχον καὶ ἐμβολῆς.

μετὰ δὲ τοῦτο οἱ πελοποννήσιοι, ὡς ἅι τε μηχαναὶ, οὐδὲν ἀφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι εἰ δύναντο, πνεύματος γενομένου, ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην. πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. φοροῦντες δὲ ὕλης φακέλλους, παρέβαλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῶν προσχώσεως. ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῶν ἄλλης καὶ πόλεως ὅσον ἐδύναντο, ἀπὸ τῆς μετεώρου πλεῖστον ἐπισχεῖν. ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ, καὶ πίσσῃ, ἧψαν τὴν ὕλην. καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσον οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν. ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν, ἀπὸ ταυτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. τοῦτο δὲ μέγα τε ἦν, καὶ τοὺς πλαταιέας τἆλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε διαφθεῖραι. ἐντὸς γὰρ πολλοῦ χωρίου τῶν πόλεως οὐκ ἦν πελάσαι. πνεῦμα τε εἰ ἐπεγένετο αὐτῇ ὑπόφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδορ ἐξ οὐρανοῦ πολὺ, καὶ βροντὰς γενομένας, σβέσαι τὴν φλόγα, καὶ οὕτω παυσθῆναι τὸν κινδυνον. οἱ δὲ πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μὲν τι καταλιπόντες τοῦ στρατοῦ, τὸ τε λοιπὸν ἀφέντες, περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι

κατὰ πόλεις

καὶ πόλεως τὸ χωρίον. τόφρα δὲ αὐτὸς πρὸς τὸ ἔξω θρώσκων
ἀξιῶν ἐπλινθεύσαντο. καὶ ἐπειδὴ πᾶν ἀξιεῖργασο πρὸς ἀρ-
κτέον ἐπὶ τολὰς, καταλιπόντες φύλακας τοῖς ἡμίσεσι τοῖ-
χους, τὰ δὲ ἥμισυ βοιωτοὶ ἐφύλασσον, ἀνεχώρησαν
ἐκ τῆς σφατᾶς, καὶ διελύθησαν κατὰ πόλεις. πλαταιῆς δὲ πᾶ-
σας μὲν, καὶ γυναῖκας, καὶ τοὺς πρεσβυτάτους τε καὶ
πλῆθος τὸ ἀχθὲν σφῶν ἀνδρώπων πρότερον, ἐκκεκο-
μισμένοι ἦσαν ἐς τὰς ἀθήνας. αὐτοὶ δ' ἐπολιορκοῦντο
ἐγκαταλελειμμένοι πρακόσιοι. ἀθηναίων δὲ ὀγδοήκοντα,
γυναῖκες δὲ καὶ ἑκατόν σιτοποιοί. τοσοῦτοι ἦσαν οἱ ξύμ-
παντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσαντο. καὶ ἄλλος οὐ-
δεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος, οὔτε ἐλεύθερος. τοι-
αύτη μὲν ἡ πλαταιέων πολιορκία κατεσκεύαδε. τῶν δ'
αὐτῶν θέρους καὶ ἅμα τῇ ἦρι πλαταιέων ἐπισφαγίᾳ, ἀθη-
ναῖοι διχιλίοις ὁπλίταις ἑαυτῶν, καὶ ἱππεῦσι διακοσίοις,
ἐσβάθυσαν ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾴκης, καὶ βοπιαέ-
ους, ἀκμάζοντος τοῦ σίτου. ἐσβατικὰ δὲ ξυνεφῶν ὁ εὐ-
θυπίδης τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ σάρτωλον τῶν
βοπικῶν, τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προχωρή-
σαι ἡ πόλις ὑπὸ δείους ἐνδοθεν πρασσόντων. προπεμφάν-
των δὲ ἐς ὄλυνθον τῶν μὴ ταῦτα βουλομένων, ὁπλῖταί τε
ἄλθον, καὶ σφαῖρα ἐς φυλακήν. ἧς ἐπεξελθόντες ἐκ τοῦ
σαρτώλου, ἐς μάχην καθίσαντο ἀθηναῖοι ὑπ' αὐτὴν τὴν
πόλιν. καὶ οἱ μὲν ὁπλῖται τῶν χαλκιδέων, καὶ οἱ βοπικοὶ δεινὸς
μετ' αὐτῶν, νικῶνται ὑπὸ τῶν ἀθηναίων, καὶ ἀναχωροῦσιν ἐς
τὸ σαρτωλον. οἱ δὲ ἱππῆς τῶν χαλκιδέων, καὶ ψιλοί, νικῶσι
τοὺς

τοὺς τῶν ἀθηναίων ἱππέας, καὶ ψιλοὺς. εἶχον δὲ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς κρούσιδος γῆς καλουμένης, ἄρτι δὲ τῆς μάχης γεγενημένης, ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς ὀλύνθου. καὶ οἱ ἐκ τῆς σπαρτώλου ψιλοὶ ὡς εἶδον θαρσήσαντες τοῖς τε προσγιγνομένοις, καὶ ὅτι πρότερον οὐχ ἥσσοντο, ἐπιτίθενται αὖθις μετὰ τῶν χαλκιδέων ἱππέων, καὶ τῶν προσβοηθησάντων τοῖς ἀθηναίοις, καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς τατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν πλίοιεν οἱ ἀθηναῖοι, ἐνεδίδοσαν. ἀποχωροῦσι δὲ ἐνέκειντο, καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν χαλκιδέων προσιππεύοντες, ἢ δοκοῖ ἐσέβαλλον. καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς ἀθηναίους, καὶ ἐπεδίωξαν ἐπιπολύ. καὶ οἱ μὲν ἀθηναῖοι ἐς τὴν ποτίδαιαν καταφεύγουσι. καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι, ἐς τὰς ἀθήνας, ἀναχωροῦσι τῷ περιόντι τοι στρατοι. ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι, καὶ οἱ στρατηγοὶ ἅπαντες. οἱ δὲ χαλκιδῆς, καὶ οἱ βοττιαῖοι τροπαῖόν τε ἔστησαν. καὶ τοὺς νεκροὺς τοὺς αὐτῶν ἀνελόμενοι, διελύθησαν κατὰ πόλεις. τοι δ' αὐτοι θέρους οὐ πολλῷ ὕστερον τούτων, ἀμπρακιῶτι, καὶ χάονες, βουλόμενοι ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι, καὶ ἀθηναίων ἀποστῆσαι, πείθουσι λακεδαιμονίους ναυτικὸν πρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος, καὶ ὁπλίτας χιλίους πέμψαι ἐς ἀκαρνανίαν, λέγοντες ὅτι ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀποθαλάσσης ἀκαρνάνων, ῥᾳδίως ἂν ἀκαρ-

νανίαν

ναῦαν ἔχόντες, καὶ ὅλῃ ξακαίδεκα, καὶ κεφαλλωνίας κατή-
σασι. καὶ ὁ πορίπλους οὐκέτι ἔσοιτο ἀθηναίοις ὁμι-
πορὶ πελοπόννησον. ἐλπίδα δ' εἶναι, καὶ ναύπακτον λα-
βεῖν. οἱ δὲ λακεδαιμόνιοι πειθόμενοι, κνῆμον μὲν ναύαρ-
χον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας, ἐωὶ ναυσὶν ὀλίγαις εὐθὺς
πέμπουσι. τῷ δὲ ναυλίκῳ πρώτῃ ἐγένετο ἀπὸ κυλλήνης,
ὡς τάχιστα πλεῖν ἐς λευκάδα. ἦσαν δὲ κορίνθιοι ξυμπρο-
θυμότατοι μάλιστα τῶν ἀμπρακιωτῶν, ἀποίκοις οὖσι. καὶ
δ' ὅτι ναυλίκου, ἐκ τε κορίνθου, καὶ σικυῶνος, καὶ πρὸς τούτῃ
χωρίων, ξὺν πρασκευῇ ἦν. τὸ δ' ἐκ λευκάδος, καὶ ἀνακρ-
ρίου, καὶ ἀμπρακίας, πρότερον ἀφικόμενον ἐν λευκάδι πρὶν
μένειν. κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται, ἐπειδὴ
ἐπεραιώθησαν, λαβόντες φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν
τῶν ἀττικῶν, αἱ πρὸ ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευά-
ζοντο τὴν ἐπὶ γλωσσαν. καὶ αὐτῷ προσῆσαν, ἐλπίσαντες
μὴ ἀμπρακιῶται, καὶ λευκάδιοι, καὶ ἀνακτόριοι, οὓς
αὐτὸς ἔχων ἦλθε χίλιοι πελοποννησίων. βάρβαροι δὲ
χάονες χίλιοι ἀβασίλευτοι, οὓς ἡγοῦντο ἐπ' ἐτησίῳ προ-
στασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους φῶτις, καὶ νικάνωρ. ἐστρατεύ-
οντο δὲ μετὰ χαόνων καὶ θεσπρωτοὶ ἀβασίλευτοι. μο-
λοσσοὺς δὲ ἦγε καὶ ἀντιτάνας σαβύλινθος ἐπίτροπος ὢν
τοῦ ἀρύμβα τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος καὶ πρασαΐδος,
ὄρεσι δὲ βασιλεύς ὢν. ὀρέσται δὲ χίλιοι, οὓς ἐβασίλευεν
ἀντίοχος, μετὰ πρασαΐων ξυνεστράτευον ὀρσίδῃ, ἀν-
τιόχου ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ πρόξενος κρύφα
τῶν ἀθηναίων χιλίους μακεδόνων, οἳ ὕστερον ἦλθον. τούτῳ
τῷ τρόπῳ

ζῆ στρατῷ ἐπορεύετο κνῆμος, οὐ πορρωτέρω τοῦ ἀπὸ κορίνθου ναυλοχοῦ. καὶ διὰ τῆς ἀργείας ἰόντες λιμναίαν κώμην ἀπίχισον ἐπόρθησαν. ἀναβάντες τε ἐπὶ στράτον, πόλιν μεγίστην τῆς ἀκαρνανίας, νομίζοντες εἰ πρώτην ταύτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἄλλα προχωρήσειν. ἀκαρνᾶνες δὲ αὐτοῦ μὲν οὐ προσεβοήθησαν, ἐς δὲ τὰς ἄνω πόλεις ἐβεβλήκεσαν, ἐκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν, ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι, παρά τε φορμίωνα ἔπεμπον, κελεύοντες ἀμύνειν. ὁ δὲ ἀδύνατον ἔφη εἶναι, ναυλοχοῦντος ἐκ κορίνθου μέλλοντος ἐκπλεῖν, νάυπακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι, τρία τέλη ποιήσαντες σφῶν αὐτῶν, ἐχώρουν πρὸς τὴν τῶν στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγῳ πείθοιεν, ἔργῳ πειρῶντο τοῦ πείχους. καὶ τὸ μέσον μὲν εἶχον προσήεσαν χάονες, καὶ οἱ ἄλλοι βάρβαροι. ἐκ δεξιᾶς δ' αὐτῶν λευκάδιοι, καὶ ἀνακτόριοι καὶ οἱ μετὰ τούτων. οὗ ἀριστερᾷ ἦν κνῆμος, καὶ οἱ πελοποννήσιοι, καὶ ἄμπρακιῶται. διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων. καὶ ἔσιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν ἕλληνες τεταγμένοι τε προσῄεσαν, καὶ διὰ φυλακῆς εἶχον, ἕως ἐς γλωσσοπεδέυσαντο ἐν ἐπιτηδείῳ. οἱ δὲ χάονες σφίσι τε αὐτοῖς πιστεύοντες, καὶ ἀξιόμαχοι ὑπὲρ ἐκείνην ἐπειρωτῶν μαχιμώτατοι εἶναι, οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν. χωρήσαντές τε ξύμπαν μετὰ τῶν ἄλλων βαρβάρων, ἐνόμισαν ἀνυβρίστως ἂν τὴν πόλιν ἑλεῖν, καὶ αὐτῇ τῇ ἔφοδον ποιεῖσθαι. γυόντες δ' αὐτοὺς οἱ στράτιοι ἔτι προσιόντας, καὶ ἠγησάμενοι μεμο-

μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς ἕλλη-
νας ὁμοίως προσελθεῖν, προλογίζουσι τὰ πρὶ τὴν πόλιν
ἐνέδραις. καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε
χωρήσαντες, καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτουσι. καὶ ἐς φό-
βον καταστάντων, διαφθείρονταί τε πολλοὶ τῶν χαόνων.
καὶ οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι
ὑπέμειναν, ἀλλ' ἐς φυγὴν κατέστησαν. τῶν δὲ ἑλληνικῶν
στρατοπέδων οὐδέτερον ᾔσθετο τῆς μάχης, διὰ τὸ πολὺ
προελθεῖν αὐτοὺς, καὶ στρατόπεδον οἰηθῆναι καταληψο-
μένους ἐπείγεσθαι. ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρ-
βαροι, ἀνελάμβανόν τε αὐτοὺς. καὶ ξυναγαγόντες τὰ στρα-
τόπεδα, ἡσύχαζον αὐτοὶ τὴν ἡμέραν. ἐς χεῖρας μὲν οὐκ
ἰόντων σφίσι τῶν στρατίων, διὰ τὸ μή πω τοὺς ἄλλους ἀκαρ-
νᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων, καὶ
ἐς ἀπορίαν καθιστάντων. οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι,
δοκοῦσι δ' οἱ ἀκαρνᾶνες κράτιστοι εἶναι τοῦτο ποιεῖν. ἐπειδὴ
δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ κνῆμος τῇ στρατιᾷ κατα-
τάχος ἐπὶ τὸν ἄναπον ποταμὸν, ὃς ἀπέχει σταδίους
ὀγδοήκοντα στράτου, τούς τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ
ὑποσπόνδους, καὶ οἰνιάδων ξυμπραγμονομένων κατὰ φιλί-
αν, ἀναχωρεῖ παρ' αὐτοὺς, πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν.
κἀκεῖθεν ἐπ' οἴκου ἀπῆλθον ἕκαστοι. οἱ δὲ στράτιοι τροπαῖον
ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους. τὸ δ' ἐκ τῆς
κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ κρισαίου κόλ-
που ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ κνήμῳ, ὅπερ μὴ ξυμ-
βοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω ἀκαρνᾶνες, οὐ παραγίγνε-

ται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας καὶ ἐν
στράτῳ μάχης ναυμαχῆσαι πρὸς φορμίωνα, καὶ τὰς εἴκο-
σι ναῦς τῶν ἀθηναίων, ἃι ἐφρούρουν ἐν ναυπάκτῳ. ὁ γὰρ
φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοι κόλπου ἐτήρει,
βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ κορίνθιοι,
καὶ οἱ ξύμαχοι, ἔπλεον μὲν ὡς οὐκ ἐπὶ ναυμαχίᾳ ἀλλὰ
στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν ἀκαρνανίαν,
καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς
τὰς σφετέρας, τολμῆσαι τοὺς ἀθηναίους εἴκοσι ταῖς ἑαυ-
τῶν ναυμαχίαν ποιήσασθαι. ἐπειδὴ μὲν τοὶ ἀντιπαραπλέ-
οντάς τε ἑώρων αὐτοὺς, παρὰ γῆν σφῶν κομιζομένων, καὶ
ἐκ πατρῶν καὶ ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον δια-
βαλλόντων ἐπὶ ἀκαρνανίας, κατεῖδον τοὺς ἀθηναίους ἀπὸ
καὶ χαλκίδος καὶ τοι ἐυηνοῦ ποταμοῦ προσπλέοντας
σφίσι. καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ
ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρα-
τηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, οἱ παρεσκευά-
ζοντο. κορινθίων δὲ μάχων, καὶ ἰσοκράτης, καὶ ἀγαθαρ-
χίδας. καὶ οἱ μὲν πολοποννήσιοι ἐτάξαντο κύκλον τῶν
νεῶν ποιήσαντες, ὡς μέγιστον εἶοί τ' ἦσαν μὴ διδόντες
διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας.
καὶ τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται, καὶ
πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ
βραχέος παραγιγνόμενοι, εἴπη προσπίπτοιεν οἱ ἐναντίοι.
οἱ δ' ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι, περιέπλεον
αὐτοὺς κύκλῳ, καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέον-
τες, καὶ

τες. καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν. προείρητο δ' αὐτοῖς ὑπὸ φορμίωνος μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν ὥσπερ ἐν γῇ πεζὴν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς, καὶ τὰ πλοῖα ταραχὴν παρέχειν. εἶτ' ἐκπνεῦσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει, καὶ εἰώθει γίνεσθαι ἐπὶ τῷ ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς. καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐν ὁμιζὲν εἶναι, ὁπότ' ἂν βούληται τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό, τε πνεῦμα κατῄει, καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου, τῶν τε πλοίων ἅμα προσκειμένων ἐταράσσοντο. καὶ ναῦς τε νηῒ προσέπιπτε, καὶ τοῖς κοντοῖς διωθοῦντο βοῇ τε χρώμενοι, καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε, καὶ λοιδορίᾳ, οὐδὲν κατήκουον, οὔτε τῶν παραγγελλομένων, οὔτε τῶν κελευστῶν. καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδονίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι, τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει. καὶ οἱ ἀθηναῖοι προσπεσόντες, πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν. ἔπειτα δὲ καὶ τὰς ἄλλας, ᾗ χωρήσειαν διέφθειρον. καὶ καθέστησαν ἐς ἀλκὴν μὲν μηδένα. τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς πάτρας, καὶ δύμην τῆς ἀχαΐας. οἱ δὲ ἀθηναῖοι καταδιώξαντες, καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι, ἐς μολύκρειον ἀπέπλεον. καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ ῥίῳ, καὶ ναῦν ἀναθέντες τῷ ποσειδῶνι,

σεσθῶνι, ἀνεχώρησαν ἐς ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ πελοποννήσιοι εὐθὺς ταῖς πρώραις τῶν νεῶν ἐκ τῆς ἡσυχίας, καὶ παρῶν ἐς κυλλήνην τὸ ἡλείων τεῖχος, ἔνθα ἡ λεπάδιον, καὶ ἡμιόν, καὶ ἄλλαι ἐκεῖθεν νῆες, αἳ ἔδει ταύταις ξυμμίξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν σχάτῳ μάχην ἐς τὴν κυλλήνην. πέμπουσι δὲ καὶ οἱ λακεδαιμόνιοι τὸν κνήμῳ ξυμβόλους ἐπὶ τὰς ναῦς, ἡμοκράτην, καὶ βρασίδαν, ἔνα λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω κατασκευάζεσθαι, καὶ μὴ ὑπὸ ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης· ἐδόκει γὰρ αὐτοῖς ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις, τολμηρὸν παράλογόν εἶναι. ἔνα δὲ τοσούτῳ ὄντα σφῶν ναυκρατορα λείπεσθαι. γενέσθαι δὲ ἕνα μαλακίαν, οὐκ ἀνατιθέντες τὴν ἀθλιωτέραν ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας διὰ ὀλίγου μελέτης. ὀργὴ οὖν ἀπέστελλον. οἱ δὲ ἀθηναῖοι μετὰ κνήμου, ναῦς τε πυκνὰς ἔλαβον καὶ πόλεις, καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν, πέμπει δὲ καὶ ὁ φορμίων ἐς τὰς ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας, καὶ περὶ τῆς ναυμαχίας, ἣν ἐνίκησαν φράσοντας. καὶ κελεύων αὐτῶν ναῦς ὅτι πλείστας διατάχους ἀποστέλλαι, ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης, ἀεὶ ναυμαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ. ἃς δὲ νομίζουσι αὐτὰς, προσεπέστελλαν ἐς κρήτην πρῶτον ἀφικέσθαι. νικίας γὰρ κρῆς ξενίαν, πρόξενος ὤν, πείθει αὐτοὺς ἐπὶ κυδωνίαν πλεῦσαι, φάσκων προαποικίσειν αὐτὴν οὖσαν πολεμίαν. ἔφυγε δὲ πολιχνίτας χαριζόμενος ὁμόροις τῆν κυδωνιατῶν

νιατῶν. καὶ ὁ μὲν λαβὼν τὰς ναῦς, ᾤχετο ἐς κρήτην. Ⓒ
μετὰ τῶν πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν κυδωνιατῶν.
καὶ ὑπὸ ἀνέμων, καὶ ὑπὸ ἁπλοίας, ἐνδιέτριψεν οὐκ ὀλί-
γον χρόνον. οἱ δ' ἐν τῇ κυλλήνῃ πελοποννήσιοι ἐν τούτῳ,
ἐν ᾧ οἱ ἀθηναῖοι περὶ τὴν κρήτην κατείχοντο, παρεσκευασ-
μένοι ὡς ἐπὶ ναυμαχίαν, παρέπλευσαν ἐς πάνορμον τὸν
ἀχαϊκὸν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν πελοποννησίων
προσεβεβοηθήκει, παρέπλευσε δὲ καὶ ὁ φορμίων ἐπὶ τὸ ῥίον
τὸ μολυκρικόν. καὶ ὡρμίσαντο ἔξω αὐτοὶ ναυσὶν εἴκοσιν
αἷσπερ Ⓒ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ ῥίον, εἴλιον
τοῖς ἀθηναίοις. τὸ δ' ἕτερον ῥίον ἐστὶν ἀντιπέρας τῷδε ἐν τῇ
πελοποννήσῳ διείχεται δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα
ἑπτὰ καὶ θαλάσσης. τοι δὲ κρισαίου κόλπου στόμα τοι τό
ἐστιν. ἐπὶ οὖν τῷδε ῥίῳ τῷδε ἀχαϊκῷ οἱ πελοποννήσιοι, ἀ-
πέχοντι οὐ πολὺ τοι πανόρμου ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρ-
μίσαντο Ⓒ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ
τοὺς ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἑξὴ ἑπτὰ ἡμέρας ἀν-
θώρμουν ἀλλήλοις μελετῶντές τε, καὶ παρασκευαζόμενον
τὴν ναυμαχίαν γνώμην ἔχοντες, οἱ μὲν μὴ ἐκπλεῖν ἔξω
τῶν ῥίων εἰς τὴν εὐρυχωρίαν, φοβούμενον τὸ πρότερον πά-
θος, οἱ δὲ μὴ ἐπιπλεῖν ἐς τὰ στενὰ νομίζοντες πρὸς ἐκείνων
εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ κνῆμος, καὶ ὁ
βρασίδας, καὶ οἱ ἄλλοι τῶν πελοποννησίων στρατηγοί, βου-
λόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι πρίν τι καὶ
ἀπὸ τῶν ἀθηναίων ἐπιβοηθῆσαι, ξυνεκάλεσαν τοὺς στρατιώ-
τας πρῶτον. καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν
προτέραν

προτέραν ἧσσαν φοβουμένους, καὶ οὐ προθύμους ὄντας παρεκελεύσαντο, καὶ ἔλεξαν τοιάδε.

ΑΠΟΛΟΓΙΑ ΚΝΗΜΟΥ, ΚΑΙ ΤΩΝ σὺν αὐτῷ πελοποννησίων.

Ἡ μὲν γενομένη ναυμαχία ὦ ἄνδρες πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε. καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον, ἢ ἐπὶ στρατείαν ἐπλέομεν. ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι. καί που τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν, τὸ ἡσσῆσθαι προσεγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατακράτος νικηθὲν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς τε ξυμφορᾶς τοῦ ἀπεβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς μὲν τύχαις, ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ ἀπειρίαν τοι ἀνδρείου πρόντος προβαλλομένους, εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δὲ οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπεται, ὅσον τόλμῃ προέχετε. τῶνδε ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔκρουσα, καὶ μνήμην ἕξει ἐν τοῦ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν. ἄνευ δ' εὐψυχίας, οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. φόβος γὰρ μνήμην ἐκπλήσσει. τέχνη δὲ ἄνευ ἀλκῆς, οὐδὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν, τὸ τολμηρότερον ἀντιτάξασθε. πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι, τὸ ἀπα=

τὸ ἀπαράσκευοι τότε τυχεῖν. περιγίγνεται δὲ ὑμῖν πλῆ-
θός τε νεῶν καὶ πρὸς τῇ γῇ οὔσῃ, ὁπλιτῶν παρόντων ναυ-
μαχεῖν. τὰ δὲ πολλὰ τῶν πλειόνων καὶ ἄμεινον παρεσ-
κευασμένων, τὸ κράτος ἐστὶν. ὥστε οὐδὲ καθ' ἓν εὑρίσκο-
μεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους. καὶ ὅσα ἡμάρ-
τομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα, διδασ-
καλίαν παρέξει. θαρσοῦντες οὖν καὶ κυβερνῆται, καὶ ναῦται,
τὸ καθ' ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ λείποντες, ᾗ ἄν
τις προσταχθῇ. τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν
ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν. καὶ οὐκ ἐνδώσομεν
πρόφασιν οὐδενὶ κακῷ γενέσθαι. ἢν δέ τις ἄρα καὶ βου-
ληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ. οἱ δὲ ἀγαθοὶ τι-
μήσονται τοῖς προσήκουσιν ἄθλοις καὶ ἀρετῆς. τοιαῦτα
μὲν τοῖς πελοποννησίοις οἱ ἄρχοντες προεκελεύσαντο. ὁ δὲ
φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀῤῥωδίαν,
καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς αὐτοὺς
ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί
τε, καὶ παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι. πρότερον
μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε, καὶ προπαρεσκεύαζε τὰς γνώ-
μας, ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσούτων ἢν ἐπιπλέῃ,
ὅτι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι. καὶ οἱ στρατιῶται ἐκ
πολλοῦ ἐν σφίσιν αὐτοῖς, τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν,
μηδένα ὄχλον ἀθηναῖοι ὄντες πελοποννησίων ὑποχωρεῖν.
τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας,
ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν. καὶ ξυγκα-
λέσας τοὺς ἀθηναίους, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΦΟΡΜΙΩΝΟΣ.

Ὁρῶν ὑμᾶς ὦ ἄνδρες στρατιῶται πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων, ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀῤῥοδίᾳ ἔχειν. οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι, καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὅμοιοι ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο. ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐδὲ ἄλλό τι θαρσοῦσιν, ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι τὸ ἐν τῷ ναυτικῷ ποιήσειν τοαυτό. τόδ' ἐκ τῆς δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ τὸ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι. τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι, θρασύτεροι ἐσμὲν. λακεδαιμόνιοί τε ἡγούμενοι αὐτῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν, ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν ποτε ἐνεχείρησαν ἡσσηθέντες παραπολὺ, αὖθις ναυμαχεῖν, μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε, καὶ πιστότερον, κτῆ τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παραπολὺ πράξειν ἀνθίστασθαι ἡμᾶς. ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι τῇ δυνάμει τὸ πλέον πίσυνοι, ἢ τῇ γνώμῃ ἐπέρχονται, οἵδ' ἐκ πολλῶν ὑποδεέστερον τὸ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι καὶ διανοίας τὸ βέβαιον ἔχοντες, ἀντιτολμῶσιν. ἃ λογιζόμενοι οὗτοι, τῷ δὲ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς, ἢ τῇ κτῆ λόγον παρασκευῇ. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων

ἐλασσόνων τῇ ἀπειρίᾳ. ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ, ὧν οὐδε-
τέρου ὑμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλ-
πῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδὲ πλεύσομαι ἐς αὐτόν.
ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας, ὀλίγαις
ναυσὶν ἐμπείρως καὶ ἄμεινον πλεούσαις, ἡ στενοχωρία οὐ
ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν
μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν
ἀποχωρήσειεν ἐνδέοντι πιεζόμενος, διέκπλοί τε οὐκ εἰσὶν·
οὐδὲ ἀναστροφαί, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν,
ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν, πεζομαχίαν καθίστασθαι.
Ὁ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. τούτων μὲν
οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν. ὑμεῖς δὲ, εὔτακτοι
παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως
δέχεσθαι. ἄλλως τε, Ὁ δι' ὀλίγου καὶ ἐφορμήσεως οὔσης.
καὶ ἐν τῷ ἔργῳ, κόσμον καὶ σιγὴν περιπλείστου ἡγεῖσθε,
ὥστε τὰ πολλὰ τῶν πολεμίων ξυμφέρει καὶ ναυμαχίαι
οὐχήκιστα. ἀμύνασθέ τε τούσδε ἀξίως τῶν προειργασμέ-
νων. ὁ δὲ ἀγὼν μέγας ὑμῖν ἢ καταλῦσαι πελοποννησίων
τὴν ἐλπίδα τῶν ναυτικοῦ, ἢ ἐγγυτέρω καταστῆσαι ἀθηναίοις
τὸν φόβον περὶ καὶ θαλάσσης. ἀναμιμνήσκωδ' αὖ ὑμᾶς,
ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς. ἡσσημένων δὲ ἀνδρῶν,
οὐκ ἐθέλουσιν αἱγνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι
εἶναι. τοιαῦτα μὲν καὶ ὁ φορμίων παρεκελεύσατο. οἱ δὲ
πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ ἀθηναῖοι οὐκ ἐπέπλεον
ἐς τὸν κόλπον, καὶ τὰ στενὰ, βουλόμενοι ἄκοντας ἔσω
προαγαγεῖν αὐτοὺς, ἀναγόμενοι ἅμα ἕῳ, ἔπλεον ἐπὶ

τεσσάρων ταξάμενοι τὰς ναῦς, παρὰ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοι κόλπου δεξιῷ κέρᾳ ἡγούμενοι, ὥσπερ καὶ ὥρμουν ἐπὶ δ' αὐτῷ, εἴκοσι ναῦς ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως εἰ ἄρα νομίσας, ἐπὶ τὴν ναύπακτον αὐτοὺς πλεῖν ὁ φορμίων, καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ὑπόπλουν σφῶν οἱ ἀθηναῖοι ἔξω τοι ἑαυτῶν κέρως, ἀλλ' αὐταὶ αἱ νῆες περικλείσειαν. ὁ δὲ ὅπερ ἐκεῖνοι προσεδέχοντο, φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτοὺς, ἄκων, καὶ κατὰ σπουδὴν ἐμβιβάσας, ἔπλει παρὰ τὴν γῆν. καὶ ὁ πεζὸς ἅμα τῶν μεσσηνίων παρεβοήθει. ἰδόντες δὲ οἱ πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας, καὶ ἤδη ὄντας ἐντὸς τοι κόλπου τε, καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς, μετωπηδὸν ἔπλεον ὡς εἶχε τάχους ἕκαστος ἐπὶ τοὺς ἀθηναίους. καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι τῶν δὲ ἕνδεκα μὲν τινες. αἵπερ ἡγοῦντο ὑπεκφεύγουσι τὸ κέρας τῶν πελοποννησίων, καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. τὰς δὲ ἄλλας ἐπικαταλαβόντες, ἐξέωσάν τε τὴν γῆν ὑποφευγούσας, καὶ διέφθειραν. ἄνδρας τε τῶν ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν. καὶ τῶν νεῶν τινας ἀναδούμενοι, εἷλκον κενὰς. μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη. τὰς δέ τινας οἱ μεσσήνιοι παραβοηθήσαντες, καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάντες ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι, ἀφείλοντο ἑλκομένας ἤδη. ταύτῃ μὲν οὖν οἱ πελοποννήσιοι ἐκράτουν τε,

καὶ

καὶ ἔφθειραν τὰς ἀττικὰς ναῦς. αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως, ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν ἀθηναίων, αἱ περ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ φθάνουσιν αὐτοὺς, πλὴν μιᾶς νεὼς, προκαταφυγοῦσαι ἐς τὴν ναύπακτον. καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ ἀπολλώνιον, παρεσκευάζοντο ἀμυνόμενοι, ἢν ἐς τὴν γῆν ὑπὸ σφᾶς ἐπιπλέωσιν. οἱ δὲ παραγενόμενοι ὕστερον, ἐπαιώνιζόν τε ἅμα πλέοντες, ὡς νενικηκότες. καὶ τὴν μίαν ναῦν, τῶν ἀθηναίων τὴν ὑπόλοιπον, ἐδίωκε λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, πρὶ ἢν ἡ ἀττικὴ ναῦς φθάσασα, καὶ περιπλεύσασα τῇ διωκούσῃ λευκαδίᾳ, ἐμβάλλει μέσῃ, καὶ καταδύει. τοῖς, μὲν οὖν πελοποννησίοις, γενομένου τούτου τοῦ ἀπροσδοκήτου τε καὶ παραλόγου, φόβος ἐμπίπτει. καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν αἱ μὴ τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας, ἀπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι. αἱ δὲ καὶ ἐς βραχέα χωρίων ἀπειρίᾳ ὤκειλαν, τοὺς δ' ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα, θάρσος τε ἔλαβε. καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες, ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα, καὶ τὴν παροῦσαν ἀταξίαν. ὀλίγον μὲν χρόνον ὑπέμειναν. ἔπειτα δὲ ἐτράποντο ἐς τὸ πάνορμον, ὅθεν περ ἀνηγάγοντο. ἐπιδιώκοντες δὲ οἱ ἀθηναῖοι, τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἓξ, καὶ τὰς ἑαυτῶν ἀφείλοντο, ἃς ἐκεῖνοι

πρὸς τῇ γῇ διαφθείραντες, τὸ πρῶτον ἀνεδήσαντο, ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. ἐπὶ δὲ καὶ λευκαδίας νεὼς ἡ πρὶν τὴν ὁλκάδα κατέδυ, τιμοκράτης ὁ λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν, καὶ ἐξέπεσεν ἐς τὸν ναυπακτίων λιμένα. ἀναχωρήσαντες δὲ οἱ ἀθηναῖοι, τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν. καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια ὅσα πρὸς τῇ ἑαυτῶν ἦν ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν καὶ οἱ πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες καὶ τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν. καὶ ἥνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ ῥίον τὸ ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα, φοβούμενοι τὴν ἀπὸ τῶν ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα ἐσέπλευσαν ἐς τὸν κόλπον τὸν κρισαῖον καὶ κορίνθιον πάντες, πλὴν λευκαδίων. καὶ οἱ ἐκ καὶ κρήτης ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν αἷς ἔδει πρὸ καὶ ναυμαχίας τῶν φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον καὶ ἀναχωρήσεως τῶν νεῶν, ἀφικνοῦνται ἐς τὴν ναύπακτον. καὶ τὸ θέρος ἐτελεύτα. πρὶν δὲ διαλῦσαι τὸ ἐς κόρινθόν τε καὶ τὸν κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν, ὁ κνῆμος καὶ ὁ βρασίδας, καὶ οἱ ἄλλοι ἄρχοντες τῶν πελοποννησίων, ἀρχομένου τοι χειμῶνος ἐβούλοντο, διδαξάντων τῶν μεγαρέων, ἀποπειρᾶσαι τὸν πειραιῶς τοι λιμένος τῶν ἀθηναίων. ἦν δὲ ἀφύλακτος, καὶ ἄκλεισος εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῶν ναυτικῷ. ἐδόκει δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὸ κώπην, καὶ τὸ ὑπηρέσιον, καὶ τὸν τροπωτῆρα, πεζῇ

ἰέναι

ἰέναι ἐκ κορίνθου ἐπὶ τὴν πρὸς ἀθήνας θάλασσαν, καὶ ἀφι-
κομένους κατατάχος ἐς μέγαρα, καθελκύσαντας ἐκ
νισαίας τοι νεωρίου αὐτῶν τεσσαράκοντα ναῦς, αἳ ἔτυχον
αὐτόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν πειραιᾶ. οὔτε γὰρ
ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν, οὔτε προσδοκία
οὐδεμία, μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπι-
πλεύσειαν, ἐπεὶ οὐδ' ἀπὸ τοι προφανοῦς τολμῆσαι ἂν καθ'
ἡσυχίαν, οὐδὲ εἰ διενοοῦντο μὴ οὐκ ἂν προαισθέσθαι. ὡς δὲ
ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθὺς, καὶ ἀφικόμενοι νυκτὸς,
καὶ καθελκύσαντες ἐκ τοι νισαίας τὰς ναῦς, ἔπλεον μὲν
ἐπὶ τὸν πειραιᾶ, οὐκέτι ὥσπερ διενοοῦντο, καταδείσαντες
τὸν κίνδυνον. καί τις καὶ ἄνεμος αὐτοὺς λέγεται κωλῦ-
σαι. ἐπὶ δὲ τοι σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς μέ-
γαρα ὁρῶν, καὶ φρούριον ἐπ' αὐτοι ἦν, καὶ νεῶν τριῶν φυ-
λακὴ, τοι μὴ ἐσπλεῖν μεγαρεῦσι, μηδ' ἐκπλεῖν μηδὲν, τοῦ
τε φρουρίου προσέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κένας.
τήν τε ἄλλην σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες
ἐπόρθουν. ἐς δὲ τὰς ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι.
καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσ-
σων. οἱ μὲν γὰρ ἐν τοῦ ἄστει, ἐς τὸν πειραιᾶ ᾤοντο τοὺς
πολεμίους ἐσπεπλευκέναι ἤδη. οἱ δ' ἐν τοῦ πειραιεῖ, τὴν τε
τῶν σαλαμινίων πόλιν ἑαλωκέναι, καὶ παρὰ σφᾶς ὅσον
οὐκ ἐσπλεῖν αὐτοὺς, ὅπερ ἂν ἐβουλήθησαν μὴ κατοκνῆσαι,
ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε, βοηθή-
σαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ ἀθηναῖοι. ἐς τὸν πειραιᾶ
ναῦς τε καθεῖλκον. καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ
θορύβῳ,

θορύβῳ, ταῖς μὲν ναῦσὶν ἐπὶ τὴν σαλαμῖνα ἔπλεον, τῷ δὲ πέζῳ δὲ φυλακὰς τοῦ πειραιῶς καθίσταντο. οἱ δὲ πελοποννήσιοι ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες καὶ σαλαμῖνος τὰ πολλὰ, καὶ ἀνθρώπους, καὶ λείαν λαβόντες, καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ βουδόρου τοῦ φρουρίου κατατάχος ἐπὶ καὶ νισαίας ἔπλεον. ἔστι γὰρ ὅτε καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι, καὶ οὐδὲν στέγουσαι ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ μέγαρα, πάλιν ἐπὶ καὶ κορίνθου ἀπεχώρησαν πεζοί. οἱ δ' ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ σαλαμῖνι, ἀπέπλευσαν καὶ αὐτοί. καὶ μετὰ τοῦτο, φυλακὴν ἤδη τοῦ πειραιῶς, μᾶλλον τολοιπὸν ἐποιοῦντο, λιμένων τε κλείσει, καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος, τούτου ἀρχομένου, σιτάλκης ὁ τήρεω ὀδρύσης θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ περδίκκαν τὸν ἀλεξάνδρου, μακεδονίας βασιλέα, καὶ ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾴκης διὰ δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ, τε γὰρ περδίκκας αὐτῷ ὑποσχόμενος εἰ ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν παταρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ φίλιππον τὸν ἀδελφὸν αὐτοῦ πολέμιον ὄντα, μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει. τοῖς τε ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ θρᾴκης χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα, τὴν ἔφοδον ἐποιεῖτο. καὶ τόνδε φιλίππου ἡὸν ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν μακεδόνων ἦγε, καὶ ἀθηναίων πρέσβεις, οἳ ἔτυχεν πα-

ρόντες

ρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα ἄγνωνα. ἔδει γὰρ καὶ τοὺς ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς χαλκιδέας παραγενέσθαι. ἀνίστησιν οὖν ἐκ τῶν ὀδρυσῶν ὁρμώμενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ αἴμου τε ὄρους, καὶ ῥοδόπης θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης καὶ ἐς τὸν εὔξεινόν τε πόντον, καὶ τὸν ἑλλήσποντον. ἔπειτα τοὺς ὑπερβάντι αἷμον γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ εὐξείνου πόντου κατῴκητο. εἰσὶ δ' οἱ γέται, καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς σκύθαις, καὶ ὁμόσκηνοι πάντες ἱπποτοξόται. παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων, καὶ μαχαιροφόρων, οἱ δῖοι καλοῦνται, τὴν ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες. καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. ἀνίστη δὲ καὶ ἀγριᾶνας, καὶ λεαίους, καὶ ἄλλα ὅσα ἔθνη παιόνικα, ὧν ἦρχε. καὶ ἔσχατοι καὶ ἀρχῆς οὗτοι ἦσαν, μέχρι γρααίων, καὶ λεαίων παιόνων, καὶ τοῦ στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ σκομίου ὄρους διὰ γρααίων, καὶ λεαίων ῥεῖ. οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς παίονας αὐτονόμους ἤδη. τὰ δὲ πρὸς τριβαλλοὺς, καὶ τούτους αὐτονόμους, τρῆρες ὥριζον, καὶ τιλαταῖοι. οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ σκομίου ὄρους. καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ ὀσκίου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους, ὅθεν περ καὶ ὁ νέστος, καὶ ὁ ἕβρος. ἔστι δὲ ἔρημον τοῦ ὄρος, καὶ μέγα ἐχόμενον τῆς ῥοδόπης. ἐγένετο δὲ ἡ ἀρχὴ ἡ ὀδρυσῶν μέγεθος, ἐπὶ μὲν θάλασσαν καθήκουσα ἀπὸ ἀβδήρων πόλεως ἐς τὸν εὔξεινον πόντον τοῦ μέχρι ἴστρου

ποταμοῦ. αὕτη πρίπλους ὀξεῖα ἡ γῆ ταξιωτομώτατα, ἡμερῶν ἀεὶ καὶ πνεύμαν ἴσχυται δ' πνεῦμα νὺξ σχοινίλη πασάχωμ ἡμερῶν, καὶ ἴσωμ νυκτῶν. ὁδῷ δὲ ταξιωτομώτατα ἐξ ἀδριάνου ἐς ἴστρον ἀνὴρ εὐζώνως ἐνδεκαταῖος πελεύσεται μὲν πρὸς θάλασσαν, τοσαύτη ἡμέρα. ἐς ἤπειρον δὲ ἀπὸ βυζαντίου, ἐς λεαίους, καὶ ἐπὶ τὸν σχυμόνα. ταύτη γὰρ διάπλεῖσα ἀπὸ θαλάσσης ἄνω ἐγίγνετο ἡμερῶν ἀνδρὶ εὐζώνω τριῶν καὶ δέκα ἀνύσαι. φόρος τε ἐκ πάσης τῆς βαρβάρου, καὶ τὴν ἑλλωίδα πόλεων, ὅσον προσῆξαν ἐπὶ σεύθου, ὃς ἦρξεν σιτάλκου βασιλεύσας, πλεῖστον δὴ ἐποίησε, πεντακοσίων ταλάντων ἀργυρίου μάλιστα δώσουσι, ἢ χρυσός καὶ ἄργυρος εἶη. καὶ δῶρα οὐκ ἐλάσσω τούτων, χρυσᾶ τε, καὶ ἀργύρου προσέφερεν. χωρὶς δὲ ὅσα ὑφαντά τε, καὶ λεῖα, καὶ ἄλλα κατασκευή, καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γυναίοις ὁδῷ σῶν. καπεκόσαν γὰρ τοσοῦτον τῶν πρώτων βασιλείας τὸν νόμον, ὄντα μὴ καὶ τοῖς ἄλλοις ἄρχειν, λαμβάνειν μᾶλλον, ἢ διδόναι. καὶ αἴσχιον ἦν αἰτηθέντα, μὴ δοῦναι. ἢ αἰτήσαντα, μὴ τυχεῖν. ὅμως δὲ καὶ δώσειν, ἐπιπλέον αὐτῷ ἐλάμβανον. οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. ὥστε ἐπὶ μέγα ἡ βασιλεία ἦλθεν ἰσχύος, πλοῦ γὰρ ἐν τῇ εὐρώπῃ, ὅσα μεταξὺ τοῦ ἰωνίου κόλπου, καὶ τοῦ εὐξείνου πόντου, μεγίστη ἐγένετο χρημάτων προσόδῳ, καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ. ἰσχύϊ δὲ μάχης, καὶ στρατοῦ πλήθει, πολὺ δευτέρα μετὰ τοὺς σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐγίγνεσθαι. οὐχ ὅτι τὰ ἐν τῇ εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ

ἀσίᾳ

ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν, ὅτι δυνατὸν σκυθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. οὐ μὴν οὐδὲ, ἐς τὴν ἄλλην εὐβουλίαν τε ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦντι. σιτάλκης μὲν οὖν χώρας τοσαύτης βασιλεύων, παρεσκευάζετο τὸν στρατὸν. καὶ ἐπειδὴ αὐτῷ ἕτοιμα ἦν ἄρας, ἐπορεύετο ἐπὶ τὴν μακεδονίαν. πρῶτον μὲν διὰ φυλῆς αὐτοῦ ἀρχῆς, ἔπειτα διὰ κερκίνης ἐρήμου ὄρους ὅ ἐστι μεθόριον σιντῶν τε παιόνων. ἐπορεύετο δὲ δὶ, αὐτοῦ τῇ ὁδῷ ἣν πρότερον αὐτὸς ἐποιήσατο τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ παίονας ἐστράτευσε. τὸ δὲ ὄρος ἐξ ὀδρυσῶν διϊόντες ἐν δεξιᾷ μὲν εἶχον παίονας, ἐν ἀριστερᾷ δὲ σιντοὺς, καὶ μαίδους. διελθόντες δὲ αὐτὸ, ἀφίκοντο ἐς δόβηρον τὴν παιονικήν. πορευομένῳ δὲ αὐτῷ, ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ, εἰ μή τι νόσῳ, προσεγίγνετο δὲ. πολλοὶ γὰρ τῶν αὐτονόμων θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν. ὥστε τὸν πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι. τε τούτου τὸν μὲν πλέον πεζὸν ἦν. τριτημόριον δὲ μάλιστα, ἱππικόν. τοῦ δ' ἱππικοῦ τὸν πλεῖστον, αὐτοὶ ὀδρύσαι παρείχοντο. καὶ μετ' αὐτοὺς γέται. τοῦ δὲ πεζοῦ, οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν οἱ ἐκ τῆς ῥοδόπης αὐτόνομοι καταβάντες. ὁ δὲ ἄλλος ὅμιλος, ξύμμικτος πλήθει φοβερώτατος ἠκολούθει. ξυνηθροίζοντο οὖν ἐν τῇ δοβήρῳ, καὶ παρεσκευάζοντο, ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω μακεδονίαν ἧς ὁ πρόδικκας ἦρχε. τῶν γὰρ μακεδόνων εἰσὶ τε λυγκησταὶ, καὶ ἐλειμιῶται, καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα

μὲν ἐστι τούτοις, καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὐτά. τὴν δὲ περὶ θάλασσαν νῦν μακεδονίαν, ἀλέξανδρος ὁ περδίκκου πατὴρ, καὶ οἱ πρόγονοι αὐτοῦ τημενίδαι, τοαρχαῖον ὄντες ἐξ ἄργους, πρῶτοι ἐκτήσαντο, καὶ ἐβασίλευσαν, ἀναστήσαντες μάχῃ, ἐκ μὲν πιερίας πίερας, οἳ ὕστερον ὑπὸ τῶν πάγγαιον πέραν στρυμόνος ᾤκησαν φαγρήτα, καὶ ἄλλα χωρία. καὶ ἔτι καὶ νῦν πιερικὸς κόλπος καλεῖται. ἡ ὑπὸ τῷ παγγαίῳ πρὸς θάλασσαν γῇ. ἐκ δὲ τῆς βοττίας καλουμένης βοττιαίους, οἳ νῦν ὅμοροι χαλκιδέων οἰκοῦσι. τῆς δὲ παιονίας παρὰ τὸν ἄξιον ποταμὸν, στενὴν τινα καθήκουσαν ἄνωθεν μέχρι πέλλης, καὶ θαλάσσης, ἐκτήσαντο. καὶ πέραν ἀξίου, μέχρι στρυμόνος τὴν μυγδονίαν καλουμένην, ἠδῶνας ἐξελάσαντες νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν ἐορδίας καλουμένης, ἐόρδους. ὧν οἱ μὲν πολλοὶ διεφθάρησαν. βραχὺ δέ τι αὐτῶν περὶ φύσκαν κατῴκηται. καὶ ἐξ ἀλμωπίας, ἀλμώπας. ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε ἀνθεμοῦντα, καὶ γρηστωνίαν, καὶ βισαλτίαν, καὶ μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν, μακεδονία καλεῖται. καὶ περδίκκας ἀλεξάνδρου, βασιλεὺς αὐτῶν ἦν, ὅτε σιτάλκης ἐπῄει. καὶ οἱ μὲν μακεδόνες οὗτοι, ἐπιόντος πολλοῦ στρατοῦ, ἀδύνατοι ὄντες ἀμύνεσθαι, ἔς τε τὰ καρτερὰ, καὶ τὰ τείχη, ὅσα ἦν ἐν τῇ χώρᾳ ἐσεκομίσθησαν. ἦν δὲ οὐ πολλά. ἀλλὰ ὕστερον ἀρχέλαος ὁ περδίκκου ἡὸς, βασιλεὺς γενόμενος, τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε, καὶ ὁδοὺς εὐθείας ἔτεμε. καὶ τἆλλα διεκόσμησε, τὰ

μησι, τά τε ἡμῖν τὸν πόλεμον ἵπποις, καὶ ὅπλοις, καὶ τῇ ἄλλῃ παρασκευῇ, κρείσσονι ἢ ξύμπαντες οἱ ἄλλοι βασιλῆς ἐκτὸς οἱ πρὸ αὐτοῦ ἡγεμόνευον. ὁ δὲ στρατὸς ὁμ ἀρχῶν ἐκ ὀλίγου δοθέντος ἐσέβαλε, πρῶτον μὲν ἐς τὴν Θιλίππου πόλιν ὁμοῦ οὖσαν ἀρχαίαν, καὶ εἴλον εἰσομολοῦσιν μὴ κατακράτος, γοητωσίαν δὲ καὶ ἀταλάντῳ, καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν ἀμαύτου Θιλίαν προσχωροῦντα τοῦ Θιλίππου ἤδη παρόντος. ἔνθεν δὲ ἐπολιόρκησαν μὲν, ἑλεῖν δὲ οὐκ ἠδυνάσθησαν. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην μακεδονίαν πρόσχωρα τῆς ἐν ἀριστερᾷ πέλαγος, καὶ κύρρου. ἔσω δὲ τούτων, ἐς τὴν βοττιαίαν, καὶ πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τὴν τε μυγδονίαν, καὶ χαλκιδονίαν, καὶ ἀνθεμοῦντα ἐδῄωσαν. οἱ δὲ μακεδόνες περᾶν μὲν οὐδὲ διενοοῦντο ἀμαῦσεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων ὅπη δοκοῖ, ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλον ἐς δ' στράτευμα τῶν θρᾳκῶν. καὶ ἢ μὲν προσέσισαν, οὐδενὸς ὑπομείναντας ἄνδρας ἵππέας τε ἀγαθοὺς, καὶ πεζοὺς ἀκισμένους. ὑπὸ δὲ πλήθους πορικλειόμενοι, αὐτοὺς πολλαπλασίους ὄντας ὁμίλῳ, ἐς κίνδυνον καθίσασαν, ὥστε τέλος, ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς δ' πλέον κινδυνεύειν. ὁ δὲ σιτάλκης πρός τε τὸν πορδίκκαν λόγους ἐποιεῖτο, ὧν ἕνεκα ἐστράτευσε. καὶ ἐπειδὴ οἱ ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσὶν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς χαλκιδέας, καὶ βοττιαίους, μέτα τοῦ στρατοῦ πέμπειν. καὶ τεχίσας ποιήσας, ἐδῄου τὴν γῆν. καθημένου δ' αὐτοῦ πρὸ τοὺς

χώρους τούτους, οἱ πρὸς νότον οἰκοῦντες θεσσαλοὶ, καὶ μάγνη-
τες, καὶ οἱ ἄλλοι ὑπήκοοι θεσσαλῶν, καὶ οἱ μέχρι θερμο-
πυλῶν ἕλληνες ἐφοβήθησαν μὴ καὶ τῶν σφας ὁ στρατὸς
χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ
πέραν στρυμόνος πρὸς βορέαν θρᾷκες, ὅσοι πεδία εἶχον
παναῖοι, καὶ ὀδόμαντοι, καὶ δρῶοι, καὶ δερσαῖοι. αὐτό-
νομοι δ' εἰσὶ πάντες, παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν
ἀθηναίων πολεμίους ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ
τὸ ξυμμαχικόν, καὶ τῶν σφας χωρήσωσιν. ὁ δὲ τήν τε
χαλκιδικὴν, καὶ βοττικὴν, καὶ μακεδονίαν ἅμα ἐπέχων
ἔφθειρε. καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο, ὧν ἕνεκα ἐσέ-
βαλε, καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χει-
μῶνος ἐταλαιπώρει, ἀναπείθεται ἡπὸ σεύθου τοῦ σπαρ-
δόκου, ἀδελφιδοῦ ὄντος, καὶ μέγιστον μεθ' ἑαυτὸν δυνα-
μένου, ὥστ' ἐν τάχει ἀπελθεῖν. τὸν δὲ σεύθην, κρύφα περ-
δίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν, καὶ χρή-
ματα ἐπ' αὐτῇ προσποιεῖται. καὶ ὁ μὲν πεισθεὶς, καὶ μείνας
τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν χαλκι-
δεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατατάχος ἐπ' οἴκου. περ-
δίκκας δὲ ὑστερέρον στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι
σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν οὖν κατὰ τὴν σιτάλκου
στρατείαν, οὕτως ἐγένετο. οἱ δὲ ἐν ναυπάκτῳ ἀθηναῖοι τοῦ
αὐτοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν πελοποννησίων ναυτικὸν
διελύθη, φορμίωνος ἡγουμένου, ἐστράτευσαν παραπλεύ-
σαντες ἐπ' ἀστακοῦ. καὶ ἀποβάντες ἐς τὴν μεσόγειαν τῆς ἀκαρ-
νανίας, τετρακοσίοις, μὲν ὁπλίταις ἀθηναίων τῶν ἀπὸ τῶν

νεῶν

νεῶν, τετρακοσίοις δὲ μεσσηνίων, καὶ ἔκ τε στρατοῦ, καὶ κο-
ρόντων, καὶ ἄλλων χωρίων, ἄνδρας οὐ δοκοῦντας βεβαίους
εἶναι ἐξήλασαν. καὶ κύνητα τὸν θεολύτου ἐς κόροντα κα-
ταγαγόντες ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. ἐς δὲ οἰνιά-
δας ἀεί ποτε πολεμίους ὄντας μόνους ἀκαρνάνων, οὐκ
ἐδόκει δυνατὸν εἶναι, χειμῶνος ὄντος στρατεύειν. ὁ γὰρ
ἀχελῷος ποταμὸς ῥέων ἐκ πίνδου ὄρους διὰ δολοπίαν,
καὶ ἀγραῶν, καὶ ἀμφιλόχων, καὶ διὰ τοῦ ἀκαρνανικοῦ πε-
δίου, ἄνωθεν μὲν παρὰ στρατὸν πόλιν, ἐς θάλασσαν διεξιεῖς
παρ' οἰνιάδας. καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπο-
ρον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. κεῖνται
δὲ καὶ τῶν νήσων τῶν ἐχινάδων αἱ πολλαὶ κατ' ἀντικρὺ
οἰνιάδων, τοῦ ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι.
ὥστε μέγας ὢν ὁ ποταμὸς, προσχοῖ ἀεί. καὶ εἰσὶ τῶν νή-
σων, αἳ ἠπείρωνται. ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν πολλῷ τινι
αὖ χρόνῳ τοῦτο παθεῖν. τό, τε γὰρ ῥεῦμά ἐστι μέγα, καὶ
πολὺ, καὶ θολερὸν, αἵ τε νῆσοι πυκναὶ, καὶ ἀλλήλαις καὶ
προσχώσεως τοῦ μὴ σκεδάννυσθαι, σύνδεσμοι γίγνονται
παραλλάξ, καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι
εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἔρημοι δ'
εἰσὶ, καὶ οὐ μεγάλαι. λέγεται δὲ καὶ ἀλκμαίωνι τοῦ
ἀμφιαρέω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον καὶ μη-
τρὸς, τὸν ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα
οὐκ εἶναι λύσιν τῶν δειμάτων. πρὶν ἂν εὑρὼν ἐν ταύτῃ
τῇ χώρᾳ κατοικήσηται, ἥ τις ὅτε ἔκτεινε τὴν μητέρα, μή
πω ὑπὸ ἡλίου ἑωρᾶτο, μηδὲ γῇ ἦν, ὡς καὶ γε ἄλλης αὐτῷ

μεμιασ-

μεμιασμένης. ὃ δ' ἀπορῶν ὥς φασι, μόλις κατεν ὁησε τὴν πρόσχωσιν ταύτην τοῦ ἀχελῴου. Ὃ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τοῦ σώματι, ἀφ' οὗπερ κτείνας τὴν μητέρα, οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ κατοικισθεὶς, ἐς τοὺς περὶ οἰνιάδας τόπους, ἐδυνάστευσέ τε, καὶ ἀπ' ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ, καὶ χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. τὰ μὲν οὖν περὶ ἀλκμαίωνα, τοιαῦτα λεγόμενα παρελάβομεν. οἱ δὲ ἀθηναῖοι καὶ ὁ φορμίων, ἄραντες ἐς καὶ ἀκαρνανίας, καὶ ἀφικόμενοι ἐς τὴν ναύπακτον, ἅμα ἦρι κατέπλευσαν ἐς τὰς ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς ναῦς, ἃς εἷλον, καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος. καὶ τρίτον ἔτος τοῦ πολέμου ἐτελεύτα τῷδε, ὃν θουκυδίδης ξανέγραψε.



ΘΟΥΚΥ=

ΘΟΥΚΥΔΙΔΟΥ

ΣΥΓΓΡΑΦΗΣ ΤΡΊΤΗΣ.



ΤΟΥ δ' ἐπιγιγνομένου θέρους πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι, ἅμα τῷ σίτῳ ἀκμάζοντι, ἐστράτευσαν ἐς τὴν ἀττικήν. ἡγεῖτο δὲ αὐτῶν ἀρχίδαμος ὁ ζευξιδάμου, λακεδαιμονίων βασιλεύς. καὶ ἐγκαθεζόμενοι, ἐδῄουν τὴν γῆν. καὶ προσβολαὶ ὥσπερ εἰώθεσαν ἐγίγνοντο τῶν ἀθηναίων ἱππέων, ὅπη παρείκοι. καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τὸ μὴ προσεξιόντας τῶν ὅπλων, τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις. μετὰ δὲ τὴν ἐσβολὴν τῶν πελοποννησίων εὐθὺς λέσβος, πλὴν μηθύμνης, ἀπέστη ἀπ' ἀθηναίων. βουληθέντες μὲν, καὶ πρὸ τοῦ πολέμου. ἀλλ' οἱ λακεδαιμόνιοι, οὐ προσεδέξαντο. ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διενοοῦντο ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν, καὶ τειχῶν οἰκοδόμησιν, καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ πόντου ἔδει ἀφικέσθαι, τοξότας τε, καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι, καὶ μηθυμναῖοι, καὶ αὐτῶν μιτυληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν πρόξενοι ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς ἀθηναίοις, ὅτι ξυνοικίζουσί τε τὴν λέσβον ἐς τὴν μιτυλήνην

βίᾳ, Ϲ τὴν παρασκευὴν ἅπασαν μετὰ λακεδαιμονίων, καὶ βοιωτῶν ξυγγενῶν ὄντων, ἐπὶ ἀποστάσει ἐπείγοντα. Ϲ εἰ μή τις προκαταλήψεται ἤδη, στρήσεσθαι αὐτοὺς λέσβου. οἱ δ' ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι, ὑπό τε τοῦ νόσου, καὶ τοῦ πολέμου ἄρτι καθισταμένου, καὶ ἀκμάζοντος) μέγα μὲν ἔργον ἡγοῦντο εἶναι λέσβον προσπολεμώσασθαι ναυτικὸν ἔχουσαν, Ϲ δύναμιν ἀκέραιον. Ϲ οὐκ ἀπεδέχοντο τὸ πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες, τοῦ μὴ βούλεσθαι ἀληθῆ εἶναι. ἐπειδὴ μέν τοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς μιτυληναίους τήν τε ξυνοίκησιν, Ϲ τὴν παρασκευὴν διαλύειν δείσαντες, προκαταλαβεῖν ἐβούλοντο. καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς, αἳ ἔτυχον περὶ πελοπόννησον παρεσκευασμέναι πλεῖν. κλεϊππίδης δὲ ὁ δεινίου, τρίτος αὐτὸς ἐστρατήγει. ἐσηγγέλθη γὰρ, αὐτοῖς, ὡς εἴη ἀπόλλωνος μαλόεντος ἔξω τοῦ πόλεως ἑορτή, ἐν ᾗ πανδημεὶ μιτυληναῖοι ἑορτάζουσι, Ϲ ἐλπίδα εἶναι ἐπειχθέντας, ἐπιπεσεῖν ἄφνω. καὶ ἦν μὲν ξυμβῇ ἡ πεῖρα. εἰ δὲ μὴ μιτυληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν. μὴ πειθομένων δὲ, πολεμεῖν. Ϲ αἱ μὲν νῆες ᾤχοντο. τὰς δὲ τῶν μιτυληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ πρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ ἀθηναῖοι. καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. τοῖς δὲ μιτυληναίοις, ἀνὴρ ἐκ τῶν ἀθηνῶν διαβὰς ἐς εὔβοιαν, καὶ πεζῇ ἐπὶ γεραιστὸν ἐλθὼν, ὁλκάδος ἀναγομένης ἐπιτυχὼν, πλῷ χρησάμενος, Ϲ τριταῖος ἐκ τῶν ἀθη-

νῶν ἐς

νῶν ἐς μιτυλήνην ἀφικόμενοι, ἀγγέλλει τὸν τῶν πλων-
οἱ δὲ οὔτε ἐς νοῦν μαλόντα ἔζηλθον, τά τε ἄλλα τῶν τα-
χῶν καὶ λιμένων πρὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύ-
λασσον. καὶ οἱ ἀθηναῖοι οὐ πολλῷ ὕστερον καταπλεύσαν-
τες, ὡς ἑώρων, ἀπήγαλαν μὲν ὁι στρατηγοὶ τὰ ἐπεσαλ-
μένα. οὐκ ἐσακουόντων δὲ τῶν μιτυληναίων, ἐς πόλεμον
καθίσαντο. ἀπαρασκεύοι δὲ ὄι μιτυληναῖοι καὶ ἀζιά-
φνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μιῶνα ἐποιή-
σαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ, ὀλίγον πρὸ τοῦ λι-
μένος. ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν ἀττικῶν νεῶν,
λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς
ναῦς τὸ παραυτίκα εἰ δύναντο, ὁμολογίᾳ γέ τινι ἐπιθε-
κεῖν ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν ἀθηναίων
ἀπεδέξαντο. καὶ αὐτοὶ φοβούμενοι, μὴ οὐχ ἱκανοὶ ὦσοι
λέσθαι πάσῃ πολεμεῖν, καὶ ἀνακωχὴν ποιησάμενοι,
πέμπουσιν ἐς τὰς ἀθήνας οἱ μιτυληναῖοι τῶν τε δια-
βαλλόντων ἕνα, ὃν μετέμελεν ἤδη, καὶ ἄλλους. εἴπως
πείσαιεν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν οὐδὲν νεωτερούντων.
οἳ τοῦτο μὲν ἀπορεύονται καὶ ἐς τὴν λακεδαίμονα πρέσ-
βεις ποιῆται, λαβόντες τὸ τῶν ἀθηναίων ναυτικόν, οἳ ὥρμουν
ἐν τῇ μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ ἐνόμιζον
τοῖς ἀπὸ τῶν ἀθηναίων προσχωρήσειν. καὶ οἱ μὲν ἐς τὴν
λακεδαίμονα ταλαιπώρως διὰ τὸ πελάγους κομισθέντες,
ἑαυτοῖς ἔπραξαν ὅπως τις βοήθεια ἥξει ὅτι δύνανται τῶν ἀθη-
ναίων πρέσβεις, ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον κατ-
έστησαν οἱ μιτυληναῖοι, καὶ ἡ ἄλλη λέσβος πλὴν μη-

θύμνης. οὗτοι δὲ τοῖς ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Μεθυμναῖοι, καὶ λήμνιοι, καὶ τῶν ἄλλων ὀλίγοι ἱππῆς ξυμμάχων. καὶ ἔξοδον μέν τινα ποιήσασθαι οὐ μιτυληναῖοι, ἐπὶ δὲ τὸν ἀθηναίων στρατόπεδον. καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ μιτυληναῖοι, οὔτε ἐπεκυλίσαντο, οὔτε ὑπεδύσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν. ἔπειτα οἱ μὲν ἡσύχαζον ἐκ πελοποννήσου, καὶ μετ' ἄλλης πρασκευῆς βουλόμενοι, εἰ προσγένοιτό τι κινδυνεύειν. οἱ γὰρ αὐτοῖς μελέας λάκων ἀφικνεῖτο, καὶ ἐρμαιώνδας θηβαῖος, οἳ προαπεσάλπισαν μὲν τῆς ἀπράσιας. φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν ἀθηναίων ὑπόπλουν, κρύφα μετὰ τὴν μάχην ὕστερον ἐπλέουσι τριήρει. καὶ παρῆνουν πέμπειν τριήρη ἄλλην, καὶ πρέσβεις μετ' ἐαυτῶν. καὶ ἐκπέμπουσιν. οἱ δὲ ἀθηναῖοι πολὺ ἔτι ἐξῳκοδομένης διὰ τὴν τῶν μιτυληναίων ἡσυχίαν, ξυμμάχους τε προσκάλυμμα, οἱ πολὺ θάσιον παρῆσαν, ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν λεσβίων. καὶ προσμισάμενοι, τὸ πρὸς νότον τῆς πόλεως, ἐπεῖχον σταθμὸν δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. ὥστε μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς μιτυληναίους. τῆς δὲ γῆς τῷ μὲν ἄλλῃ ἐκράτουν οἱ μιτυληναῖοι, οἱ δὲ ἄλλοι λέσβιοι προσβεβοηθηκότες ἦσαν. τὸ δὲ πρὸς τὰ στρατόπεδα, οὐ πολὺ κατεῖχον οἱ ἀθηναῖοι. ναύσταθμον δὲ μᾶλλον εἶχον αὐτοῖς πλοῖα, καὶ ἀγοράς, ἡ μαλέα. καὶ τὰ μὲν πρὸς μιτυλήνην, οὕτως ἐπολεμεῖτο. κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου ἀθηναῖοι, καὶ ἐς πελοπόννησον ναῦς ἀπέστειλαν

λαν τριάκοντα, καὶ ἀσώπιον τὸν φορμίωνος στρατυγόν, κελεύσαντων ἀκαρνάνων τὸν φορμίωνός τινα σφίσι πέμψαι, ἢ ἡόν, ἢ ξυγγενῆ ἄρχοντα. καὶ παραπλέουσαι αἱ νῆες, τὴν λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ ἀσώπιος. αὐτὸς δ' ἔχων δώδεκα, ἀφικνεῖται ἐς ναύπακτον. καὶ ὕστερον ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ' οἰνιάδας. καὶ ταῖς τε ναυσὶ κατὰ τὸν ἀχελῷον ἔπλευσε. καὶ ὁ κατὰ γῆν στρατὸς, ἐδῄου τὴν χώραν. ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν. αὐτὸς δὲ πλεύσας ἐς λευκάδα, καὶ ἀπόβασιν ἐς νήρικον ποισάμενος ἀναχωρῶν διαφθείρεται αὐτός τε, καὶ τῶν στρατιᾶς τι μέρος, ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων, καὶ φρουρῶν τινων ὀλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ ἀθηναῖοι παρὰ τῶν λευκάδων ἐκομίσαντο. οἱ δὲ ἐπὶ τῶν πρώτης νεὼς ἐκπεμφθέντες μιτυληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ λακεδαιμόνιοι εἶπον ὀλυμπίαζε πρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν ὀλυμπίαν. ἦν δὲ ὀλυμπιὰς ᾗ δοριεὺς ῥόδιος τὸν δεύτερον ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν εἰς λόγους, εἶπον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΜΙΤΥΛΗΝΑΙΩΝ.

Τὸ μὲν καθεστὼς τοῖς ἕλλησι νόμιμον ὦ ἄνδρες λακεδαιμόνιοι, καὶ ξύμμαχοι ἴσμεν. τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας,

πόντας, οἱ δεξάμενοι καθ' ὅσον μὲν ὠφελοῦνται, οὐ ἡδονῇ ἔχουσι νομίζοντες δὲ εἶναι προδότας τῶν πέλας, χείρους ἡγοῦνται· καὶ οὐ ἄδικοι αὕτη ἡ ἀξίωσις ὅταν τύχωσιν πρὸς ἀλλήλους οἵπερ ἀφεισάμενοι, καὶ ἀφ' ὧν διακρίνοντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες, καὶ ἑκουσίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ, καὶ δυνάμει. πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι οὐ ἀποστάσεως, ὃ ἡμῖν καὶ ἀθλιωτάτοις οὐκ ἦν. μηδὲ τοῦ χείρους δόξωμεν εἶναι, εἰ ὧν τῇ εἰρήνῃ, ἀμώμητοι ὑπ' ἀντῶν, ἐν τοῖς δεινοῖς ἀφεισάμεθα. πορεῖ γὰρ τοι τὸ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι τοὺς λόγους ποιησόμεθα. εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μιᾶ ἀρετῆς δοκόσης, ἐς ἀλλήλους γίγνοιντο· καὶ τὰλλα ὁμοιότροποι εἶεν. ἐν γὰρ τοῦ διαλλάσσονται οὐ γνώμης, καὶ ἂν διαφοραὶ τῶν ἔργων καθίστανται ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγγύετο, πρῶτον ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ μηδικοῦ πολέμου, παραμενάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων, ξύμμαχοι μὲν τοι ἐγκαλούμεθα, οὐκ ἐπὶ καταδουλώσει τῶν ἑλλήνων ἀθλιωτάτοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ μήδου τοῖς ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἵπόμεθα. ἐπειδὴ δὲ ἐωρῶμεν αὐτοὺς, τὸν μὲν τοῦ μήδου ἔχθραν ἀνιέντας, τὸν δὲ τῶν ξυμμάχων δουλωσιν ἐπαγομένους, οὐκ ἀσφαλὲς ἔτι ἦμεν ἀδώτους· δεδοῦντες, καὶ ἐμ μιᾷ πόλει δι' πολυφωνίαν ἁμαρτάδα. οἱ ξύμμαχοι ἐδουλώθησαν, πλὴν ἡμῶν καὶ Χίων. ἡμεῖς δὲ αὐτόνομοι

νομοι δὴ ὄντες, καὶ ἐλεύτεροι τοῦ ὀνόματι, ξυνεστρατεύ-
σαμεν, καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας ἀθηναίους,
παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι οὐ γὰρ εἰκὸς
ἦν αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο κα-
ταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴ ποτε ἄρα ἐδυνήθη-
σαν, μὴ δρᾶσαι τοῦτο. Ὁ εἰ μὴ αὐτόνομοι ἔτι ἦμεν ἅπαν-
τες, βεβαιότεροι ἂν ἦσαν μηδὲν νεωτεριεῖν. ὑποχειρίους
δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες,
χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν. Ὁ πρὸς τὸ πλεῖον
ἤδη εἶκον, τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως τε,
καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο, καὶ ἡμεῖς
ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον, πιστὸν ἐς ξυμ-
μαχίαν. ὁ γὰρ παραβαίνειν τι βουλόμενος, τὸ μὴ προέ-
χων ἐπελθεῖν ἀπετρέπεται. αὐτόνομοί τε ἐλείφθημεν οὐ
δι' ἄλλο τι, ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν, εὐπρεπείᾳ τε λόγου,
καὶ γνώμης μᾶλλον ἐφόδῳ, ἢ ἰσχύος, τὰ πράγματα
ἐφαίνετο καταληπτά. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο,
μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπή-
εσαν, ξυστρατεύειν. ἐν τοῦ αὐτῷ δὲ καὶ τὰ κράτιστα ὑπῆ-
τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον, καὶ τὰ τελευ-
ταῖα λιπόντες, τοῦ ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελ-
λον ἕξειν. εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάν-
των, αὐτῶν τε ἰσχὺν, Ὁ πρὸς ὅ, τι χρὴ στῆναι οὐκ ἂν ὁμοί-
ως ἐχειρώσαντο. τό, τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον,
μή ποτε καθ' ἓν γενόμενον, ἢ ὑμῖν, ἢ ἄλλῳ τῳ προσθέ-
μενον, κίδυνον σεῖσι παράσχῃ. τὰ δὲ καὶ ἀπὸ θεραπείας

τοῦ τε

τῶν τε κοινῇ ἀυτῶν, & ἐφ' ἡμῖν ἀεὶ προεσώτων πρὸς ἐγγυόμε-
θα. οὐ μὴν τοι ἐπισολγ' ἂν ἐδοκοῦμεν δικαιοῦσθαι, εἰ
μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς
ἐς τοὺς ἄλλους. τίς σοφὸς αὐτὴ ἡ ξυμμαχία ἐγίγνετο, ἢ ἐλευθερίᾳ
πίστει, ἣν ἡ παρὰ γνώμην ἀλλήλους ὑποδεχόμεθα. καὶ οἱ
μὲν ἡμᾶς ἐν ξυμπολέμῳ δεδιότες ἐθεράπευον. ἡμεῖς δὲ
ἐκείνους ἐν τῇ ἡσυχίᾳ ταυτὸ ἐποιοῦμεν. ὅ, τε πρὸς ἄλλοις
μάλιστα ἔωθασι πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυ-
ρὸν παρεῖχε. δέει τε πολὺ πλέον, ἢ ξυμμαχίᾳ κατεχόμενοι ξύμ-
μαχοι ἦμεν. καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλειαν
πράσσειν, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. ὥστε
εἴ τινα δοκοῦμεν ἀδικεῖν, προαποστάντες διὰ τὴν ἐκείνων
μέλησιν σφῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναν-
τες, σαφῶς εἰδέναι εἰ ἃ αὐτῶν ἔστι, οὐκ ὀρθῶς σκοπεῖ. εἰ
γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι, καὶ
ἀντεπιμελῆσαι, τί ἔδει ἡμᾶς ἐκ τ' ὁμοίου ἐπ' ἐκείνοις εἶναι;
ἐκὼν ἐκείνοις δ' ὄντος ἀεί τι ἐπιχειρεῖν, καὶ ἐφ' ἡμῖν εἶναι
δεῖ τὸ προαμύνασθαι. τοιαύτας ἔχοντες προφάσεις καὶ
αἰτίας ὦ λακεδαιμόνιοι, καὶ ξύμμαχοι ἀπέστημεν. σα-
φεῖς μὲν τοῖς ἀκούσι γνῶναι, ὡς εἰκότως ἐδράσαμεν.
ἱκανὰς δ' ἡμᾶς ἐκφοβῆσαι, καὶ πρὸς ἀσφάλειαν ἅνα τρέ-
ψαι, βουλόμεθα μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ
ἐπέμψαμεν ὡς ὑμᾶς, περὶ ἀφιστάσεως ὑμῶν δὲ οὐ προσ-
δεξαμένων κωλυθέντες. νῦν δὲ ἐπειδὴ βοιωτοὶ πρόφασιν
λέσαντο, εὐθὺς ὑπεκόσαμεν, καὶ νομίζομεν ἀποσκευὴ
ἁπλῆ ἀποστάσιν, ἀπότε τὰ ἔπλων, μὴ ὡς κακῶς ποιεῖν
αὐτοὺς

αὐτοὺς μετ' ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε ἀθη-
ναίων μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ
προποιῆσαι. ἡ μὲν τοι ἀπόστασις ἡμῶν, θᾶσσον γεγένη-
ται, καὶ ἀπαράσκευος, ἢ καὶ μᾶλλον χρὴ ξυμμάχους δε-
ξαμένους ἡμᾶς, διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαί-
νησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ ἐν τῷδε αὐτῷ τοὺς πολε-
μίους βλάπτοντες. καιρὸς δὲ, ὡς οὔπω πρότερον. νόσῳ τε
γὰρ ἐφθάραται ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ. νῆές
τε αὐτοῖς, αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν,
τετάχατο. ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἢν
ὑμεῖς ἐν τῷδε θέρει τῷδε, ναυσί τε καὶ πεζῷ ἅμα ἐπεβάλητε
τὸ δεύτερον. ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ
ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλ-
λοτρίας γῆς πέρι, οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ
μακρὰν ἀπεῖναι ἡ λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν
παρέξει. οὐ γὰρ ἐν τῇ ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις
οἴεται, ἀλλὰ δι' ἣν ἡ ἀττικὴ ὠφελεῖτο. ἔστι δὲ τῶν χρημά-
των ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ
ἡμᾶς καταστρέψοντο. οὔτε γὰρ ἀποστήσετο ἄλλος, τά τε ἡμέ-
τερα προσγενήσεται. πάθοιμεν τ' ἂν δεινότερα, ἢ οἱ πρὶν
δουλεύοντες. βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε
προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλι-
στα προσδεῖ, καὶ ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες
αὐτῶν τοὺς ξυμμάχους. θρασύτερον γὰρ πᾶς τις προσχω-
ρήσεται. τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν ἔχετε μὴ βοηθεῖν
τοῖς ἀεισαμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κρά-

τὸς τοι πολέμου βεβαιότερον ἕξετε. αἰσχυνθέντες οὖν τάς τε τῶν ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας, καὶ διὰ τὸν ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμὲν ἐπαμύνατε, μιτυληναίοις ξύμμαχοι γενόμενοι. καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἔκ τοι κατορθῶσαι ὠφέλειαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ μὴ πεισθέντων ὑμῶν σφαλησώμεθα. γίγνεσθε δὴ ἄνδρες, οἵους πρὸς ὑμᾶς, οἵ τε ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον δέος βούλεται. τοιαῦτα μὲν οἱ μιτυληναῖοι εἶπον. οἱ δὲ λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, ἐπειδὴ ἤκουσαν, προδεξάμενοι τοὺς λόγους, ξυμμάχους τε τοὺς λεσβίους ἐποιήσαντο, καὶ τὴν ἐς τὴν ἀττικὴν ἐσβολὴν, τοῖς τε ξυμμάχοις παροῦσι κατατάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο. καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ, ὡς ὑποροίσοντες ἐκ τῆς κορίνθου ἐς τὴν πρὸς ἀθήνας θάλασσαν, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον. οἱ δὲ ἄλλοι ξύμμαχοι, βραδέως τε ξυνελέγοντο, καὶ ἐν καρπῷ ξυγκομιδῇ ἦσαν, καὶ ἀῤῥωστίᾳ τοι στρατεύειν. αἰσθόμενοι δὲ αὐτοὺς οἱ ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τε εἰσὶ μὴ κινοῦντες τὸ ἐπὶ λέσβῳ ναυτικὸν, καὶ τὸ ἀπὸ πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν, ἐσβάντες αὐτοί τε, πλὴν ἱππέων, καὶ πεντακοσιομεδίμνων, καὶ

οἱ μέτοικοι,

οἱ μέτοικοι, καὶ περὶ τὸν ἰσθμὸν ἀναγαγόντες, ὠνδείξιν τε ἐποιοῦντο, καὶ ἀπεβάσεις καὶ πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς. οἱ δὲ λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν παράλογον. τά τε ὑπὸ τῶν λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν. ⊂ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν πελοπόννησον τριάκοντα νῆες τῶν ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅτι πέμψουσιν ἐς τὴν λέσβον. καὶ κατὰ πόλεις ἐπήγγελον τεσσαράκοντα νεῶν πλῆθος. καὶ νάυαρχον παροσέταξαν ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ ⊂ οἱ ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους εἶδον καὶ κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον. ἐν τοῖς πλεῖσαι δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο. παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ ἀττικὴν, καὶ εὔβοιαν, καὶ σαλαμῖνα, ἑκατὸν ἐφύλασσον. καὶ περὶ πελοπόννησον, ἕτεραι ἑκατὸν ἦσαν. χωρίς δὲ αἱ περὶ ποτίδαιαν, καὶ ἐν τοῖς ἄλλοις χωρίοις. ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι, καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ ποτιδαίας. τήν τε γὰρ ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν. αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε καὶ ἡμέρας. τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν. ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ φορμίωνος, οἱ προαπῆλθον. νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν χρήματα, οὕτως ὑπαναλώθη

τὸ πρῶτον. καὶ νῆες τοσαῦται δὴ πλεῖσαι ἐπληρώθησαν, μιτυληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν, ἐπὶ μήθυμναν, ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε, καὶ οἱ ἐπίκουροι. Ὁ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ᾗ προσεδέχοντο, ἀπῆλθον ἐπ' ἀντίσσης, καὶ πύρας, καὶ ἐρέσου. καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα, καὶ τείχη κρατύναντες, διατάχους ἀπῆλθον ἐπ' οἴκου. ἐστράτευσαν δὲ καὶ οἱ μηθυμναῖοι, ἀναχωρησάντων αὐτῶν ἐπ' ἄντισσαν. καὶ ἐκ βοηθείας τινὸς γενομένης, πληγέντες ὑπό τε τῶν ἀντισσαίων, καὶ τῶν ἐπικούρων, ἀπέθανόν τε πολλοὶ, καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατατάχος. οἱ δ' ἀθηναῖοι πυνθανόμενοι ταῦτα, τούς τε μιτυληναίους καὶ γῆς κρατοῦντας, καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον, πάχητα τὸν ἐπικούρου στρατηγόν, Ὁ χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δὲ αὐτερέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται, καὶ περιτειχίζουσι μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει. φρούρια δέ ἐστιν οἷ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. καὶ ἡ μὲν μιτυλήνη κατακράτος ἤδη ἀμφοτέρωθεν, καὶ ἐκ γῆς, καὶ ἐκ θαλάσσης εἴργετο. Ὁ ὁ χειμὼν ἤρχετο γίγνεσθαι. προσδεόμενοι δὲ οἱ ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν, καὶ αὐτοὶ ἐσενεγκόντες, τότε πρῶτον εἰσφορὰν διακόσια τάλαντα ἐξεπέμψαν, καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους, ναῦς δώδεκα. καὶ λυσικλέα πέμπτον αὐτὸν στρατηγόν. ὁ δὲ ἄλλά τε ἠργυρολόγει, καὶ

πρὶ ἔπλει,

πορίεπλει. καὶ ἐν καρίας ἐκ μυοῦντος ἀναβὰς διὰ τοῦ
μαιάνδρου πεδίου μέχρι τοῦ σανδίου λόφου, ἐπιθεμένων τῶν
καρῶν, καὶ ἀναϊτῶν, αὐτός τε διαφθείρεται, καὶ ἐν ἄλλῃς
στρατιᾶς πολλοί. τοῦ δ' αὐτοῦ χειμῶνος, οἱ πλαταιεῖς
(ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν πελοποννησίων, καὶ βοιω-
τῶν) ἐπειδὴ τοῦ τε σίτου ἐπιλιπόντι ἐπιέζοντο, καὶ ἀπὸ
τῶν ἀθηναίων οὐδεμία ἦν ἐλπὶς τιμωρίας, οὐδὲ ἄλλη σω-
τηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε, καὶ ἀθηναίων οἱ
ξυμπολιορκούμενοι, πρῶτον μὲν πάντες ἐξελθεῖν, καὶ ὑπερ-
βῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι,
ἐσηγησαμένων τὴν πεῖραν αὐτοῖς, θεαινέτου τε τοῦ τιμίδου,
ἀνδρὸς μάντεως, καὶ εὐμολπίδου τοῦ δαϊμάχου, ὃς καὶ
ἐστρατήγει. ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως, τὸν
κίνδυνον μέγαν ἡγησάμενοι. ἐς δὲ ἄνδρας διακοσίους καὶ
εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταί, τρόπῳ
τοιῷδε. κλίμακας ἐποιήσαντο ἴσας τοῦ τείχει τῶν πολε-
μίων. ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων ἢ
ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τοῦ τεῖχος αὐτῶν.
ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς. καὶ ἔμελλον οἱ
μὲν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς
λογισμοῦ. ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες, καὶ ἅμα.
οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβού-
λοντο τοῦ τείχους. τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμά-
κων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους καὶ πλίνθου εἰκάσαντες
τὸ μέτρον. τοῦ δὲ τεῖχος ἦν τῶν πελοποννησίων τοίονδε τῇ
οἰκοδομήσει: εἶχε μὲν δύο τοὺς περιβόλους πρός τε

 πλαταιέων,

πλαταιέων, καὶ εἴ τις ἔξωθεν ἀπ' ἀθηνῶν ἐπίοι. διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων. τὸ οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο. καὶ ἦν ξυνεχῆ, ὥστε ἓν φαίνεσθαι τεῖχος παχύ, ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. διὰ δέκα δὲ ἐπάλξεων πύργοι, ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τοῦ τείχει. διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοὶ, καὶ οἱ αὐτοὶ, καὶ ἐς τὸ ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῄεσαν. τὰς οὖν νύκτας ὁπότε χειμὼν εἴη νοτερὸς, τὰς μὲν ἐπάλξεις, ἀπέλειπον. ἐκ δὲ τῶν πύργων ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν, τῶν φυλακὴν ἐποιοῦντο, τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ πλαταιῆς, τοιοῦτον ἦν. οἷδ' ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ, καὶ ἅμ' ἀσέλήνον ἐξῄεσαν. ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτούς. ἔπειτα προσέμιξαν τοῦ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τοῦ ἐκ τοῦ προσιέναι αὐτούς, ἀντιπαταγοῦντος τοῦ ἀνέμου, οὐ κατακουσάντων. ἅμα δὲ καὶ διέχοντες πολὺ, ᾔεσαν ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα, αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει, καὶ τὸν ἀριστερὸν μόνον πόδα ὑποδεδεγμένοι ἀσφαλείας ἕνεκα καὶ πρὸς τὸν πηλόν. κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἔρημοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν. ἔπειτα ψιλοὶ δώδεκα,

ξὺν

ξὺν ξιφιδίῳ, καὶ θώρακι ἀνέβαινον. ὧν ἡγεῖτο ἀμμέας ὁ κοροίβου, καὶ πρῶτος ἀνέβη. μετὰ δὲ αὐτὸν, οἱ ἑπόμενοι, ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον. ἔπειτα ψιλοὶ ἄλλοι, μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν. καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἴησαν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες. κατέβαλε γάρ τις τῶν πλαταιέων, ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα. ἣ πεσοῦσα, ψόφον ἐποίησε, καὶ αὐτίκα βοὴ ἦν. τὸ δὲ στρατόπεδον, ἐπὶ τὸ τεῖχος ὥρμησεν. οὐ γὰρ ᾔδει, ὅ, τι ἦν τὸ δεινὸν, σκοτεινῆς νυκτὸς, καὶ χειμῶνος ὄντος. καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν πλαταιέων ὑπολελειμένοι ἐξελθόντες, προσέβαλλον τῷδ' τείχει τῶν πελοποννησίων ἐκ τοὔμπαλιν, ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες. βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον, καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοι τείχους πρὸς τὴν βοήν. φρυκτοὶ τε ᾔροντο ἐς τὰς θήβας πολέμιοι. παρανίχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως πλαταιῆς ἀπὸ τοι τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ, καὶ μὴ βοηθοῖεν, ἄλλό τι νομίσαντες τὸ γιγνόμενον εἶναι, ἢ τὸ ὄν. πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν, καὶ τοι ἀσφαλοῦς ἀντιλάβοιντο. οἱ δ' ὑπερβαί-

νοντες

νοντες τῶν πλαταιέων ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀνα-
βεβήκεσαν, καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθεί-
ραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων αὐτοὶ
ἐνστάντες ἐφύλασσον, μηδένα δι' αὐτῶν ἐπιβοηθεῖν. καὶ
κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις, καὶ
ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων,
τοὺς ἐπιβοηθοῦντας κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλον-
τες. οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες κλίμα-
κας ἅμα, καὶ τὰς, ἐπάλξεις ἀπώσαντες διὰ τοῦ μετα-
πυργίου ὑπερέβαινον. ὁ δὲ διακομιζόμενος ἀεὶ, ἵστατο
ἐπὶ τοῦ χείλους καὶ τάφρου. καὶ ἐντεῦθεν ἐτόξευόν τε, καὶ
ἠκόντιζον, εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος, κωλυτὴς
γίγνοιτο καὶ διαβάσεως. ἐπεὶ δὲ πάντες διεπεπεραίωντο
οἱ ἀπὸ τῶν πύργων, χαλεπῶς οἱ τελευταῖοι καταβαίνον-
τες, ἐχώρουν ἐπὶ τὴν τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι
αὐτοῖς ἐπεφέροντο, λαμπάδας ἔχοντες. οἱ μὲν οὖν πλα-
ταιῆς, ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους, ἑστῶτες ἐπὶ
τοῦ χείλους καὶ τάφρου. καὶ ἐτόξευόν τε, καὶ ἐσηκόντιζον ἐς
τὰ γυμνά. αὐτοὶ δὲ ἐν τῷ ἀφανεῖ ὄντες. ἧσσον διὰ τὰς
λαμπάδας καθεωρῶντο, ὥστε φθάνουσι τῶν πλαταιέων καὶ
οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως,
κρύσταλλός δὲ γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ, ὥστ' ἐπελ-
θεῖν, ἀλλ' οἷος ἀπηλιώτου, ἢ βορέου, ὑδατώδης μᾶλλον,
καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονιφομένη, πολὺ τὸ ὕδωρ ἐν
αὐτῇ ἐπέποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν.
ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χει-
μῶνος

μῶνος τὸ μέγεθος. ὁρμήσαντες δὲ ἀπὸ καὶ τάφρου οἱ πλαταιῆς, ἐχώρουν ἀθρόοι τὴν ἐς θήβας φέρουσαν ὁδόν, ἐνδεξιᾷ ἔχοντες τὸ τοῦ ἀνδροκράτους ἡρῷον, νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι, τὴν ἐς τοὺς πολεμίους, καὶ ἅμα ἑώρων τοὺς πελοποννησίους τὴν πρὸς κιθαιρῶνα καὶ δρυὸς κεφαλὰς, τὴν ἐπ' ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ πλαταιεῖς τὴν ἐπὶ τῶν θηβῶν ἐχώρησαν. ἔπειθ' ὑποστρέψαντες, ᾔεσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδόν, ἐς ἐρύθρας, καὶ ὑσίας. καὶ λαβόμενον τῶν ὀρῶν, διαφεύγουσιν ἐς τὰς ἀθήνας ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων. εἰσὶ γάρ τινες αὐτῶν, οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαίνειν. εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. οἱ μὲν οὖν πελοποννήσιοι κατὰ χώραν ἐγένοντο, καὶ βοηθείας παυσάμενον. οἱ δ' ἐκ καὶ πόλεως πλαταιεῖς, τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων, ὡς οὐδεὶς περίεσι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς. μαθόντες δὲ τὰ ἀληθὲς, ἐπαύσαντο. οἱ μὲν δὴ τῶν πλαταιέων ἄνδρες, οὕτως ὑπερβάντες ἐσώθησαν. ἐκ δὲ καὶ λακεδαίμονος, τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος, ἐκπέμπεται σάλαιθος ὁ λακεδαιμόνιος ἐς μιτυλήνην τριήρει, καὶ πλεύσας ἐς πύῤῥαν, καὶ ὀξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινὰ, ᾗ ὑπερβατὸν ἦν τὸ πρὶ τείχισμα, διαλαθὼν εἰσέρχεται ἐς τὴν μιτυλήνην, καὶ ἔλεγε τοῖς προέδροις, ὅτι ἐσβολή τε ἅμα ἐς τὴν ἀττικὴν ἔσται, καὶ αἱ

τεσσαράκοντα νῆες παρέσονται, ἃς ἔδει βοηθῆσαι αὐτοῖς, προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα, καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος. καὶ οἱ μὲν μιτυληναῖοι ἐθάρσουν τε, καὶ πρὸς τοὺς ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην, ὥστε ξυμβαίνειν. ὅ, τε χειμὼν ἐτελεύτα οὗτος, καὶ τέταρτον ἔτος τοῦ πολέμου ἐτελεύτα τῷδε, ὃν θουκυδίδης ξυνέγραψε. τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ πελοποννήσιοι, ἐπειδὴ τὰς ἐς μιτυλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν ἔχοντα ἀλκίδαν, ὃς ἦν αὐτοῖς νάυαρχος, προστάξαντες, αὐτοὶ ἐς τὴν ἀττικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον, ὅπως οἱ ἀθηναῖοι ἀμφοτέρωθεν θορυβούμενοι, ἧσσον ταῖς ναυσὶν ἐς τὴν μιτυλήνην καταπλεούσαις ἐπιβοηθήσωσιν. ἡγεῖτο δὲ καὶ ἐσβολῆς ταύτης, κλεομένης ὑπὲρ παυσανίου τοῦ πλειστοάνακτος ἡέος, βασιλέως ὄντος, καὶ νεωτέρου, ἔτι πατρὸς ἀδελφὸς ὤν. εδῄωσαν δὲ καὶ ἀττικῆς τά τε πρότερον τετμημένα, καὶ εἴ τι ἐβεβλαστήκει, καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο. καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς ἀθηναίοις, μετὰ τὴν δευτέραν. ἐπιμένοντες γὰρ ἀεὶ ἀπὸ καὶ λέσβου τί πεύσεσθαι τῶν νεῶν ἔργον, ὡς ἤδη πεπεραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς, ὧν προσεδέχοντο, καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις. οἱ δὲ μιτυληναῖοι ἐν τούτῳ ὡς ἅι τε νῆες αὐτοῖς οὐχ ἧκον ἀπὸ καὶ πελοποννήσου, ἀλλὰ ἐνεχρόνιζον, καὶ ὁ σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς ἀθηναίους διὰ τάδε. ὁ

σάλαιθος

σάλαιθον καὶ αὐτοὺς οὐ προσδεχόμενον ἔτι τὰς ναῦς, ἁπλίζεται τὸν δῆμον, πρότερον φιλόπολιν ὄντα, ὡς ἐπιχειροῦντι τοῖς ἀθηναίοις. οἱ δὲ ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων. καὶ ξυλλόγους τε γιγνομένους, ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερόν, καὶ διανέμειν ἅπασιν. ἢ αὐτοὶ ξυγχωρήσαντες πρὸς ἀθηναίους, ἔφασαν παράδώσειν τὴν πόλιν. γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν, οὔτ' ἀπρακτολύσειν δυνατοὶ ὄντες, εἴτ' ἀπομοναθήσονται ξυμβάσεως κινδυνεύσοντες, ποιοῦνται κοινὴν ὁμολογίαν, πρός τε πάχητα, καὶ τὸ στρατόπεδον, ὥστε ἀθηναίοις μὴ ξένην βουλεῦσαι περὶ μιτυληναίων ὁποῖον ἄρα βούλονται, καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς. πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς ἀθήνας μιτυληναίους περὶ ἑαυτῶν. ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι, πάχητα μήτε δῆσαι μιτυληναίων μηδένα, μήτ' ἀνδραποδίσαι, μήτε ἀποκτεῖναι, ἢ μὴν ξύμβασις αὕτη ἐχέτω. οἱ δὲ πράξαντες πρὸς τοὺς λακεδαιμονίους, μάλιστα τῶν μιτυληναίων περιόντες ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὁμως καθίζουσι. πάχης δ' ἀναστήσας αὐτούς. ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς τενέδον, μέχρις οὗ τοῖς ἀθηναίοις τι δόξῃ. πέμψαι δὲ καὶ ἐς τὴν ἄλλαν τὴν ἔσχον πρόσοδον ἐκτήσατο. καὶ τἄλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ἢ αὐτῷ ἐδόκει. οἱ δὲ ἐν ταῖς ναυσὶ πελοποννήσιοι, οὓς ἔβλαψε μάχη παραγενέσθαι πλέοντες, περί τε αὐτὴν τὴν πελοποννησον ξυνδιέτριψαν, καὶ τὸν ἄλλον πλοῦν σχολαῖοι κομι-

σθέντες, τοὺς μὲν ἐκ τῆς πόλεως ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ δήλῳ προσέσχον. προσμίξαντες δὲ ἀπ' αὐτῆς τῇ ἰκάρῳ, καὶ μυκόνῳ, πυνθάνονται πρῶτον ὅτι ἡ μιτυλήνη ἑάλωκε. βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι, κατέπλευσαν ἐς ἔμβατον τῆς ἐρυθραίας. ἡμέραι δὲ μάλιστα ἦσαν τῇ μιτυλήνῃ ἑαλωκυίᾳ ἑπτὰ ὅτ' ἐς τὸν ἔμβατον κατέπλευσαν. πυθόμενοι δὲ τὸ σαφὲς, ἐβουλεύοντο ἐκ τῶν πρόντων. καὶ ἔλεξεν αὐτοῖς τευτίαπλος ἀνὴρ ἠλεῖος τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΤΕΥΤΙΑΠΛΟΥ.

Αλκίδα, καὶ πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες καὶ στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ μιτυλήνην, πρὶν ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν. κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων, πολὺ τὸ ἀφύλακτον εὑρήσομεν. κατὰ μὲν θάλασσαν, καὶ πάνυ, ἢ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον. καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα. εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον ὡς κεκρατηκότων διεσπάρθαι. εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον εἴ τις ἄρα ἡμῖν ἐστιν ὑπόλοιπος ἔσεσθαι, καταληφθῆναι ἄν τὰ πράγματα, καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλό τι εἶναι, τὸ καινὸν τοι πολέμου, ἢ τὸ τοιοῦτον, ὃ εἴ τις στρατηγὸς ἔντε αὐτῷ φυλάσσοιτο, καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη πλεῖστ' ἂν ὀρθοῖτο. ὁ μὲν τοσαῦτα εἰπὼν, οὐκ ἔπειθε τὸν ἀλκίδαν. ἄλλοι δὲ τινες τῶν ἀπ' ἰωνίαν φυγάδων, καὶ οἱ λέσβιοι ξυμπλέοντες, παρήνουν,

ἐπειδὴ

ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν ἰωνίᾳ πόλε-
ων καταλαβεῖν τινα, ἢ κύμην τὴν αἰολίδα, ὅπως ἐκ πό-
λεως ὁρμώμενοι, τὴν ἰωνίαν ἀποστήσωσιν. ἐλπίδα δ'
εἶναι. οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι. καὶ τὸ πρόσοδον
ταύτην μεγίστην οὖσαν ἀθηναίων, ἢν ὑφέλωσι, καὶ ἅμα
ἢν ἐφορμῶσιν αὐτοὺς, σφίσι δαπάνη γίγνεται, πείσειν
τε οἴεσθαι καὶ πισσούθνην, ὥστε ξυμπολεμεῖν. ὁ δὲ οὐδὲ ταῦ-
τα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον καὶ γνώμης εἶχεν. ἐπει-
δὴ καὶ μιτυλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ πελοποννήσῳ
πάλιν προσμίξαι. ἄρας δὲ ἐκ τοῦ ἐμβάτου παρέπλει. καὶ
προσχὼν μυονήσῳ τῇ τηίων, τοὺς αἰχμαλώτους, οὓς κατὰ
πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς. καὶ ἐς τὴν ἔφεσον
καθορμισαμένου αὐτοῦ, σαμίων τῶν δὲ ἀναίων ἀφικόμε-
νον πρέσβεις, ἔλεγον οὐ καλῶς τὸ ἑλλάδα ἐλευτεροῦν αὐ-
τὸν, εἰ ἄνδρας διέφθειρεν, οὔτε χεῖρας ἀνταιρομένους, οὔτε
πολεμίους. ἀθηναίων δὲ ὑπ' ἀνάγκης ξυμμάχους. εἰ δὲ μὴ
παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσ-
άξεσθαι. πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. καὶ
ὁ μὲν ἐπείσθητε, καὶ χίων ἄνδρας ὅσους εἶχεν ἔτι ἀφῆκε,
καὶ τῶν ἄλλων τινάς. ὁρόντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι,
οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον, ὡς ἀττικαῖς. καὶ
ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον, μή ποτε ἀθηναίων καὶ
θαλάσσης κρατούντων, ναῦς πελοποννησίων εἰς ἰωνίαν πα-
ραβαλεῖν. ἀπὸ δὲ τῆς ἐφέσου ὁ ἀλκίδας ἔπλει κατατάχος,
καὶ φυγὴν ἐποιεῖτο. ὤφθη γὰρ ὑπὸ καὶ σαλαμινίας καὶ
παράπλου, ἔτι περὶ κλάρον ὁρμῶν. αἱ δ' ἀπ' ἀθηνῶν ἔτυ-

χον πλέουσαι. καὶ δεδιὼς τὴν διώξιν, ἔπλει διὰ τοῦ πε-
λάγους, ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ, ἢ πελοποννήσῳ.
τοῦ δὲ πάχητι καὶ τοῖς ἀθηναίοις, ἦλθε μὲν καὶ ἀπὸ τῆς
ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν. ἀτει-
χίστου γὰρ οὔσης τῆς ἰωνίας, μέγα τὸ δέος ἐγένετο, μὴ πα-
ραπλέοντες οἱ πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν,
πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. αὐτάγγελοι
δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ κλάρῳ, ἥ τε πάραλος, καὶ ἡ σαλα-
μινία ἔφρασαν. ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν. καὶ
μέχρι μὲν λάτμου τῆς νήσου ἐπεδίωξεν. ὡς δ' οὐκέτι ἐν
καταλήψει ἐφαίνετο ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν,
ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκατα-
ληφθεῖσαι, ἠναγκάσθησαν στρατόπεδόν τε ποιεῖσθαι, καὶ
φυλακὴν σφίσι, καὶ ἐφόρμησιν παρασχεῖν. παραπλέων δὲ
πάλιν ἔσχε καὶ ἐς νότιον τὸ κολοφωνίων, οὗ κατῴκηντο
κολοφώνιοι, τῆς ἄνω πόλεως ἑαλωκήας ὑπὸ ἰταμάνους,
καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν ἐπαχθέντων. ἑάλω δὲ
μάλιστα αὕτη, ὅτι ἡ δευτέρα πελοποννησίων ἐσβολὴ ἐς τὴν
ἀττικὴν ἐγίγνετο. ἐν οὖν τοῦ νοτίῳ, οἱ καταφυγόντες τὸ
κατοικήσαντες αὐτόθι, αὖθις στασιάσαντες, οἱ μὲν περὶ
πισσούθνου ἐπικούρους ἀρκάδων τε καὶ βαρβάρων ἐπαγό-
μενοι, ἐν διατειχίσματι εἶχον. καὶ τῶν ἐκ τῆς ἄνω πό-
λεως κολοφωνίων οἱ μηδίσαντες ξυνελθόντες, ἐπολίτευον.
οἱ δὲ ὑπεξελθόντες τούτους, καὶ ὄντες φυγάδες τὸν πάχητα
ἐπάγονται. ὁ δὲ προσκαλεσάμενος ἐς λόγους ἱππίαν
τὸν ἐν τοῦ διατειχίσματι ἀρκάδων ἄρχοντα, ὥστε ἢν μη-

δὲν

δὲν ἄρεσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν, καὶ ὑγιᾷ. ὁ μὲν ἐξῆλθε παρ' αὐτὸν. ὅδ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν. αὐτὸς δὲ προσβαλὼν τοῦ τειχίσματι ἐξαπιναίως, καὶ οὐ προσδεχομένων, αἱρεῖ τούς τε ἀρκάδας, καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει. καὶ τὸν ἱππίαν ὕστερον ἐσαγαγὼν, ὥσπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν ξυλλαμβάνει, καὶ κατασχεύει. κολοφωνίοις δὲ νότιον παραδίδωσι, πλὴν τῶν μηδισάντων, καὶ ὕστερον ἀθηναῖοι οἰκιστὰς πέμψαντες, κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴπου τίς ἦν κολοφωνίων. ὁ δὲ πάχης ἀφικόμενος ἐς τὴν μιτυλήνην, τήν τε πύῤῥαν, καὶ ἔρεσον παρεστήσατο. καὶ σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν λακεδαιμόνιον κεκρυμμένον, ἀποπέμπει ἐς τὰς ἀθήνας. καὶ τοὺς ἐκ τῆς πενέδου μιτυληναίους ἄνδρας ἅμα, οὓς κατέθετο. καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως. ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον. τοῖς δὲ λοιποῖς ὑπομένων, καθίστατο τὰ περὶ τὴν μιτυλήνην, καὶ τὴν ἄλλην λέσβον, ᾗ αὐτῷ ἐδόκει. ἀφικομένων δὲ τῶν ἀνδρῶν, καὶ τοι σαλαίθου, οἱ ἀθηναῖοι τὸν μὲν σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον τὰ τἆλλα, καὶ ἀπὸ πλαταιῶν. ἔτι γε ἐπολιορκοῦντο, ἀπάξειν πελοποννησίους. περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο. καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς, οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας μιτυληναίους, ὅσοι ἡβῶσι. παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι ἐπικαλοῦντες, τήν τε ἄλλην ἀπόστασιν, ὅτι

οὐκ

οὐκ ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι ἐποιήσαντο, καὶ προξυνελάβοντο οὐκ ἐλάχιστον καὶ ὁρμῆς αἱ πελοποννησίων νῆες, ἐς ἰωνίαν ἐκείνοις βοηθοί τολμήσασαι παρακινδυνεῦσαι. οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. πέμπουσιν οὖν τριήρη ὡς παχητα ἄγγελον τῶν δεδογμένων, κατατάχος κελεύοντες διαχρήσασθαι μιτυληναίους. καὶ τῇ ὑστεραίᾳ, μετάνοιά τις ἐυθὺς ἦν αὐτοῖς, καὶ ἀναλογισμός, ὠμὸν τὸ βούλευμα, καὶ μέγα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον, ἢ οὐ τοὺς αἰτίους. ὡς δ' ἤσθοντο τοῦτο τῶν μιτυληναίων οἱ πάροντες πρέσβεις, καὶ οἱ αὐτοῖς τῶν ἀθηναίων ξυμπράσσοντες, πρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προσθεῖναι. καὶ ἔπεισαν ῥᾴδιον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν, αὖθις τινὰς σφίσιν ἀποδοῦναι βουλεύσασθαι. καταστάσης δ' ἐυθὺς ἐκκλησίας, ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο, καὶ κλέων ὁ κλεαινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνενικήκει, ὥστε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν, τοῦ τε δήμου πραπολὺ ἐν τοῦ τότε πιθανώτατος, παρελθὼν αὖθις ἔλεγε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΛΕΩΝΟΣ.

Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλο τε ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν. μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ περὶ μιτυληναίων μεταμελείᾳ διὰ γὰρ τὸ καθημέραν ἀδεὲς, καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους, καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε. καὶ ὅτι ἂν ἢ λόγῳ

πεισθέντες

πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε, ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπι-
κινδύνως ἡγεῖσθε ἐς ὑμᾶς, καὶ οὐκ ἐς τὰ τῶν ξυμμάχων
χάριν μαλακίζεσθαι, οὐ σκοποῦντες ὅτι τυραννίδα ἔχετε
τὴν ἀρχὴν, καὶ προσεπιβουλεύοντας αὐτοὺς, καὶ ἄκοντας
ἀρχομένους. οὐκ ἐς ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοὶ
ἀκροῶνται ὑμῶν, ἀλλ' ἐς ὧν ἰσχύϊ μᾶλλον, ἢ τῇ ἐκείνων
εὐνοίᾳ περιγένησθε. πάντων δὲ δεινότατον, εἰ βέβαιον
ἡμῖν μηδὲν καθεστήξει, ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα,
ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων
ἐστὶν, ἢ καλῶς ἔχουσιν ἀκύροις. ἀμαθία τε μετὰ σωφρο-
σύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας. οἵ τε
φαυλότεροι τῶν ἀνθρώπων, πρὸς τοὺς ξυνετωτέρους ὡς
ἐπὶ τοπλεῖστον, ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ τῶν
τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν τε ἀεὶ λε-
γομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζο-
σιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην. καὶ ἐκ τοι τοιούτου,
τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. οἱ δ' ἀπιστοῦντες τῇ ἐς
αὐτῶν ξυνέσει, ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι,
ἀδυνατώτεροι δὲ τοι καλῶς εἰπόντος μέμψασθαι λόγον.
κριταὶ δὲ ὄντες, ἀπὸ τοι ἴσου μᾶλλον ἢ ἀγωνισταὶ, ὀρθοῦνται
τὰ πλείω. ὡς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας, μὴ δεινότητι,
καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους, παρὰ δόξαν τοῦ ὑμε-
τέρῳ πλήθει παραινεῖν. ἐγὼ μὲν οὖν ὁ αὐτὸς εἰμι τῇ γνώ-
μῃ. καὶ θαυμάζω μὲν τῶν προθέντων αὖθις περὶ μιτυ-
λυναίων λέγειν, καὶ χρόνου διατριβὴν ἐμποιησάντων, ὃ
ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον. ὁ γὰρ παθὼν, τοῦ δρά-

σαντι ἀμβλυτέρῳ τῇ ὀργῇ ἐπεξέρχεται. ἀμύνεσθαι δὲ τοῦ παθεῖν, ὅτι ἐγγυτάτῳ κείμενον ἀντίπαλον ὄν, μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει. θαυμάζω δὲ καὶ ὅς τις ἔσται ὁ ἀντερῶν, καὶ ἀξιώσων ἀποφαίνειν, τὰς μὲν μιτυληναίων ἀδικίας, ἡμῖν ὠφελίμους ὄυσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας. καὶ δῆλον ὅτι ἢ τοῦ λέγειν πιστεύσας, τὸ πάνυ δοκοῦν ἀνταποφῆναι, ὡς οὐκ ἔγνωσται ἀπωνίσαιτ' ἄν, ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐτρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται. ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων, τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. αἴτιοι δ' ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵ τινες εἰώθατε, θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων. τὰ μὲν μέλλοντα ἔργα, ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι, τά τε πεπραγμένα ἤδη, οὐ τοῦ θεαθὲν πιστότερον ὄψει λαβόντες, ἢ τὸ ἀκουσθὲν, ἀπὸ τῶν λόγων καλῶς ἐπιτιμησάντων. Ὁ μετὰ καινότητος μὲν λόγου, ἀπατᾶσθαι ἄριστοι. μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων. καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι. εἰ δὲ μὴ ἀνταγωνιζόμενοι τοῖς τὰ τοιαῦτα λέγουσι, μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ. ὀξέως δέ τι λεγοντος προεπαινέσαι, καὶ προαισθέσθαί τε πρόθυμοι εἶναι τὰ λεγόμενα, καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα, ζητοῦντές τε ἄλλο τι ὡς εἰπεῖν, ἢ ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ, περὶ τῶν πρόντων ἱκανῶς. ἁπλῶς

τε ἀκοῆς

τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι, καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον, ἢ περὶ πόλεως, βουλευομένοις. ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς, ἀποφαίνω μιτυληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. ἐγὼ γὰρ οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν, ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω. νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν, καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτοὺς. αὐτόνομοί τε οἰκοῦντες, καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν, τοιαῦτα εἰργάσαντο. τί ἄλλο οὗτοι, ἢ ἐπεβούλευσάν τε, καὶ ἐπανέστησαν μᾶλλον, ἢ ἀπέστησαν; ἀπόστασις μέν γε, τῶν βίαιόν τι πασχόντων ἐστίν. ἐξήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι. καί τοι δεινότερόν ἐστιν, ἢ εἰ καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν. παράδειγμα δὲ αὐτοῖς, οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀπεστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία πρέσχεν ὄκνον, μὴ ἐλθεῖν ἐς τὰ δεινά. γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς, καὶ ἐλπίσαντες μακρότερα μὲν καὶ δυνάμεως. ἐλάσσω δὲ καὶ βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι. ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν. τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα, ἢ παρὰ δόξαν καὶ κακοπραγίαν ὡς εἰπεῖν, ῥᾷον

ἀπωθοῦνται, ἢ εὐδαιμονίαν διασώζονται. χρὴ δὲ μιτυλη-
ναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων, ὑφ' ὑμῶν
τετιμῆσθαι. καὶ οὐκ ἂν ἐς τόδε ἐζύβρισαν. πέφυκε γὰρ
καὶ ἄλλως ἄνθρωπος, τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν,
τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. καλασθήτωσαν δὲ καὶ νῦν
ἀξίως καὶ ἀδικίας. καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προσ-
τεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. πάντες γὰρ ὑμῖν γε ὁμοίως
ἐπέθεντο. οἷς γ' ἐζῆν ὡς ἡμᾶς τρεπομένοις, νῦν πάλιν
ἐν τῇ πόλει εἶναι. ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον
ἡγησάμενοι βεβαιότερον, ξυναπέστησαν. τῶν τε ξυμμά-
χων σκέψασθε, εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπό τε τῶν πολε-
μίων, καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προ-
σθήσετε, τινὰ οἴεσθε ὅν τινα οὐ βραχείᾳ προφάσει ἀποστή-
σεσθαι, ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ, ἢ σφαλέντι,
μηδὲν παθεῖν ἀνήκεστον; ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀπο-
κεκινδυνεύσεται, τά τε χρήματα, καὶ αἱ ψυχαί. καὶ τυ-
χόντες μὲν πόλιν ἐφθαρμένην παραλαβόντες, καὶ ἔπειτα
προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε. σφαλέν-
τες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν. καὶ ὃν
χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς
οἰκείοις ξυμμάχοις πολεμήσομεν. οὔκουν δεῖ προσθεῖναι
ἐλπίδα οὔτε λόγῳ πιστὴν, οὔτε χρήμασιν ὠνητὴν, ὡς ξυγγνώ-
μην ἁμαρτεῖν ἀνθρωπείως λήψονται. ἄκοντες μὲν γὰρ
οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν. ξύγγνωμον δ' ἔστι
τὸ ἀκούσιον. ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον, καὶ νῦν δια-
μάχομαι, μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ

τρισὶ

τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ, καὶ ἡδονῇ λόγων, καὶ ἐπιεικείᾳ ἁμαρτάνειν. ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους. οἵ τε τέρποντες λόγῳ ῥήτορες, ἔξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχεῖα ἡσθεῖσα, μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν, τὸ εὖ παθεῖν ἀντιλήψονται. καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται, ἢ πρὸς τοὺς ὁμοίους τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. ἓν δὲ ξυνελὼν λέγω, πειθόμενοι μὲν ἐμοὶ, τά τε δίκαια ἐς μιτυληναίους, καὶ τὰ ξύμφορα ἅμα ποιήσετε. ἄλλως δὲ γνόντες, τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. εἰ δὲ δὴ καὶ οὐ προσῆκον, ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκὸς τοίννυν καὶ τούσδε ξυμφόρους δεῖ κολάζεσθαι, ἢ πάνεσθαι καὶ ἀρχῆς, καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι, καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ὑμῶν. ἄλλως τε, καὶ προὐπάρξαντας ἀδικίας. μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται, καὶ διόλλυνται, τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ. ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τι παθὼν, χαλεπώτερος διαφυγὼν, τοῦ ἀπὸ καὶ ἴσης ἐχθροῦ. μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν. γενόμενοι δ' ὅτι

ἐγγύτατα τῇ γνώμῃ τοι πάσχειν, καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε, μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα, μηδὲ τῇ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. κολάσετε δὲ ἀξίως τούτους τε, καὶ τοῖς ἄλλοις ζυμμάχοις παράδειγμα σαφές καταστήσατε, ὅς ἂν ἀφίστηται, θανάτῳ ζημιωσόμενον. τόδε γὰρ ἢν γνῶσιν, ἧσσον τῶν πολεμίων ἀμελήσαντες, τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις. τοιαῦτα μὲν ὁ κλέων εἶπε. μετὰ δ' αὐτὸν, διόδοτος ὁ εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι μιτυληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΔΙΟΔΟΤΟΥ.

Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ μιτυληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ. νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε, καὶ ὀργήν. ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι. τὸ δὲ μετὰ ἐπαιδευσίας, καὶ βραχύτητος γνώμης. τούς τε λόγους, ὅς τις διαμάχεται, μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν, ἢ ἰδίᾳ τί αὐτῷ διαφέρει. ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοι μέλλοντος δυνατὸν εἶναι, καὶ μὴ ἐμφανοῦς φράσαι. διαφέροι δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι, εὖ μὲν εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοι μὴ καλοῦ δύνασθαι. εὖ δὲ διαβαλὼν, ἔκπλῆξαι ἂν τούς τε ἀντεροῦντας, καὶ τοὺς ἀκουσομένους,

χαλε-

χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες
ὑπόδειξίν τινα. εἰ μὲν γὰρ ἀμαθίαν κατηγοροῦντο, ὁ μὴ πεί-
σας, ἀξυνετώτερος ἂν δόξας εἶναι, ἢ ἀδικώτερος ἀπε-
χώρει. ἀδικίας δ' ἐπιφερομένης, πείσας τε ὕποπτος γίγ-
νεται, καὶ μὴ τυχὼν, μετὰ ἀξυνεσίας, καὶ ἄδικος. ἥ τε
πόλις οὐκ ὠφελεῖται ἐν τῷδε τοιῷδε. φόβῳ γὰρ ἀποστρεῖται
τὴν ξυμβούλων, καὶ πλεῖστ' ἂν ὀρθοῖτο, ἀδυνάτους λέγειν
ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν. ἐλάχιστα γὰρ ἂν πει-
σθείησαν ἁμαρτάνειν. χρὴ δὲ τὸν μὴ ἀγαθὸν πολίτην, μὴ
ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι
ἄμεινον λέγοντα. τὴν δὲ σώφρονα πόλιν, τῷδε τε πλεῖστα
εὖ βουλεύοντι, μὴ προστιθέναι τιμὴν, ἀλλὰ μηδ' ἐλασσοῦν
καὶ ὑπαρχούσης. καὶ τὸν μὴ τυχόντα γνώμης, οὐχ ὅπως
ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. οὕτω γὰρ, ὅ, τε κατορθῶν
ἥκιστα ἂν ἐπὶ τῷδε ἔτι μειζόνων ἀξιοῦσθαι, παρὰ γνώμην
τί καὶ πρὸς χάριν λέγοι. ὅ, τε μὴ ἐπιτυχὼν, ὀρέγοιτο τῷδε
αὐτῷ χαριζόμενός τι, καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.
ὧν ἡμεῖς τἀναντία δρῶμεν. καὶ προσέτι, ἤν τις καὶ ὑπο-
πτεύηται κέρδους μὲν ἕνεκα, τὰ βέλτιστα δ' ὅμως λέγειν.
φθονήσαντες καὶ οὐ βεβαίου δοκήσεως τῶν κερδῶν, τὴν
φανερὰν ὠφέλειαν καὶ πόλεως ἀφαιρούμεθα. καθέστηκε
δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος λεγόμενα. μηδὲν ἀνυποπτό-
τερα εἶναι τῶν κακῶν, ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότα-
τα βουλόμενον, πεῖσαι, ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος, καὶ
τὸν τὰ ἀμείνω λέγοντα, ψευσάμενον, πιστὸν γενέσθαι, μό-
νην τε πόλιν διὰ τὰς πρινοίας, εὖ ποιῆσαι ἐκ τῆς προφανοῦς

μὴ

μὴ ἐξαπατήσαντα ἀδύνατον. ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν, ἀνθυποπτεύεται ἀφανῶς ἐπιπλέον ἕξειν. χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τοῖῳδε ἀξιοῦν τι ἡμᾶς, περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων. ἄλλως τε, καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας, πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. εἰ γὰρ ὅ, τε πείσας, καὶ ὁ ἐπισπώμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε. νῦν δὲ πρὸς ὀργὴν ἥν τινα τύχητε, ἔστιν ὅτε σφαλέντες; τὴν τοι πείσαντος μίαν γνώμην ζημιοῦτε, καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον. ἐγὼ δὲ παρῆλθον, οὔτε ἀντερῶν περὶ μιτυληναίων, οὔτε κατηγορήσων. οὐ γὰρ περὶ τῶν ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῶν ἡμετέρας εὐβουλίας. ἢν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτοὺς, οὐ διὰ τοῦτο, καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον. ἢν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. νομίζω δὲ περὶ τοι μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι, ἢ τοι παρόντος. καὶ τοῦτο ὃ μάλιστα κλέων ἰσχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι, θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοι ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος, τἀναντία γιγνώσκω. καὶ οὐκ ἀξιῶ ὑμᾶς τοῦ εὐπρεπεῖ τοι ἐκείνου λόγου, τὸ χρήσιμον τοι ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν αὐτοι ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς μιτυληναίους, τάχα ἂν ἐπισπάσαιτο. ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτοὺς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ

αὐτῶν,

ἀυτῶμ, ὅπως χρησίμως ἔξουσιμ. ἐν οἷς ταῖς πόλεσι, πολλῶμ θανάτῳ ζημία πρόκειται. καὶ οὐκ ἴσωμ τῷδε, ἀλλ' ἐλασσόνωμ ἁμαρτημάτωμ. ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι. καὶ οὐδεὶς πω καταγνοὺς ἑαυτοῦ μὴ πορισέσθαι ζωὴ ἐπιβουλεύμασι, ἦλθεν ἐς τὸ δεινόν. πόλις τε ἀφεσαμένη τίς πω, ἥσω τῇ δοκήσει ἔχουσα τὸ πᾶσι κρείσσω, ἢ οἰκείαν, ἢ ἄλλωμ ξυμμαχίαν, τότῳ ἐπεχείρησε. πεφύκασί τε ἅπαντες ἰδίᾳ, καὶ δημοσίᾳ ἁμαρτάνειμ. καὶ οὐκ ἔστι νόμος, ὅς τις ἀπείρξει τότε, ἐπεὶ διεξελήλυθασί γε διὰ πασῶμ τῶν ζημιῶμ οἱ ἄνθρωποι, προσθέντες εἴ πως ἦσομ ἀδικοῖντο ὑπὸ τῶν κακόζωμ. καὶ εἰκότως πάλαι τῶν μεγίσωμ ἀδικημάτωμ μαλακωτέρας κεῖσθαι αὐτάς. παραβαινομένωμ δὲ τῶν χρόνῳ, ἐς τὸμ θάνατομ ἀποκλαὶ ἀνήκουσι. καὶ τοῦτο ὅμως παραβαίνεται, ἢ τοίνυμ δεινότροπόν τι τότε δέος εὑρετέομ ὄζιμ, ἢ τόδε γε οὐδὲμ ὠφέλει. ἀλλ' ἡ μὲν πρόνοια ἀνάγκη τὸ τόλμαν παρέχουσα, ἡ δ' ἡδονὴ οὖσα ἡ μὲν τὸ πλεονεξίαν, καὶ φρονήματι. διὰ δ' ἄλλα ξυντυχίαν, ὀργῇ τῶν ἀνθρώπωμ ὡς ἑκάστη τίς κατέχεται ὑπὸ ἀνικήτου τινὸς κρείττονος, ἐξάγουσι ἐς τοὺς κινδύνους. ἥ τε ἐλπίς, καὶ ὁ ἔρως ἐνὶ παντί. ὁ μὲν ἡγεμὼμ, ἡ δ' ἑπομένη. καὶ ὁ μὲν τὸ ἐνβολῷ ἐκφέροντί ζωμ, ἡ δὲ τὸ εὐποιΐαν τ' τύχης ὑποβαθεῖσα, πλεῖστα βλάπτουσι. καὶ ὄντα ἀφανῆ, κρείσσω ὄζιν τῶν ὁρωμένωμ δεινῶμ. καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲμ ἔλασσομ ξυμβάλλεται ἐς δ' ἐπαίρεσθαι. ἀδοκήτως γάρ ὄζιμ ὅτε παρισαμένη, καὶ ἐκ τῶν ὑποδεεστέρωμ κινδυνεύειμ ζυνα προάγει, καὶ οὐχ ἧσσομ τὰς

πόλεις, ὅσω περὶ τῶν μεγίστων ἐλευθερίας, ἢ ἄλλων ἀρ-
χῆς. καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον
τὶ αὐτὸν ἐδόξασεν. ἁπλῶς τε ἀδύνατον, καὶ πολλῆς εὐ-
θείας, ὅς τις οἴεται καὶ ἀνθρωπείας φύσεως ὁρμωμένης,
προθύμως τί πρᾶξαι, ἀποτροπήν τινα ἔχειν, ἢ νόμον
ἰσχύϊ, ἢ ἄλλῳ τῷ δεινῷ. οὔκουν χρὴ οὔτε τοι θανάτου τῇ
ζημίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας, χεῖρον βουλεύσασθαι,
οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται
μεταγνῶναι. καὶ ὅτι ἐν βραχητάτῳ τὴν ἁμαρτίαν κα-
ταλῦσαι, σκέψασθε γὰρ, ὅτι νῦν μὲν ἤν τις καὶ ἀποστᾶσα
πόλις γνωμὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν, δυνατὴ
οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι, καὶ τὸ λοιπὸν ὑποτε-
λεῖν. ἐκείνους δέ τινα οἴεσθε, ἥν τινα οὐκ ἄμεινον μὲν ἢ
νῦν παρασκευάσασθαι, πολιορκία τε παρατενεῖσθαι ἐς τοῦ-
σχατον, ἢ τὸ αὐτὸ δύναται σχολὴ καὶ ταχὺ ξυμβεῖναι. ἡμῖν
τέ πως οὐ βλάβη δαπανᾶν, καθημένοις διὰ τὸ ἀξύμβατον.
καὶ ἢν ἕλωμεν πόλιν ἐφθαρμένην παραλαβεῖν, καὶ καὶ
προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι. ἰσχύομεν δὲ πρὸς
τοὺς πολεμίους τῷδε, ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς
μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι, ἢ ὁρᾷν
ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες, ταῖς πό-
λεσιν ἕξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι, καὶ
τὴν φυλακὴν, μὴ ἀπὸ τῶν νόμων καὶ δεινότητος ἀξιοῦν ποι-
εῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. οὗ νῦν τἐναν-
τίον δρῶντες, ἤν τινα ἐλεύθερον, καὶ βίᾳ ἀρχόμενον εἰκότως
πρὸς αὐτονομίαν ἀποστάντα χειρωσώμεθα χαλεπῶς, οἰό-
μεθα

μεθα χρῆναι τιμωρεῖσθαι. χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφι-
σαμένους σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι, σφό-
δρα φυλάσσειν, καὶ προκαταλαμβάνειν, ὅπως μηδ' εἰς
τυλλνοιαν τούτου ἴωσι. κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον
τὴν αἰτίαν ἐπιφέρειν. ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν ☾ τοῦτο
ἁμαρτάνοιτε, κλέωνι πειθόμενοι. νῦν μὲν γὰρ ὑμῖν ὁ δῆ-
μος, ἐν πάσαις ταῖς πόλεσιν ἔνυους ἐστὶ, καὶ ἢ οὐ ξυνα-
φίσταται τοῖς ὀλίγοις, ἢ ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀπο-
στήσασι πολέμιος εὐθύς. ☾ τῆς ἀντικαθισταμένης πόλεως
τὸ πλῆθος, ξύμμαχον ἔχοντες, ἐς πολεμον ἐπέρχεσθε.
εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν μιτυληναίων, ὃς οὔτε με-
τέσχε καὶ ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν
παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε, τοὺς εὐερ-
γέτας, κτείνοντες. ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν
ἀνθρώπων ὃ βούλονται μάλιστα. ἀφιστάντες γὰρ τὰς πό-
λεις, τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι, προδειξάντων
ὑμῶν τὴν αὐτὴν ζημίαν, τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι,
καὶ τοῖς μή. δεῖ δὲ ☾ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι, ὅπως
ὁ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι, μὴ πολέμιον γένηται.
καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν
καὶ ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως οὓς μὴ
δεῖ διαφθεῖραι. καὶ τὸ κλέωνος τὸ αὐτὸ δίκαιον ☾ ξύμ-
φορον καὶ τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ, δυνατὸν ὂν
ἅμα γίγνεσθαι. ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι, καὶ
μήτε οἴκτῳ πλέον νείμαντες, μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ
ἐῶ προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων, πείθεσθέ

μοι μιτυληναίων, οὓς μὲν πάχης ἀπέπεμψεν ὡς ἀδι-
κοῦντας. κρῖναι καθ' ἡσυχίαν. τοὺς δ' ἄλλους, ἐᾶν οἰκεῖν.
τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ, καὶ τοῖς πολεμίοις
ἤδη φοβερά. ὅς τις γὰρ εὖ βουλεύετε, πρὸς τοὺς ἐναντίους
κρείσσων ἐστὶν, ἢ μετὰ ἔρεων ἰσχύος ἀνοίᾳ ἐπιών. τοιαῦτα
μὲν ὁ διόδοτος εἶπε. ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων
μάλιστα ἀντιπάλων πρὸς ἀλλήλους, οἱ ἀθηναῖοι ἦλθον μὲν
ἐς ἀγῶνα ὅμως καὶ δόξης, καὶ ἐγένοντο ἐν τῇ χειροτονίᾳ
ἀγχώμαλοι. ἐκράτησε δὲ ἡ τοῦ διοδότου. καὶ τριήρη εὐθὺς
ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ φθασάσης καὶ
δευτέρας, εὕρωσι διεφθαρμένην τὴν πόλιν. προεῖχε δὲ
ἡμέρᾳ τε καὶ νυκτὶ μάλιστα. παρασκευασάντων δὲ τῶν
μιτυληναίων πρέσβεων τῇ νηὶ οἶνον, καὶ ἄλφιτα, καὶ με-
γάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ
τοιαύτη, ὥστ' ἤσθιόν τε ἅμα ἐλάυνοντες οἴνῳ καὶ ἐλαίῳ
ἄλφιτα πεφυρμένα. καὶ οἱ μὲν ὕπνον ἡροῦντο, κατὰ μέ-
ρος. οἱ δὲ ἤλαυνον, κατὰ τύχην δὲ πνεύματος οὐδενὸς
ἐναντιωθέντος. καὶ καὶ μὲν προτέρας νεὼς οὐ σπουδῇ
πλεούσης, ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρό-
πῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον, ὅσον πάχητα
ἀνεγνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ δεδογ-
μένα. ἡ δ' ὕστερα αὐτῆς ἐπικατάγεται, καὶ διεκώλυσε μὴ
διαφθεῖραι. παρὰ τοσοῦτον μὲν ἡ μιτυλήνη ἦλθε κινδύνου.
τοὺς δ' ἄλλους ἄνδρας, οὓς ὁ πάχης ἐπέπεμψεν ὡς αἰτιω-
τάτους ὄντας καὶ ἀποστάσεως, κλέωνος γνώμῃ διέφθεί-
ραν οἱ ἀθηναῖοι. ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. καὶ μι-

τυληναίων

τυλιηναίων τείχη καθεῖλον, καὶ ναὺς παρέλαβον. ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν λεσβίοις. κλήρους δὲ ποιήσαντες καὶ γῆς, πλὴν καὶ μηθυμναίων τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν. οἷς ἀργύριον λέσβιοι ταξάμενοι τῶν κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο τὴν γῆν. παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ ἀθηναῖοι, ὅσων μιτυληναῖοι ἐκράτουν. καὶ ὑπήκουον ὕστερον ἀθηναίων. τὰ μὲν κατὰ λέσβον οὕτως ἐγένετο. ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τὴν λέσβου ἅλωσιν ἀθηναῖοι, νικίου τοῦ νικράτου στρατηγοῦντος, ἐστράτευσαν ἐπὶ μίνωαν τὴν νῆσον, ἣ κεῖται πρὸ μεγάρων. ἐχρῶντο δὲ αὐτῇ, πύργον ἐνοικοδομήσαντες οἱ μεγαρεῖς φρουρίῳ. ἐβούλετο δὲ νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς ἀθηναίοις, καὶ μὴ ἀπὸ τοῦ βουδόρου, καὶ καὶ σαλαμῖνος εἶναι. τούς τε πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες, τριήρων τε, οἷον καὶ τὸ πρὶν γενόμενον, καὶ λῃστῶν ἐκπομπαῖς, τοῖς τε μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. ἑλὼν οὖν ἀπὸ καὶ νισαίας, πρῶτον δύο πύργω προέχοντε μηχαναῖς, ἐκ θαλάσσης, καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ καὶ νήσου ἐλευθερώσας, ἀπετείχιζε, καὶ τὸ ἐκ καὶ ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοιήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ καὶ ἠπείρου. ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἔγκα ταλιπὼν, καὶ φρουρᾶν· ἀνεχώρησε τῷ στρατῷ. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τῶν θέρους

τότε, καὶ οἱ Πλαταιῆς οὐκέτι ἔχοντες σῖτον, οὐδὲ δυνάμενοι πολιορκεῖσθαι, ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ προσέβαλον αὐτῶν τῷ τείχει. οἱ δὲ οὐκ ἐδύναντο ἀμύνεσθαι. γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν. εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως εἰ σπονδαὶ γίγνοιντο πρὸς ἀθηναίους, καὶ ξυγχωροῖεν ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι ἀποδίδοσθαι, μὴ ἀνάδοτον εἶναι πλάταια, ὡς αὐτῶν ἑκόντων προχωρησάντων. προσέπεμπε δὲ αὐτοῖς κῆρυκα λέγοντα, εἰ βούλονται σωζεσθαι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασαῖς ἐκείνοις χρήσασθαι, τόν τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. τοσαῦτα μὲν ὁ κῆρυξ εἶπεν. οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀθυμοτάτῳ) παρέδοσαν τὴν πόλιν, καὶ τοὺς Πλαταιέας ἔσχεφον οἱ Πελοποννήσιοι ἡμέρας ἀνάς, ὧν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ, πέντε ἄνδρες ἀφίκοντο. ἐλθόντων δὲ αὐτῶν κατηγορία μὲν οὐδεμία προετέθη. ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι, τοσοῦτον μόνον εἴ τι Λακεδαιμονίους τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ παθεῖν, ἀγαθόν τι εἰργασμένοι εἰσίν. οἵδε ἔλεγον, αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν ἀξύμαχόν τε τὸν ἀσωποδώρου, καὶ Λάκωνα τὸν ἀεμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων. καὶ ἐπελθόντας, ἔλεγον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΠΛΑΤΑΙΕΩΝ ΑΣΤΥ-
μάχου τε, καὶ Λάκωνος.

πολὺ

τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν, ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι. καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι, ὥσπερ καὶ ἐς μὲν γενέσθαι, ἢ ὑμῖν, ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι. νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως ὑποπτεύομεν. καὶ ὑμᾶς μὴ οὐ κοινοὶ ἀποβῆτε, τεκμαιρόμενοι, προκατηγορίας τε ὑμῶν οὐ προγεγενημένης, ἢ χρὴ ἀντειπεῖν. ἀλλ' αὐτοὶ λόγον ᾐτησάμεθα. τό, τε ἐπερώτημα βραχὺ ὄν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται. τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει. πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα. Ⓒ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν. καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν, αἰτίαν ἂν παράσχοι. ὡς εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. χαλεπεῖν δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις, καὶ ἡ πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες, ἀλλήλων ἐπεισενεγκάμενοι μαρτύρια, ὧν ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν. νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται. καὶ δέδιμεν οὐχὶ μὴ προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἥσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ ἄλλοις χάριν φέροντες, ἐπιδιεγνωσμένην κρίσιν καθιστώμεθα. παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια, πρός τε τὰ θηβαίων διάφορα, καὶ ἐς τοὺς ἄλλους ἕλληνας, τῶν εὖ δεδρασμένων, ὑπόμνησιν ποιησόμεθα, καὶ πείθειν πειρασόμεθα. φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ, εἴ τι λακεδαιμονίους, καὶ τοὺς ξυμμάχους

μάχους ἐν τῷδε πολέμῳ τῷδε, ἀγαθὸν πεποιήκαμεν, εἰ μὴ
ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, μὴ εὖ πα-
θόντας. φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλ-
λον τοὺς ἡμῖν ἐπιστρατεύσαντας. τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ
πρὸς τὸν μῆδον, ἀγαθοὶ γεγενήμεθα. τὴν μὲν, οὐ λύ-
σαντες νῦν πρότεροι, τῷ δὲ, ξυνεπιθέμενοι τότε ἐς ἐλευ-
θερίαν καὶ ἑλλάδος μόνοι βοιωτῶν. καὶ γὰρ ἠπειρῶταί
τε ὄντες, ἐναυμαχήσαμεν ἐπ' ἀρτεμισίῳ. μάχῃ τε τῇ ἐν
τῇ ἡμετέρᾳ γῇ γενομένῃ, πρεγενόμεθα. ὑμῖν τε, καὶ παυ-
σανίᾳ. εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπι-
κίνδυνον τοῖς ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν
καὶ ὑμῖν ὦ λακεδαιμόνιοι ἰδίᾳ. ὅτε περὶ δὴ μέγιστος φό-
βος περιέστη τὴν σπάρτην, μετὰ τὸν σεισμὸν τῶν ἐς
ἰθώμην εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν
αὐτῶν ἐξεπέμψαμεν εἰς ἐπικουρίαν, ὧν οὐκ εἰκὸς ἀμνη-
μονεῖν. καὶ τὰ μὲν παλαιὰ, καὶ μέγιστα, τοιοῦτοι ἠξιώσα-
μεν εἶναι. πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. ὑμεῖς δὲ, αἴ-
τιοι. δεομένων γὰρ ξυμμαχίας, ὅτε θηβαῖοι ἡμᾶς ἐβιά-
σαντο, ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς ἀθηναίους ἐκελεύετε
τραπέσθαι, ὡς ἐγγὺς ὄντας. ὑμῶν δὲ μακρὰν ἀποικοῦν-
των, ἐν μὲν τοι τῷδε πολέμῳ, οὐδὲν ἐκπρεπέστερον ὑπὸ
ὑμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε εἰδ' ἀποστῆναι ἀθη-
ναίων οὐκ ἐθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν.
καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία θηβαίοις, ὅτε ὑμεῖς
ἀπωκνεῖτε. καὶ προδοῦναι αὐτοὺς οὐκέτ' ἦν καλόν. ἄλλως
τε καὶ οὓς εὖ παθὼν τις καὶ αὐτὸς δεόμενος προσηγάγετο

ξυμμα-

ξυμμάχους, ⊂ πολιτείας μετέλαβεν. ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμων. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἐπόμενοι αἴτιοι, εἰ μή τι καλῶς ἐδρᾶτε, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα. θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν. τὸ δὲ τελευταῖον, αὐτοὶ ξύνισε, δι' ἅπερ καὶ τάδε πάσχομεν. πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας, ἐν σπονδαῖς καὶ προσέτι ἱερομηνίᾳ ὀρθὸν ἐτιμωρησάμεθα κατὰ τὸν πᾶσι νόμον παθεσῶτα τὸν ἐπιόντα πολέμιον, ὅσιον εἶναι ἀμύνεσθαι. καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. εἰ γὰρ τοῦ αὐτίκα χρησίμῳ ὑμῶν τε, καὶ ἐκείνων πολεμίῳ, τὸ δίκαιον λήψεσθε, τοι μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες. τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες, καίτοι εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι ἕλληνες μᾶλλον τότε ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί. ἐν ἐκείνῳ δὲ τοῦ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἱ δὲ μετ' αὐτοὶ ἦσαν. ⊂ δίκαιον ἡμῶν τὶ νῦν ἁμαρτίας, εἰ ἄρα ἡμάρτηται, ἀνατιθεῖναι τὴν τότε προθυμίαν, ⊂ μείζω τε πρὸς εὐλάσσω εὑρήσετε, ⊂ ἐν καιροῖς, οἷς σπάνιον ἦν τὴν ἑλλήνων τινὰ ἀρετὴν τῇ ξέρξου δυνάμει ἀντιτάξασθαι. ἐπῃνοῦντό τε μᾶλλον, οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾷν μετὰ κινδύνων τὰ βέλτιστα. ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δεδίμεν, μὴ διαφθαρῶμεν, ἀθηναίους ἑλόμενοι

δικαίως μᾶλλον, ἢ ὑμᾶς κερδαλέως. καί τοι χρὴ ταῦτα περὶ πλείονος ἀυτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας. καὶ τὸ ξυμφέρον μὴ ἄλλο ἃ νομίσαι, ἢ σφῶν ξυμμάχων τοῖς ἀγαθοῖς, ὅτ' ἂν ἀεὶ βέβαιον τὴν χάριν φῇ ἀσφαλῆς ἔχουσι. καὶ ἅμα παραυτίκα ὡς ἡμῖν ὠφέλιμον καθίσκητε. προσκέψασθέ τε, ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς σφῶν ἐλλείψων ἀνδραποδίας νομίζεσθε. εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τὴν δε) ἐπανόρθωσιν δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν, ὀψὲ ὅπως μὴ οὐκ ἀποδέξωνται, ἀνδρῶν ἀγαθῶν πέρι, ἀυτοὺς ἀμείνους ὄντας ἀπρεπές ἃ ἐπιγνῶναι, οὐδὲ πρὸς ἱδρυθεῖς τοῖς κοινοῖς σκύλα ἀπὸ ἡμῶν σφῶν ἐυεργετῶν φῇ ἑλλάδα, ἀνατεθεῖσαι. δεινὸν δ' ἂν δόξειε εἶναι πλάταιαν λακεδαιμονίους προθεῖσαι, καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν κρίποδα τὸν σὺν δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δ' καὶ ἐκ παντὸς τοῦ ἑλληνικοῦ σωοικησίᾳ δικαίως ὀζαλεῖψαι. ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἱ ἄνευ μὲν δόντων τε κρατησάντων ἀπρεπεῖ μεθα. καὶ νῦν σὺν ὑμῖν τοῖς φιλτάτοις, θανεῖσθαι ἕτοιμοί ἐσμεν. καὶ δύο ἀγῶνας τοὺς μεγίστους ἠγωνίσμεθα, τόν τε πρὸς τὴν πόλιν, εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρεῖσαι. νῦν δὲ, θανάτου δίκην κρίνεσθαι. καὶ περιεῶσμεθα ἐκ πάντων πλαταιεῖς, οἱ σὺν δικαιοσύνῃ πρόθυμοι ἐς τοὺς ἕλληνας, ἔρημοι καὶ ἀτιμώρητοι, καὶ οὔτε σφῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς, ὑμεῖς τε ὦ λακεδαιμόνιοι ἢ μόνη ἐλπὶς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε. καὶ τοι ἀξιοῦμεν γε καὶ θεῶν ἕνεκα σφῶν ξυμμαχικῶν ποτε γεγενημένων, καὶ

δι

ΟΥΔ' ἀρετῆς ΟΥΔ' ἐς τοὺς ἕλληνας, καμφθῆναι ὑμᾶς, ΟΥΔ' μεταγνῶναι, εἴ τι ὑπὸ θηβαίων ἐπείσθητε. τίνι τε δωρεᾷ ἀνταπαιτῆσαι αὐτοὺς, μὴ κτείνειν, οὓς μὴ ὑμῖν πρέπει, σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν. καὶ μὴ ἥδονὴν ὄντας ἄλλοις, κακίαν αὐτοὺς ἀναλαβεῖν. βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ᾧ πόνον δὲ τὸν δύσκλειαν αὐτῶν ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκὸς ὑμωμόσθαι ἀλλ' εὐνους, κατ' ἀνάγκην πολεμήσαντας, ὥς τε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες, ὅσια ἂν δικάζοιτε. καὶ προνοοῦντες, ὅτι ἑκόντας τε ἐλάβετε, καὶ χεῖρας προϊκομένους. ὁ δὲ νόμος τοῖς ἕλλησι, μὴ κτείνειν τότους. ἔτι δὲ, εὐεργέτας γεγενημένους διαπαντός. ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀρθανόντας ὑπὸ μήδων, καὶ θαφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατ' ἔτος ἑκάστου δημοσίᾳ, ἐθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες. ἐῶμεν μὲν, ἐκ φιλίας χώρας. ξύμμαχοι δὲ, ὁμαίχμοις ποτὲ γενομένοις. ὧν ὑμεῖς τὸν κτίσαντα ἂν δράσαιτε, μὴ ὀρθῶς γνόντες. σκέψασθε δὲ (παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς, νομίζων ἐν γῇ τε φιλίᾳ ἀθάνατα, καὶ παρ' ἀνδράσι πιστοῖς. ὑμεῖς δὲ ἐκτενεῖτε ἡμᾶς, καὶ χώραν τὰ πλαταιΐδα, θηβαίδα ποιήσετε) τί ἄλλο, ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ πίστιν ἀνθένταις, πατέρας τοὺς ὑμετέρους ξυγγενεῖς ἀτίμους γοργῶν, ὧν ναῦν ἴσχυσι καταλείψετε; πρὸς δὲ, καὶ γῆν, ἐν ᾗ κλεινδοξώθησαν οἱ ἕλληνες, δηλώσετε. ἰδρά τε θεῶν, οἷς ἐυξάμενοι, μήδων

ἐν κράτησαι, ἐρημοῦτε. καὶ θυσίας τὰς πατρίους τῶν ἑσσαμένων, καὶ κτισάντων, ἀφαιρήσεσθε. οὐ πρὸς σὺ ὑμετέρας δόξης ὦ λακεδαιμόνιοι τάδε, οὔτε ἐς τὰ κοινὰ τῶν ἑλλήνων νόμιμα, καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν. οὔτε ἡμᾶς τοὺς εὐεργέτας, ἀλλοτρίας ἕνεκα ἔχθρας, μὴ αὐτοὺς ἀδικηθέντας, διαφθεῖραι. φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ, οἴκτῳ σώφρονι λαβόντας, μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοοῦντες, ἀλλ' οἷοί τε ἂν ὄντες πάθοιμεν, καὶ ὡς ἀστάθμητον τὸ σὺ ξυμφορᾶς, ᾧ τινὶ ποτ' ἂν καὶ ἀναξίως ξυμπέσοι. ἡμεῖς τε, ὡς πρέπον ἡμῖν, καὶ ὡς ἡ χρεία προάγει, αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους, καὶ κοινοὺς τῶν ἑλλήνων ἐπιβοώμενοι πεῖσαι τάδε, προφερόμενοι ὅρκους, οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμνημονεῖν ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων, καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας, μὴ γενέσθαι ὑπὸ θηβαίοις, μηδὲ τοῖς ἐχθίστοις εἰλτατοι ὄντες παραδοθῆναι. ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μεθ' ἑαυτῶν πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν. ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι λόγου τελευτᾷν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι, λέγομεν ἤδη, ὅτι οὐθηβαίοις παρέδομεν τὴν πόλιν. εἱλόμεθα γὰρ ἂν πρόγε τούτου, τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ τελευτῆσαι. ὑμῖν δὲ πιστεύσαντες, προσήλθομεν. καὶ δίκαιον εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντες τὸν ξυντυχόντα κίνδυνον, ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι. ἐπισκήπτομεν

σκήπτομαι τε ἅμα, μὴ πλαταιᾶς ὄντες οἱ προθυμώτατοι πρὸς τοὺς ἕλληνας γιγνόμενοι, θηβαίοις τοῖς ἡμῖν ἐχθίστοις ἐκ τῶν ὑμετέρων χειρῶν, καὶ τῆς ὑμετέρας πίστεως ἐπειθόμενοι ὄντες, ὦ λακεδαιμόνιοι παρακαλοῦμαι, γενέσθαι τε σωτῆρας ἡμῶν, καὶ μὴ τοὺς ἄλλους ἕλληνας ἐλευθεροῦντας, ἡμᾶς διολέσαι. τοιαῦτα μὲν οἱ πλαταιῆς εἶπον. οἱ δὲ θηβαῖοι δείσαντες πρὸς τὸν λόγον αὐτῶν, μὴ οἱ λακεδαιμόνιοι τι ὠφελῶσι, παρελθόντες, ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν. ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὐτῶν, μακρότερος λόγος ἐξόθη πρὸς τὴν ἐρώτημα ἀποκρίσεως. ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΘΗΒΑΙΩΝ.

Τοὺς μὲν λόγους, οὐκ ἂν ἠτησάμεθα εἰπεῖν. εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο. καὶ μὴ ἐπὶ ἡμᾶς τραπόμενοι, κατηγορίαν ἐποιήσαντο. καὶ περὶ αὐτῶν, ἔξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ἠτιασμένων, ποιοῦσι τὴν ἀπολογίαν, καὶ ἔπαινον, ὧν οὐδεὶς ἐμέμφατο. νῦν δὲ, πρὸς μὲν τὰ αὐτόφωρα δεῖ, τῶνδε ἔλεγχον ποιῆσαι, ἵνα μήτε ἡ ἡμετέρα ἀρετὴ αὐτοὺς κακία ὠφελῇ, μήτε ἡ τούτων δόξα. τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες, κρίνητε. ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα πρῶτον, ὅτι ἡμῶν καὶ σύντων πλάταιαν ὕστερον καὶ ἄλλης βοιωτίας, καὶ ἄλλα χωρία μετ' αὐτῆς, ἃ ξυμμίκτες ἀνθρώπους ἐξελάσαντες, ἔχομεν, οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τοπρῶτον, ἡγεμονεύεσθαι ὑφ' ἡμῶν. ἔξω δὲ τῶν ἄλλων βοιωτῶν παρασαίνοντες τὰ

πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώρησαν πρὸς
ἀθηναίους. καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ'
ὧν καὶ ἀντέπαθον. ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν
ἐπὶ τὴν ἑλλάδα, φασὶ μόνοι βοιωτῶν οὐ μηδίσαι. καὶ
τούτῳ μάλιστα. αὐτοί τε ἀγάλλονται, καὶ ἡμᾶς λοιδοροῦ-
σιν. ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὐ φαμὲν, διότι οὐδ'
ἀθηναίους, τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον ἀθηναίων ἰόντων
ἐπὶ τοὺς ἕλληνας, μόνους αὖ βοιωτῶν ἀπτικίσαι, καί-
τοι σκέψασθε ἐν οἵῳ εἴδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν.
ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρ-
χίαν ἰσόνομος πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν, ὅπερ
δέ ἐστι νόμοις μὲν καὶ τῷδ' σωφρονεστάτῳ ἐναντιώματον,
ἐγγυτάτῳ δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ
πράγματα. καὶ οὗτοι ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι
μᾶλλον σχήσειν, εἰ τὰ τοῦ μήδου κρατήσειε, κατέχοντες
ἰσχύϊ τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν. καὶ ἡ ξύμπασα
πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς, τοῦτ' ἔπραξεν. οὐδ'
ἄξιον αὐτῇ ὀνειδίσαι, ὧν μὴ μετὰ νόμων ἥμαρτεν. ἐπει-
δὴ γοῦν ὅ τε μῆδος ἀπῆλθε, καὶ τοὺς νόμους ἔλαβε, σκέψα-
σθαι χρή. ἀθηναίων ὕστερον ἐπιόντων, τήν τε ἄλλην ἑλλά-
δα, καὶ τὰ ἡμετέραν χώραν πειρωμένων ὑφ' αὐτοῖς ποι-
εῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλὰ, εἰ
μαχόμενοι ἐν κορωνείᾳ καὶ νικήσαντες αὐτοὺς, ἐλευθερώ-
σαμεν τὰ βοιωτίαν, καὶ τοὺς ἄλλους, νῦν προθύμως ξυνε-
λευθεροῦμεν. ἵππους τε παρέχοντες καὶ παρασκευῆν, ὅσην
οὐκ ἄλλοι τῶν ξυμμάχων. καὶ τὰ μὲν ἐς τὸν μηδισμόν.

τοσαῦτα

τοσαῦτα ἀπολογούμεθα. ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς ἕλληνας, καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν. ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατὲ, ἀθηναίων ξύμμαχοι, καὶ πολῖται. οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ὑπάγεσθαι αὐτοὺς, καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον τε ὑμῖν, εἴ τι καὶ ἄκοντες προσήγεσθε ὑπ' ἀθηναίων, καὶ τῶν λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷδ' μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε, ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν, καὶ τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. ἀλλ' ἑκόντες, καὶ οὐ βιαζόμενοι ἔτι, εἵλεσθε μᾶλλον τὰ τῶν ἀθηναίων. καὶ λέγετε, ὡς αἰσχρὸν ἦν προδοῦναι, τοὺς εὐεργέτας. πολὺ δέ γε αἰσχρὸν καὶ ἀδικώτερον, τοὺς πάντας ἕλληνας καταπροδοῦναι, οἷς ξυνωμόσατε, ἢ ἀθηναίους μόνους. τοὺς μὲν καταδουλουμένους τὴν ἑλλάδα, τοὺς δὲ ἐλευθεροῦντας. καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε, οὐδὲ αἰσχύνης ἀπηλλάγμενην. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτοὺς, ὡς φατὲ ἐπηγάγεσθε. τοῖς δὲ ἀδικοῦσιν ἄλλους, ξυνεργοὶ κατέστητε. καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον. ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας. δῆλόν τε ἐποιήσατε, οὐδὲ τότε τῶν ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' ἀθηναῖοι ὑμεῖς, δὲ, τοῖς μὲν ταῦτα βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία, ὃν νῦν ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοί, ἀπ' τούτων ὠφελεῖσθαι. ἀλλ' οὐκ εἰκός. ὥσπερ δὲ ἀθηναίους εἵλεσθε, τούτοις

ξυνωμο=

ξυναγωνίζεσθε, καὶ μὴ προφέρετε τὴν τότε γενομένην
ξυνωμοσίαν, ὡς χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. ἀπελείπετε
γὰρ αὐτήν. καὶ παραβάντες, ξυγκατεδουλοῦσθε μᾶλλον
αἰγινήτας, καὶ ἄλλους τινὰς τῶν ξυνωμοσάντων, ἢ διεκω-
λύετε. καὶ ταῦτα οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους
οὕσπερ μέχρι τοι δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου,
ὥσπερ ἡμᾶς τὴν τελευταίαν τε πρὶν περιτειχίζεσθε πρό-
κλησιν ἐς ἡσυχίαν ὑμῶν, ὥς τε μήδ' ἑτέροις ἀμύνειν οὐκ
ἐδέχεσθε. τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς ἕλ-
λησι μισοῖντο, οἵ τινες ἐπὶ τῷδ' ἐκείνων κακῷ ἀνδραγαθίαν
προὔθεσθε. καὶ ἃ μὲν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ
προσήκοντα νῦν ἐπεδείξατε, ἃ δὲ ἡ φύσις αἰεὶ ἐβούλετο
ἐζηλέγχθη ἐς τὸ ἀληθές. μετὰ γὰρ αθηναίων ἄδικον
ὁδὸν ἰόντων ἐχωρήσατε. τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε
ἀκούσιον μηδισμὸν, καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν
τοιαῦτα ἀποφαίνομεν, ἃ δὲ τελευταῖα φατὲ ἀδικηθῆναι.
παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομη-
νίαις ἐπὶ τὴν ὑμετέραν πόλιν, οὐ νομίζομεν οὐδ' ἐν τού-
τοις ὑμῶν μᾶλλον ἁμαρτάνειν. εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ
πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν
ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν. εἰ δὲ ἄνδρες ὑμῶν οἱ
πρῶτοι καὶ χρήμασι, καὶ γένει, βουλόμενοι καὶ μὲν ἔξω
ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων
βοιωτῶν πάτρια καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί
ἀδικοῦμεν; οἱ ἄγοντες πρανομοῦσι μᾶλλον τῶν ἑπομένων.
ἀλλ' οὔτ' ἐκεῖνοι ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς πολῖται
δὲ ὄντες,

δὲ ὄντες, ὥσπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντας, καὶ ἐς τὴν αὐτῶν πόλιν εἰλίως, οὐ πολεμίως κομίσαντας, ἐβούλοντο, τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους, τὰ ἄξια ἔχειν, σωφρονισαὶ ὄντες καὶ γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους. τεκμήριον δὲ, ὡς οὐ πολεμίως ἐπράσσομεν. οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν τε τὸν βουλόμενον κατὰ τὰ τῶν πάντων βοιωτῶν πάτρια πολιτεύειν, ἰέναι πρὸς ἡμᾶς. καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες, καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον, ἡσυχάζετε. ὕστερον δὲ, κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι, οὐ μετὰ τοῦ πλήθους ὑμῶν εἰσελθόντες, τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν, μήτε νεωτερῆσαι ἔργῳ λόγοις τε πείσειν, ὥστε ἐξελθεῖν. ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν. κατὰ νόμον γὰρ δή τινα ἔπασχον. οὓς δὲ χεῖρας προϊσχομένους, καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν, πρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; καὶ ταῦτα, τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες. τήν τε λυθεῖσαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον, καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπόσχεσιν, ἢν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν. ὅμως φατὲ ἡμᾶς πρανομῆσαι, ὃ αὐτοὶ ἀξιοῦτε μὴ ἀνταδοῦναι δίκην, οὐκ ἦν γε οὗτοι

τὰ ὀρθὰ γιγνώσκωσι. πάντων δὲ τῶν ἕνεκα κολασθήσε-
σθε. καὶ ταῦτα ὦ λακεδαιμόνιοι τούτου ἕνεκα ἐπεξήλθο-
μεν, καὶ ὑπὲρ ὑμῶν, καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε, δι-
καίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον
τετιμωρειμένοι. καὶ μὴ παλαιὰς ἀρετὰς εἴ τις ἄρα καὶ
ἐγένετο ἀκούοντες, ἐπικλασθῆτε, ὃς χρὴ τοῖς μὴ ἀδικουμέ-
νοις ἐπικούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι, διλπασίας
ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων, ἁμαρτάνουσι. μὴ δὲ ὁλο-
φυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους τῶν ὑμε-
τέρων ἐπιβοώμενοι, καὶ τῶν σφετέραν ἐρημίαν. Ὁ γὰρ ἡμεῖς
αὐταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ
τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες, οἱ μὲν
πρὸς ὑμᾶς τὴν βοιωτίαν ἄγοντες, ἀπέθανον ἐν κορωνείᾳ.
οἱ δὲ πρεσβύται λελειμένοι, καὶ οἰκίαι ἔρημοι, πολλῷ δι-
καιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται τούσδε τιμωρήσασθαι,
οἴκτου τε ἀξιώτεροι τυγχάνειν, οἱ ἀπρεπὲς τι πάσχοντες
τῶν ἀνθρώπων. οἱ δὲ δικαίως, ὥσπερ οἴδε, τὰ ἐναντία
ἐπίχαρτοι εἶναι, καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι.
τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο. παρη-
νόμησάν τε, οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον, ἢ
δίκῃ κρίναντες, καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην τιμω-
ρίαν (ἔννομα γὰρ πείσονται) καὶ οὐχὶ ἐκ μάχης χεῖρας
προϊσχόμενοι, ὥσπερ φασὶν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δί-
κην σφᾶς αὐτοὺς παραδόντες. ἀμύνατε οὖν ὦ λακεδαι-
μόνιοι, Ὁ τοῦ τῶν ἑλλήνων νόμῳ, ὑπὸ τῶνδε παραβαθέντι,
καὶ ὑμῖν ἄνομα παθοῦσιν, ἀνταπόδοτε χάριν δικαίαν,
ὧν πρό-

ὧν πρόθυμοι γεγένημεθα, καὶ μὴ τοῖς τῶνδε λόγοις πρι-
ωσθῶμεν ἐν ὑμῖν. ποιήσατε δὲ τοῖς ἕλλησι παράδειγμα
οὐ λόγων τούτοις ἀγῶνας προθήσοντες, ἀλλ' ἔργων, ὧν
ἀγαθῶν μὲν ὄντων, βραχεία ἡ ἐπαγγελία ἀρκεῖ. ἁμαρτα-
νομένων δὲ λόγοι ἔπεσι κοσμηθέντες, προκαλύμματα
γίγνονται. ἀλλ' ἢν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς κεφα-
λαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήση-
σθε, ἡσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει.
τοιαῦτα δὲ οἱ θηβαῖοι εἶπον. οἱ λακεδαιμόνιοι δικασταί,
νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι ἐν τῷ
πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλ-
λον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κτ τὰς παλαιὰς παυσα-
νίου μετὰ τὸν μῆδον σπονδὰς ἡσυχάζειν. καὶ ὅτε ὕστερον
ἃ πρὸ τοῦ περιτειχίζεσθαι προΐσχοντο αὐτοῖς, κοινοὺς εἶναι
κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο. ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ
βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖ-
θις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες, καὶ ἐρωτῶντες, εἴ τι
λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πο-
λέμῳ δεδρακότες εἰσίν, ὁπότε μὴ φαῖεν, ἀπάγοντες,
ἀπέκτεινον, καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. διέφθειραν
δὲ πλαταιέων μὲν αὐτῶν, οὐκ ἐλάσσους διακοσίων. ἀθη-
ναίων δὲ, πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο. γυναῖκας δὲ
ἠνδραπόδισαν. τὴν δὲ πόλιν, ἐνιαυτὸν μὲν τινα θηβαῖοι
μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, ὅσοι τὰ
σφέτερα φρονοῦντες πλαταιέων περιῆσαν, ἔδοσαν ἐνοι-
κεῖν. ὕστερον δὲ, καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ

τῶν θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ ἡραίῳ καταγώγιον
διακοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα ἔχον κά-
τωθεν καὶ ἄνωθεν. καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν
πλαταιέων ἐχρήσαντο. Ϛ τοῖς ἄλλοις, ἃ ἦν ἐν τῷ τείχει,
ἔπιπλα, χαλκός, καὶ σίδηρος, κλίνας κατασκευάσαντες
ἀνέθεσαν τῇ ἥρᾳ, καὶ νεῶν ἑκατόμπεδον λίθινον ᾠκοδό-
μησαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν
ἐπὶ δέκα ἔτη. καὶ ἐνέμοντο θηβαῖοι. σχεδὸν δέ τι καὶ τὸ
ξύμπαν περὶ πλαταιῶν οἱ λακεδαιμόνιοι οὕτως ἀπο-
τετραμμένοι ἐγένοντο, θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν
πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι.
καὶ τὰ μὲν κατὰ πλάταιαν, ἔτει τρίτῳ καὶ ἐννενηκοστῷ,
ἐπειδὴ ἀθηναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησεν.
αἱ δὲ τεσσαράκοντα νῆες τῶν πελοποννησίων, αἱ λεσβίοις
βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοὺς πελάγους, ἔκ
τε τῶν ἀθηνῶν ἐπιδιωχθεῖσαι, καὶ πρὸς τῇ κρήτῃ χειμα-
σθεῖσαι, καὶ ἀπ' αὐτῆς σποράδες πρὸς τὴν πελοπόννησον
κατηνέχθησαν καταλαμβάνουσιν ἐν τῇ κυλλήνῃ τρισκαί-
δεκα τριήρεις λευκαδιῶν, Ϛ ἀμπρακιωτῶν. καὶ βρασίδαν
τὸν τέλλιδος, ξύμβολον ἀλκίδᾳ ἐπεληλυθότα. ἐβούλοντο
γὰρ οἱ λακεδαιμόνιοι ὡς καὶ λέσβου ἡμαρτήκεσαν, πλέον
τὸ ναυτικὸν ποιήσαντες, ἐς τὴν κέρκυραν πλεῦσαι στασιά-
ζουσαν, δώδεκα μὲν ναυσὶ μόναις, παρόντων ἀθηναίων
περὶ ναύπακτον. πρὶν δὲ πλέοντι ἐπιβοηθῆσαι ἐκ τῶν
ἀθηνῶν ναυτικόν, ὅπως προφθάσωσι. καὶ παρεσκευάζον-
το, ὅ, τε βρασίδας, Ϛ ὁ ἀλκίδας, πρὸς ταῦτα. οἱ γὰρ κερ-
κυραῖοι

κυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς, οἱ ἐκ τῶν πρὶ ὠλδαμνὸν ναυμαχιῶν, ὑπὸ κορινθίων ἀφεθέντες, τοῦ μὲν λόγῳ ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγνυημένοι, ἔργῳ δὲ πεπεισμένοι κορινθίοις κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν ἀθηναίων τὴν πόλιν. καὶ ἀφικομένης ἀττικῆς τε νεὼς, καὶ κορινθίας, πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο κερκυραῖοι. ἀθηναίοις μὲν ξύμμαχοι εἶναι, κατὰ τὰ ξυγκείμενα. πελοποννησίοις δὲ φίλοι, ὥσπερ καὶ πρότερον. καὶ ἦν γὰρ πειθίας ἐθελοπρόξενός τε τῶν ἀθηναίων, καὶ τοῦ δήμου προεστήκει. ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες εἰς δίκην, λέγοντες ἀθηναίοις τὴν κέρκυραν καταδουλοῦν. ὁ δὲ ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε διὸς τεμένους, καὶ τοῦ ἀλκινοῦ. ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο, στατήρ. ὁ φλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων, διὰ τὸ πλῆθος καὶ ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν) πείθει, ὥς τε τοῦ νόμῳ χρήσασθαι. οἱ δ' ἐπειδὴ τοῦ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο τὸν πειθίαν, ἕως βουλῆς ἐστὶ μέλλειν τὸ πλῆθος ἀναπείσειν, τοὺς αὐτοὺς ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσαντό τε. καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε πειθίαν κτείνουσι, καὶ ἄλλους τῶν τε βουλευτῶν, καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. οἱ δέ τινες καὶ αὐτῆς γνώμης

τῷ πειθίᾳ ὀλίγοι ἐς τὴν ἀττικὴν τρίηρη κατέφυγον ἔτι
παροῦσαν. δράσαντες δὲ τοῦτο, καὶ ξυγκαλέσαντες κορκυ-
ραίους, εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη, καὶ ἥκιστ' ἂν
δουλωθεῖεν ὑπ' ἀθηναίων, τό, τε λοιπὸν μηδ' ἑτέρους δέ-
χεσθαι, ἀλλ' ἢ μιᾷ νηῒ ἡσυχάζοντας, καὶ τὸ πλέον πολέμιον
ἡγεῖσθαι. ὡς δὲ εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν
γνώμην. πέμπουσι δὲ καὶ ἐς τὰς ἀθήνας εὐθὺς πρέσβεις,
περί τε τῶν πεπραγμένων διδάξοντας, ὡς ξυνέφερε,
καὶ τοὺς ἐκεῖ καταπεφευγότας, πείσοντας μηδὲν ἀνεπι-
τήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται. ἐλθόν-
των δὲ οἱ ἀθηναῖοι. τούς τε πρέσβεις ὡς νεωτερίζοντας
ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς αἴγιναν. ἐν
δὲ τούτῳ, τῶν τε κορκυραίων οἱ ἔχοντες τὰ πράγματα,
ἐλθούσης τριήρους κορινθίας, καὶ λακεδαιμονίων πρέσβεων,
ἐπιτίθενται τῷ δήμῳ. καὶ μαχόμενοι, ἐνίκησαν. ἀφι-
κομένης δὲ νυκτὸς, ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ
τὰ μετέωρα καὶ πόλεως καταφεύγει καὶ αὐτοῦ ξυλλεγεὶς,
ἵδρυνη. καὶ τὸν ὑλλαϊκὸν λιμένα εἶχον. οἱ δὲ τήν τε ἀγο-
ρὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ τὸν
λιμένα τὸν πρὸς αὐτὴν, καὶ πρὸς τὴν ἤπειρον. τῇ δ' ὑστε-
ραίᾳ ἠκροβολίσαντό τε ὀλίγα, καὶ ἐς τοὺς ἀγροὺς περιέ-
πεμπον ἀμφότεροι τοὺς δούλους, παρακαλοῦντές τε, καὶ
ἐλευθερίαν ὑπισχνούμενοι. καὶ τῷ μὲν δήμῳ, τῶν οἰκετῶν
τὸ πλῆθος παρεγένετο ξύμμαχον. τοῖς δ' ἑτέροις, ἐκ καὶ
ἠπείρου, ὑπήκουροι ὀκτακόσιοι. διαλειπούσης, δ' ἡμέρας
μάχη αὖθις γίγνεται, καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ,

καὶ

καὶ πλήθει προέχων. ἄν τε γυναῖκες αὐτῶν τολμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν, καὶ κεράμῳ, καὶ παρὰ φύσιν ξυστομωθεῖσαι τὴν θέσιν. γνωμωθέντες δὲ ὁμοπλοίᾳ πρὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι μὴ αὐτο-
5. βοεὶ ὁ δῆμος τῶν πεντακοσίων ἐπελθών, καὶ σφᾶς διαφθείρειεν, ἐμπιπράσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς, καὶ τὰς ξυνοικίας, ὅπως μὴ ἢ ἔφοδος. φειδόμενοι οὔτε οἰκείας, οὔτε ἀλλοτρίας, ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη. καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα δια-
10. φθαρῆναι, εἰ ἄνεμος ἐπιγένοιτο τῇ φλογὶ ὑπόφορος ἐς αὐτήν. καὶ οἱ μὲν παυσάμενοι τῆς μάχης, ὡς ἑκάτεροι ἠσυχάσαντες τὴν νύκτα, ἐφύλασσον. καὶ ἡ κοινὴ ναῦς, τῶν δήμου κεκρατηκότων, ὑπεξανήγετο. καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες, διεκομίσθη-
15. σαν. τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ, νικήσαντος τοῦ δήμου, ἀθλοφόροι μὲν ἐγένοντο Κορίνθιοι, καὶ Ἀθηναίων στρατηγός, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσί, καὶ μεσογαίων πεντακοσίοις ὁπλίταις. ξυμβάσιν τε ἐποίησαν, καὶ πείθουσιν ὥστε ξυγχωρῆσαι
20. ἀλλήλοις, δέκα μὲν ἄνδρας τοὺς ἀδωτάτους κρῖναι, οἵτινες οὐκέτι ἔμειναν. τοὺς δ' ἄλλους οἰκεῖν, αὐτονόμους πρὸς ἀλλήλους ποιησαμένους, καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. καὶ ὁ μὲν ταῦτα πρά-
25. ξας, ἔμελλεν ἀποπλεύσεσθαι. οἱ δὲ τοῦ δήμου προσάτας, πείθουσιν αὐτὸν, πέντε μὲν ναῦς σφῶν αὐτῶν σῴζειν κατα-
λιπεῖν, ὅπως κατὰ τὰ ξυνηνεγμένα ὦσιν οἱ ξυνεστῶτες. ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν, ξυμπέμψειν.

καὶ ὁ

καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι, μὴ ἐς τὰς ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν διοσκούρων ἱερόν. νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε, καὶ παρεμυθεῖτο. ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοι μὴ ξυμπλεῖν ἀπιστίᾳ τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινας, οἷς ἐπέτυχον, εἰ μὴ νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. ὁρῶντες δὲ οἱ ἄλλοι τὰ γιγνόμενα, καθίζουσιν ἐς τὸ ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοι ἡραίου νῆσον. καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο. καὶ δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν, αἱ ἐκ καὶ κυλλήνης πελοποννησίων νῆες, μετὰ τὸν ἐκ καὶ ἰωνίας πλοῦν, ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα. ἦρχε δὲ αὐτῶν ἀλκίδας, ὅσπερ καὶ πρότερον. καὶ βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. ὁρμισάμενοι δὲ ἐς σύβοτα λιμένα καὶ ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ κερκύρᾳ. οἱ δὲ πολλῷ θορύβῳ καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει, καὶ τὸν ἔνδεκα πλοῦν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς. καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον, πρὸς τοὺς ἐναντίους, παραινούντων ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι, καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς

μοὶ ἐυθὺς ἀυτομόλησαν. οἳ δ' ἑτέραις δὲ ἄλλοις οἱ ἐμ-
πλέοντες ἐμάχοντο. ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμέ-
νων. ἰδόντες δὲ οἱ πελοποννήσιοι τὴν ταραχὴν, εἴκοσι
μὲν ναυσὶ πρὸς τοὺς κορκυραίους ἐτάξαντο. ταῖς δὲ λοι-
παῖς πρὸς τὰς δώδεκα ναῦς τῶν ἀθηναίων, ὧν ἦσαν αἱ
δύο, σαλαμινία, καὶ πάραλος. καὶ οἱ μὲν κορκυραῖοι
κακῶς τε καὶ κατ' ὀλίγας προσέπιπτον, ἐταλαιπωροῦντο
καὶ αὐτοὶ. οἱ ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος, καὶ τὴν
περικύκλωσιν, ἀθρόαις μὲν οὐ προσέπιπτον, οὐδὲ κύ-
κλον ταῖς ἐφ' ἑαυτοῖς πεταγμέναις. προσβαλόντες δὲ καὶ
κέρας, καταδύουσι μίαν ναῦν. καὶ μεταξὺ τὰ κύκλου
ταραμμένου αὐτῶν, πορίεπλεον, καὶ ἐπεραιοῦντο θορυβοῦν-
τας δὲ οἱ πρὸς τοῖς κορκυραίοις, καὶ δείσαντες μὴ ὅπως
αἱ ναυπάκτῳ νῆσοιτο, ἐπεβοηθοῦσι. ὡς δὲ νῆες ἄμα
ἀνεφάνησαν, ἅμα τὸν παιᾶνα τοῖς ἀθηναίοις ἐποιοῦντο. οἱ δ'
ὑπεχώρουν ἤδη πεφυμναικότες. καὶ ἅμα τὰς τῶν
κορκυραίων ἐβόλοντο προκαταφυγεῖν, ὅτι μάλιστα ἀνα-
χωρούντων καὶ πρὸς σφᾶς πεταγμένων. καὶ τῶν μὲν
τῶν κορκυραίων ἀντίον. ἡ μὲν οὖν ναυμαχία τοιαύτη
ἐπλεύσθη ἐς ἡλίου δύσιν. καὶ οἱ κορκυραῖοι δείσαντες, μὴ
σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν ὡς κρατοῦντες οἱ
πολέμιοι, ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο
τι νεωτερίσωσι, τόν τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ ἡραῖον
διεκόμισαν, καὶ τὴν πόλιν ἐφύλασσον. οἱ δ' ἐπὶ μὲν
τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι κρατοῦντες τῇ
ναυμαχίᾳ, πλεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν κορκυ-

ξαίωμ', ἀπέπλευσαμ ἐς τὴν ἤπειρον, ὅθεν περ ἀνηγάγοντο.
τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλευσαν, καίπερ ἐν πολλῇ ταραχῇ, καὶ φόβῳ ὄντας, καὶ βραδίσας παραπλεύσαντος, ὡς λέγεται, Ἀλκίδα ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμνην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπορθοῦμεν τοὺς ἀγρούς. ὁ δὲ δῆμος τῶν Κορκυραίων ἐν τούτῳ πρόθυμος ἦν, μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς παρὰ τῶν ἐναντίων ἡσσαν ἐς λόγους, καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις. καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐμβαίνειν. ἐπλήρουν γὰρ ὁμοῦ τριάκοντα. προσδεχόμενοι τὸν Ἀλκίδαν. οἱ δὲ Πελοποννήσιοι μέχρι μέσου ἡμέρας δηώσαντες τὴν γῆν, ἀπέπλευσαν. καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφυλακτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων, προσπλέουσαι ἀπὸ Λευκάδος. ἐς δὲ Ἀθηναῖοι παθόμενοι τὸν πάσιν τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ κέρκυραν μελλούσας πλεῖν, ἀπέστελλαν τὰς εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν. οἱ μὲν οὖν Πελοποννήσιοι περὶ νυκτὸς εὐθὺς κατάχθησαν ἐκομίζοντο ἐπὶ οἴκου παρὰ τὴν γῆν. καὶ ὑπερμεγέθεις τὸν Λευκαδίων λιμένα, τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κορκυραῖοι δὲ ἀναθόμενοι τὰς τε ἀπούσας ναῦς περισωσάσας, τάς τε τῶν πόλεως οἰχομένας, λαβόντες τοὺς μεσηλικίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας. καὶ τὰς ναῦς περιπλεύσαι κελεύσαντες, ἃς ἐπλήρωσαν ἐς τὸν ὑλλαϊκὸν λιμένα. ἐν ὅσῳ δὲ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον. καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες, ἀπε-

ἐκβιβάζειν proprie χώρης
vel navis dicitur, cum
per contrarium.

χώρησαν. ἐς τὸ ἡραῖόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντή-
κοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν. καὶ κατέγνωσαν
πάντων θάνατον. οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπεί-
σθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοὺς ἐν τῷ
ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο. οἱ δ'
ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. ἡμέρας τε ἑπτὰ, ἃς ἀφικό-
μενος εὐρυμέδων, ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε. οἱ
κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι,
ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον κα-
ταλύουσιν. ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα. καὶ
ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων, ὑπὸ τῶν λαβόν-
των. πᾶσά τε ἰδέα κατέστη θανάτου. καὶ οἷον φιλεῖ ἐν
τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅτι οὐ ξυνέβη καὶ ἔτι περαι-
τέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν
ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο. οἱ δέ τινες καὶ
περιοικοδομηθέντες ἐν τοῖς διονύσου τῷ ἱερῷ, ἀπέθανον.
οὕτως ὠμὴ στάσις προὐχώρησε. καὶ ἔδοξε μᾶλλον, διότι
ἐν τοῖς πρώτη ἐγένετο, ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν
τὸ ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκαστάχου, τοῖς τε
τῶν δήμων προστάταις τοὺς ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς
ὀλίγοις τοὺς λακεδαιμονίους. καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν
ἐχόντων πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς.
πολεμουμένων δὲ καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν
ἐναντίων κακώσει, καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προ-
σποιήσει, ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλο-
μένοις ἐπορίζοντο. καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ

σάσιν ταῖς πόλεσι. γιγνόμενα μεν, καὶ ἀεὶ ἐσόμενα,
ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ. μᾶλλον δὲ καὶ ἧσσο-
χαίτερα, καὶ τοῖς εἰδέσι διηλλαγμένα, ὥσαν ἑκάστη αἱ
μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. ἃ μὲν γὰρ εἰρήνη,
καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις, καὶ οἱ ἰδιῶται, 5
ἀμείνους τὰς γνώμας ἔχουσι, διὰ δὲ μὴ ἐς ἀκουσίους ἀνάγ-
καις πίπτειν. ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ'
ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς
ὀργὰς τῶν πολλῶν ὁμοίους. ἐσασίαζέ τε οὖν τὰ τῶν πό-
λεων, καὶ τὰ ἐφυσορίζοντα πρότερον, πύσει τῶν προχωμιῶν, 10
πολὺ ἐπεφόρει τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς δια-
νοίας, τῶν τε ἐπιχειρήσεων πορισμῷ, καὶ τῶν ἀμοιρῶν
ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων, ἐς τὰ
ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγι-
στος, ἀνδρία φιλέταιρος ἐνομίσθη. μέλλησις δὲ προμη- 15
θὴς, δειλία εὐπρεπὴς. τὸ δὲ σῶφρον, τοῦ ἀνανδρου πρόσχη-
μα. καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ὠλιγῶν ἄργον. τὸ δὲ
ἐμπληκτῶς ὀξύ, ἀνδρὸς μοίρᾳ προσετέθη. ἀσφάλεια δὲ
ὑπόπτου. ἐπιβουλεύσας δέ τις τυχὼν ξυνετός. καὶ ὑπο-
νοήσας, ἔτι δεινότερος. προβουλεύσας δὲ, ὅπως μηδὲν 20
αὐτῶν δέοιτο, ἵνα τε ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναν-
τίους ἐκπεπληγμένους. ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλον-
τα κακόν τι δρᾶν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ δια-
νοούμενον πρότερον. καὶ ξυγγενὴς τοῦ ἑταιρικοῦ ἁπλού-
στερος. μᾶλλον γὰρ οἱ τοιοῦτοι τῶν πολιτικῶν ἐπιθυμοῦσι

τριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασί-
στως τολμᾶν. οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφε-
λείας ἁι τοιαῦται ξυνόδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας
πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις, οὐ τοῦ θείου
νόμου μᾶλλον ἐκρατύνοντο, ἢ τοῦ κοινῇ τι παρανομῆσαι.
τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔρ-
γων φυλακῇ εἰ πρόυχοιεν, καὶ οὐ γένναιοτήτι. ἀντιτιμω-
ρήσασθαί τε τινὰ περὶ πλείονος ἦν, ἢ αὐτὸν μὴ προπαθεῖν.
καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς ἐν τῳαυτίκα
πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων
ἄλλοθεν δύναμιν. ἐν δὲ τοῦ παρατυχόντι ὁ φθάσας θαρ-
σῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ
διὰ τοι προφανοῦς. καὶ τό, τε ἀσφαλὲς ἐλογίζετο, καὶ
ὅτι ἁπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσε-
λάμβανε. ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι ὄντες, δεξιοὶ κέ-
κλινται, ἢ ἀμαθεῖς ἀγαθοί. καὶ τοῦ μὲν αἰσχύνονται
ἐπὶ δὲ τοῦ ἀγάλλονται. πάντων δ' αὐτῶν αἴτιον, ἡ ἀρ-
χὴ ἡ διὰ πλεονεξίαν, καὶ φιλοτιμίαν. ἐκ δ' αὐτῶν, καὶ
ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν
ταῖς πόλεσι προστάντες, μετὰ ὀνόματος ἑκάτεροι εὐ-
πρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς, καὶ ἀριστοκρα-
τίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θερα-
πεύοντες, ἄθλα ἐποιοῦντο. παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι
ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα,
ἐπεξῄεσάν τε, τὰς τιμωρίας ἔτι μείζους οὐ μέχρι τοι δι-
καίου ⊂ τῇ πόλει ξυμφόρου προτιθέντες. ἐς δὲ τὸ ἑκατέροις

που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ἡφροδισίου καταγνώσεως. ἢ χεῖρες κτώμενοι δ' κρατεῖν, ἕτοιμοι ἦσαν πᾶν ἀντίκα φιλονεικίαν ἐκπιμπλάναι, ὥστε εὐσεβείᾳ μὲν οὐδὲ ἕτεροι νομίζοντο, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη ἐπὶ φθόνου τί διαπράξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑφ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ πρωτεύειν διεφθείροντο. οὕτω πᾶσα ἰδέα κατέσχε κακοτροπίας διὰ τὰς σάσεις καὶ ἐλλιπικῶς. καὶ τὸ εὐήθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν, ἠφανίσθη. τὸ δὲ ἀντιπετάχθαι ἀλλήλοις τῇ γνώμῃ, ἀπίστως ἐπιπολὺ διεκράτησεν. οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγῳ ἐχυρὸς, οὔτε ὅρκῳ φοβερός. κρείσσους δὲ ὄντες ἀπάντων λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μᾶλλον προσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. οἱ φαυλότεροι γνώμῃ, ὡς τὰ πλείω πεφύκασι, διεφθείροντο (τῷ γὰρ δεδιέναι τό, τε ἀυτῶν ἐνδεὲς καὶ τῶν ἐναντίων ξυνετὸν μὴ λογίσασθαι τε ἔστιν ὅσον, καὶ ἐκ τοῦ πολλαχῇ πρόσω αὐτῶν ἡ γνώμη φθάσασα προεπιβουλεύουσα, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. οἱ δὲ καταφρονοῦντες καὶ προϊδέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἀγνώμη ἕξει. ἄφρακτοι μᾶλλον διεφθείροντο. ἐν δ' οὖν τῇ κορύφᾳ, τὰ πολλὰ αὐτῶν προετολμήθη. καὶ ὁπόσα ὕβρει μὴ ἀρχόμενοι δ' πλέον, ἢ σωφροσύνῃ, ὑπὸ τῶν τῶν ἡμιωρίων παρεσχόντων, οἱ ἀνταμυνόμενοι δράσειαν. σωφρίας δὲ τῆς εἰωθυίας ἀπαλλαξειούσης ἀνδρείας, μάλιστα δὲ ἐν ἀμφὶ διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην

δίκην γιγνώσκοιεν. οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ, ἀτὰρ ἴσου δὲ
μάλιστα ἐπιόντες ἀπαιδευσίᾳ, ὀργῆς πλεῖστον ἐκφερό-
μενοι, ὠμῶς τε ἀπαραιτήτως ἐπέλθοιεν. ξυνταραχθέν-
τος τε τοι βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει, καὶ τῶν νόμων
κρατήσασα ἡ ἀνθρωπεία φύσις, εἰωθυία τε παρὰ τοὺς νό-
μους, ἀδικεῖν, ἀσμένη ἐδήλωσεν, ἀκρατὴς μὲν ὀργῆς
οὖσα, κρείσσον δὲ τοι δικαίου, πολεμία δὲ τοῦ πρόσχοντος.
οὐ γὰρ ἂν τοι τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν, τοι τε
μὴ ἀδικεῖν τοῦ κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε
τὸ φθονεῖν. ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ
ἄνθρωποι νόμους, (ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφα-
λεῖσι, κἂν αὐτοὺς διασώζεσθαι) ἐν ἄλλων τιμωρίαις προ-
καταλύειν, καὶ μὴ ὑπολείπεσθαι εἴ ποτε ἄρα τις κινδυ-
νεύσας, τινὸς δεήσεται αὐτῶν. οἱ μὲν οὖν κατὰ τὴν πόλιν
κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους
ἐχρήσαντο. καὶ ὁ εὐρυμέδων, καὶ οἱ ἀθηναῖοι, ἀπέπλευ-
σαν ταῖς ναυσίν. ὕστερον δὲ οἱ φεύγοντες τῶν κερκυραίων
(διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους) τείχη τε λα-
βόντες, ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν καὶ πέραν οἰκείας γῆς.
καὶ ἐξ αὐτῆς ὁρμώμενοι, ἐληίζοντο τοὺς ἐν τῇ νήσῳ, καὶ
πολλὰ ἔβλαπτον. καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει.
ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν λακεδαίμονα, καὶ κόρινθον,
περὶ καθόδου. καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρό-
νῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς
τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες. καὶ τὰ πλοῖα
ἐμπρήσαντες ὅπως ἀπόγνοια ᾖ τοι ἄλλο τι ἢ κρατεῖν καὶ
γῆς,

γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὸ ὑπὲρ τῆς Ἰσώνης, τεῖχος ᾠκοδόμησαν ἐν αὐτῷ καὶ ἐφρούρουν τοὺς ἐν τῇ πόλει, καὶ ἀπὸ τῆς ἐπὶ θάλασσαν καθόδου τὸν λιμένα. τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος, Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν. καὶ λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν, καὶ Χαροιάδην τὸν Εὐφιλήτου. οἱ γὰρ Συρακόσιοι, καὶ Λεοντῖνοι, ἐς πόλεμον ἀλλήλοις καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακουσίοις ἦσαν, πλὴν Καμαριναίων, αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν Λακεδαιμονίων τοπρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε τοῖς δὲ Λεοντίνοις, αἱ Χαλκιδικαὶ πόλεις, καὶ Καμάρινα. τῆς δὲ Ἰταλίας, Λοκροὶ μὲν συρακουσίοις ἦσαν. Ῥηγῖνοι δὲ τὴν ξυνωνὲς, Λεοντίνων. ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν, καὶ ὅτι Ἴωνες ἦσαν, πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς, ὑπὸ γὰρ τῶν Συρακουσίων, καὶ τε γῆς εἴργοντο, καὶ ἀπὸ θαλάσσης. καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι ἐπὶ μὲν οἰκειότητι πρόφασιν, βουλόμενοί τε μήτε σῖτον ἐς τὸ Πελοπόννησον ἄγεσθαι ἐντεῦθεν, πρόσοδόν τε ποιεῖσθαι, εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. κατασάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας, τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων, καὶ τὸ θέρος ἐπελεύτα.

τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδέποτε τὸν πόλεμον τὸ παντάπασιν. ἐνέμειναν δὲ ὅμως διακοσίαις παρεμβολῆς

παρέμεινε δὲ τὸ μὲν ὕστερον, οὐκ ἔλασσον ἐνιαυτοῦ· τὸ δὲ πρότερον, καὶ δύο ἔτη. ὥστε ἀθηναίους τε μὴ εἶναι ὅτι μᾶλλον, τούτου ὑπλέσε, καὶ ἐκάκωσε τὴν δύναμιν. τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων, καὶ τριακοσίων ἱππέων. τοῦ δὲ ἄλλου ὄχλου, ἀνεξεύρετος ἀριθμός. ἐγένοντο δὲ καὶ οἱ πολλοὶ σεισμοὶ τό τε καὶ γῆς, ἔν τε ἀθήναις καὶ ἐν εὐβοίᾳ, καὶ ἐν βιωτοῖς, καὶ μάλιστα ἐν ὀρχομενῷ τοῦ βοιωτίω. καὶ οἱ μὲν ἐν σικελίᾳ ἀθηναῖοι, καὶ ῥηγῖνοι, τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατευούσιν ἐπὶ τὰς αἰόλου νήσους καλουμένας. θέρους γὰρ δι' ἀνυδρίαν, ἀδύνατα ἦν ἐπιστρατεύειν. νέμονται δὲ λιπαραῖοι αὐτὰς, κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ. καλεῖται δὲ λιπάρα. τὰς δὲ ἄλλας ἐκ τάυτης ὁρμώμενοι, γεωργοῦσι διδύμην, καὶ στρογγύλην, καὶ ἱεράν. νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ ἱερᾷ, ὡς ὁ ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ, καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν σικελῶν καὶ μεσσηνίων γῆν. ξύμμαχοι δ' ἦσαν συρακουσίων. τεμόντες δ' οἱ ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ ῥήγιον, καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ πέμπτον ἔτος ἐτελεύτα τοῦ πολέμου τοῦ δὲ, ὃν θουκυδίδης ξυνέγραψε.

¶ Τοῦ δ' ἐπιγιγνομένου θέρους, πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον, ὡς ἐς τὴν ἀττικὴν ἐσβαλοῦντες, ἄγιδος τοῦ ἀρχιδάμου ἡγουμένου λακεδαι-

μονίων βασιλέως. σεισμῶν δὲ γενομένων πολλῶν, ἀπε-
τράποντο πάλιν, καὶ οὐκ ἐγένετο ἐσβολή. καὶ περὶ τούτους
τοὺς χρόνους τῶν σεισμῶν κατεχόντων τῆς εὐβοίας ἐν ὀροβίαις
ἡ θάλασσα ἐπελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς, καὶ κυματωθεῖ-
σα, ἐπῆλθε καὶ πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε,
τόδ' ὑπενόσησε. καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ.
καὶ ἀνθρώπους διέφθειρεν, ὅσοι μὴ ἐδύναντο φθῆναι, πρὸς
τὰ μετέωρα ἀναδραμόντες. καὶ περὶ ἀταλάντην τῆς ἐπὶ
λοκροῖς τοῖς ὀπουντίοις νῆσον, παραπλησία γίγνεται
ἐπίκλυσις. καὶ τοι τε φρουρίου τῶν ἀθηναίων παρεῖλε καὶ
δύο νεῶν ἀνειλκυσμένων, τὴν ἑτέραν κατέαξεν. ἐγένετο
δὲ καὶ ἐν πεπαρήθῳ κύματος ἐπαναχώρησις τις, οὐ μέν
τοι ἐπέκλυσέγε. καὶ σεισμὸς τοι τείχους τι κατέβαλε,
καὶ τὸ πρυτανεῖον, καὶ ἄλλας οἰκίας ὀλίγας. αἴτιον δ'
ἔγωγε τοι τοιούτου νομίζω, ἢ ἰσχυρότατος ὁ σεισμὸς ἐγέ-
νετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν, καὶ ἐξαπί-
νης πάλιν ἐπισπωμένην, βιαιότερον τῆς ἐπίκλυσιν ποιεῖν;
ἄνευ δὲ σεισμοῦ, οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι
γενέσθαι.

τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι, ὡς ἑκά-
στοις ξυνέβαινεν, ἐν τῇ σικελίᾳ. καὶ αὐτοὶ οἱ σικελιῶται
ἐπ' ἀλλήλους στρατεύοντες, καὶ οἱ ἀθηναῖοι ξὺν τοῖς σφε-
τέροις ξυμμάχοις. ἃ δὲ λόγου μάλιστα ἄξια, ἢ μετὰ τῶν
ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν, ἢ πρὸς τοὺς ἀθηναίους
οἱ ἀντιπολέμιοι τούτων, μνησθήσομαι. χαροιάδου γὰρ
ἤδη τοι ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ συρακουσίων
πολέμῳ

πολέμῳ λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχήν.
ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ μυλὰς τὰς τῶν
μεσσηνίων. ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς μυλαῖς τῶν
μεσσηνίων φρουροῦσαι, καί τινα καὶ ἐνέδραν πεποιημέναι
τοῖς ἀπὸ τῶν νεῶν. οἱ δὲ ἀθηναῖοι, καὶ οἱ ξύμμαχοι, τούς
τε ἐκ τῆς ἐνέδρας τρέπουσι καὶ διαφθείρουσι πολλούς.
καὶ τοῦ ἐρύματι προσβαλόντες, ἠνάγκασαν ὁμολογίᾳ
τήν τε ἀκρόπολιν παραδοῦναι, καὶ ἐπὶ μεσσήνην ξυστρα-
τεῦσαι. καὶ μετὰ τοῦτο ἐπελθόντων οἱ μεσσήνιοι, τῶν
τε ἀθηναίων, καὶ τῶν ξυμμάχων, προσεχώρησαν,
καὶ αὐτοὶ ὁμήρους τε δόντες, καὶ τὰ ἄλλα πιστὰ πα-
ρασχόμενοι. τοῦδ' αὐτοῦ θέρους οἱ ἀθηναῖοι τριάκοντα
μὲν ναῦς ἔστειλαν περὶ πελοπόννησον, ὧν ἐστρατήγει δη-
μοσθένης τε ὁ ἀλκισθένους, καὶ προκλῆς ὁ θεοδώρου. ἑξή-
κοντα δὲ ἐς μῆλον, καὶ δισχιλίους ὁπλίτας. ἐστρατήγει δὲ
αὐτῶν νικίας ὁ νικηράτου. τοὺς γὰρ μηλίους ὄντας νησιώ-
τας, καὶ οὐκ ἐθέλοντας ὑπακούειν, οὐδὲ ἐς τὸ αὐτῶν ξυμ-
μαχικὸν ἰέναι, ἐβούλοντο προσαγαγέσθαι, ὡς δὲ αὐτοῖς
δηουμένοις τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς μήλου,
αὐτοὶ μὲν ἔπλευσαν ἐς ὠρωπὸν τῆς πέραν γῆς. ὑπὸ νύκτα
δὲ σχόντες, εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ
ἐς τάναγραν τῆς βοιωτίας. οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ
ἀθηναῖοι, ἱππονίκου τε τοῦ καλλίου στρατηγοῦντος, καὶ εὐρυ-
μέδοντος τοῦ θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν
ἀπήντων. καὶ στρατοπεδευσάμενοι τάυτην τὴν ἡμέραν ἐν
τῇ τανάγρᾳ, ἐδῄουν, καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ μάχῃ

κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν ταναγραίων, καὶ θη-
βαίων τινὰς προσβεβοηθηκότας, καὶ ὅπλα λαβόντες, καὶ
τροπαῖον στήσαντες, ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ
δὲ ἐπὶ τὰς ναῦς, καὶ παραπλεύσας ὁ νικίας ταῖς ἑξήκον-
τα ναυσὶ καὶ λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε, καὶ ἀνε-
χώρησεν ἐπ' οἴκου. ὑπὸ δὲ τὸν χρόνον τοῦτον, λακεδαιμό-
νιοι ἡράκλειαν τὴν ἐν τραχινίαις, ἀποικίαν καθίσαντο ἀπὸ
τοιᾶσδε γνώμης. μηλιεῖς οἱ ξύμπαντες εἰσὶ μὲν τρία
μέρη, παράλιοι, ἱστρῆς, τραχίνιοι. τούτων δὲ οἱ τραχίνιοι
πολέμῳ ἐφθαρμένοι ὑπὸ οἰταίων ὁμόρων ὄντων, τοπρῶ-
τον μελλήσαντες ἀθηναίοις προσθεῖναι σφᾶς αὐτοὺς,
δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς λακε-
δαίμονα, ἑλόμενοι πρεσβευτὴν τισαμενόν. ξυνεπρεσβέ-
υοντο δὲ αὐτοῖς καὶ δωριεῖς, ἡ μητρόπολις τῶν λακεδαι-
μονίων, τῶν αὐτῶν δεόμενοι. ὑπὸ γὰρ τῶν οἰταίων, καὶ
αὐτοὶ πολέμῳ ἐφθείροντο. ἀκούσαντες δὲ οἱ λακεδαιμό-
νιοι, γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε τρα-
χινίοις βουλόμενοι καὶ τοῖς δωριεῦσι τιμωρεῖν, καὶ ἅμα
τοι πρὸς ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις
καθίστασθαι. ὥστε γὰρ τῇ εὐβοίᾳ ναυτικὸν παρασκευα-
σθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὸ διάβασιν γίγνεσθαι καὶ τε
ἐπὶ θρᾴκης παρόδου χρησίμως ἕξειν, τότε ξύμπαν ὥρμην
τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν δελφοῖς τὸν θεὸν
ἐπήροντο. κελεύοντος δὲ ὀξέπεμψαν τοὺς οἰκήτορας
αὐτῶν τε καὶ τῶν περιοίκων. καὶ τῶν ἄλλων ἑλλήνων τὸν
βουλόμενον ἐκέλευον ἕπεσθαι, πλὴν ἰώνων, καὶ ἀχαιῶν,
καὶ

καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς λακεδαιμονίων ἡγήσαντο, κέων, καὶ ἀλκίδας, καὶ δαμάτων. καταστάντες δὲ, ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν ἡράκλεια καλεῖται, ἀπέχουσα θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, καὶ δὲ θαλάσσης εἴκοσι. νεώριά τε παρεσκευάζοντο. καὶ ἤρξαντο κατὰ θερμοπύλας κατ' αὐτὸ τὸ στενὸν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη. οἱ δὲ ἀθηναῖοι καὶ πόλεως ταύτης ξυνοικιζομένης, τοπρῶτον ἔδεισάν τε, καὶ ἐνόμισαν ἐπὶ τῇ εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ κήναιον καὶ εὐβοίας. ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη. οὐ γὰρ ἐγένετο ἀπ' αὐτῆς δεινὸν οὐδὲν. αἴτιον δὲ ἦν, οἵ τε θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβούμενοι μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον, καὶ διαπαντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν γενομένους τοπρῶτον, καὶ πάνυ πολλούς. πᾶς γάρ τις, λακεδαιμονίων οἰκίζοντων, θαρσαλέος ἤει, βέβαιον νομίζων τὴν πόλιν. οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν λακεδαιμονίων οἱ ἀφικνούμενοι, τὰ πραγματά τε ἔφθειρον, καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλούς. χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν. τοιδ' αὐτοὶ θέρους, καὶ περὶ τὸν αὐτὸν χρόνον, ὃν ἐν τῇ μήλῳ οἱ ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν τριάκοντα νεῶν ἀθηναῖοι περὶ πελοπόννησον ὄντες, πρῶτον ἐν ἐλλομένῳ καὶ λευκαδίας φρουρούς ἅνας λοχήσαντες, διέφθειραν. ἔπειτα

ὕστερον ἐπὶ λευκάδα μείζονι στόλῳ ἢ πρότερον, ἀκροβατοῦσί τε
II πᾶσιν, οἱ παντὶ μὲν πλίνθου οἰνιάδων, ξυλίνοις δὲ τοῖς πλεί-
στοις, καὶ κεφαλῇσι, καὶ κορακίοις πρυτανικοῖς ἐναυ-
μαχοῦσι. καὶ οἱ μὲν λευκάδιοι, ἀπὸ τείχους ἔξω τῆς δημοσίας, ἐν
τῷ ἰσθμῷ, ἐν ᾧ καὶ ἡ λευκάς ἐστι, καὶ τὸ ἱερὸν τοῦ
Ἀπόλλωνος, πλήθει βιαζόμενοι, ἡσύχαζον. οἱ δὲ ἀκαρ-
νᾶνες, ἀξίωμα δημοσθένους τοῦ στρατηγοῦ τῶν Ἀθηναίων ἀπε-
τειχίζετο αὐτούς, νομίζοντες ῥᾳδίως ἂν ἐκπολιορκῆσαι,
πόλεώς τε αἰεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι δημοσθέ-
νης δ' ἀναπείθεται καὶ τὸν χρόνον τοῦτον ὑπομεῖναι, ὡ.
ὡς καλὸν αὐτῷ στρατιᾶς τοσαύτης ξυνελεγμένης, ἀπο-
λοῖς ἐπιθέσθαι ναυπάκτῳ τε πολεμίοις οὖσι. καὶ ἅμα κρα-
τήσῃ αὐτῶν, ῥᾳδίως, καὶ τὸ ἄλλο ἠπειρωτικὸν τὰ τότε
Ἀθηναίοις προσοικήσειν. τὸ γὰρ ἔθνος μέγα καὶ εἶναι
τῶν Ἀκαρνάνων, καὶ μάχιμον. οἰκοῦσι δὲ κῶμας ἀτει- 15.
χίστους, καὶ ταύτας διὰ πολλοῦ. καὶ σκευὴ φιλὴ χρῶμε-
νον, οὐ χαλεπὸν ἀπέφαινον περιξυμβοηθῆσαι, καταστρα-
φῆναι. ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν ἀποδότοις,
ἔπειτα δὲ ὀφιονεῦσι. καὶ μετὰ τούτους ἐυρυτάσιν, ὅπερ
μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν. ἀγνωστότατοι δὲ γλώσ- 20.
σαν, καὶ ὠμοφάγοί εἰσιν, ὡς λέγονται. τούτων γὰρ λε-
χθέντων. ῥᾳδίως καὶ τἆλλα προχωρῆσειν. ὁ δὲ τῶν μετ-
αλωίων χάριν πειθεῖς, καὶ μάλιστα νομίσας ἄνευ τῶν
Ἀθηναίων δωσάμενος τοῖς ἠπειρώταις ξυμμάχοις μετὰ
τῶν Αἰτωλῶν δώσασθαι ἂν καὶ γῆν ἐλθεῖν ἐπὶ βοιωτούς 25.
διὰ λοκρῶν τῶν ὀζολῶν ἐς κυτίνιον τὸ δωρικόν, ἐν ᾧ ἐξέ-
ἔχον

ἔχον τὸν παρνασσὸν, ἕως καταβαίη ἐς φωκέας, οἳ προθύ-
μως ἐδόκουν κατὰ τὴν ἀθηναίων ἀιεί ποτε φιλίαν ξυστρατέ-
υειν ἢ κἂν βίᾳ προσαχθῆναι καὶ φωκεῦσιν, ἤδη ὅμορος
ἡ βοιωτία ἐστίν. ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ
τῆς λευκάδος, ἀκόντων τῶν ἀκαρνάνων, παρέπλευσεν ἐς
σόλλιον. κοινώσας δὲ τὴν ἐπινοίαν τοῖς ἀκαρνᾶσιν, ὡς
οὐ προσεδέξαντο διὰ τῆς λευκάδος τὴν οὐ περιτείχισιν,
αὐτὸς τῇ λοιπῇ στρατιᾷ, κεφαλλῆσι, καὶ μεσσηνίοις, καὶ
ζακυνθίοις, καὶ ἀθηναίων τρακοσίοις τοῖς ἐπιβάταις τῶν
σφετέρων νεῶν. ἁι γὰρ πεντεκαίδεκα τῶν κερκυραίων
ἀπῆλθον νῆες, ἐστράτευσαν ἐπὶ αἰτωλούς. ὡρμᾶτο δὲ ἐξ
οἰνεῶνος τῆς λοκρίδος. οἱ δὲ ὀζόλαι οὗτοι λοκροῖς ξύμ-
μαχοι ἦσαν. καὶ ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς
ἀθηναίοις ἐς τὴν μεσόγειον. ὄντες γὰρ ὅμοροι τοῖς αἰ-
τωλοῖς, καὶ ὁμόσκευοι, μεγάλη ὠφέλεια ἐδόκουν εἶναι
ξυστρατεύοντες, μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων, καὶ χωρίων.
αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῖς διὸς τοῖς νεμείου τῷ
ἱερῷ, ἐν ᾧ ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ
ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ
ἕω ἄρας ἐπορεύετο ἐς τὴν αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ
ἡμέρᾳ ποτιδανίαν, καὶ τῇ δευτέρᾳ κροκύλειον, καὶ τῇ
τρίτῃ τίχιον. ἔμενέ τε αὐτοῖ καὶ τὴν λείαν ἐς εὐπόλιον
τῆς λοκρίδος ἀπέπεμψε τὴν γνώμην εἶχε, τὰ ἄλλα
καταστρεψάμενος, οὕτως ἐπὶ ὀφιονέας, εἰ μὴ βούλοιντο
ξυγχωρεῖν, ἐς ναύπακτον ἐπαναχωρήσας, στρατεῦσαι ὕστε-
ρον. τοὺς δὲ αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευή,
οὔτε

οὔπω ὅπως τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσέ-
βεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες, ὥστε μὴ διέχαιον
ὀφθαλμοῦ, δι πρὸς τὸ μιλιακὸν κόλπου καθήκοντες, βωμίδι
καὶ καλλίᾳ ἐβοήθησαν. ὡς δὲ ἡμοαθένθη, τοιόνδε ἄλλο δι μετ-
σιώνιοι παρήνουν. ὅπερ καὶ τὸ πρῶτον ἀναδιδάσκοντες ἄνω
τὸν, τὸ αἰτωλῶν ὡς εἰκὸς ἑαδία ἡ αἵρεσις, ἰέναι ἐκέλευον ὅτι
τάχιστα ἐπὶ τὰς κώμας. μὴ μένειν, ἕως οἱ ξύμπαντες
ἀθροισθέντες, ἀναταξάμενοι, πλὴν ὅ τι ἂν ποσὶν αἰεὶ παρῇ δὴ
αἱρεῖν. ὁ δὲ τούτοις πειθόμενος, καὶ τῇ τύχῃ ἐλπίσας,
ὅτι οὐδὲν αὐτῷ ἐναντιώσεται. τοὺς λοιποὺς οὐκ ἀναμείνας,
οὓς αὐτῷ ἕπεσθαι προσβοηθῆσαι (φιλῶν γὰρ ἀκοντιστὴν ὄντα
ἦν μάλιστα) ἐχώρει ἐπὶ αἰτωλούς, καὶ κατακράτει αἱρεῖ
ἐπιών. ὑπέφευγον γὰρ οἱ ἄνθρωποι, καὶ ἐκάθηντο ἐπὶ τῶν
λόφων τῶν ὑπὲρ τῆς πόλεως. ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων,
ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. οἱ
δὲ αἰτωλοὶ (βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ αἰγίτιον)
προσέβαλλον τοῖς ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις, κατα-
βάντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν, καὶ ἐσηκόντιζον.
καὶ ὅτε μὲν ὅμιλοι τὸ τῶν ἀθηναίων στρατόπεδον, ὑπεχώ-
ρουν. ἀνωχωρεῖτο δὲ ἐκεῖνο. καὶ ἦν ἐπὶ πολὺ τοιαύτη
ἡ μάχη, διώξεις τε, καὶ ὑποχωρήσεις ἐν οἷς ἀμφοτέροις
ἦσαν ἦσαν οἱ ἀθηναῖοι, μέχρι μὲν οὗ οἱ τοξόται εἶχόν τι
τὰ βέλη αὐτοῖς, καὶ οἵσι τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον.
τοξευόμενοι γὰρ οἱ αἰτωλοὶ ἄνθρωποι ψιλοί, ἀνεσείοντο.
ἐπειδὴ δὲ τοῦ τε τοξάρχου ἀποθανόντος οὗτοι διεσκεδά-
σθησαν, καὶ αὐτοὶ ἐκεκμήκεσαν, καὶ ἐπὶ πολὺ δὴ αὐτῷ

πόνῳ

πόνῳ ξυνεχόμενοι, οἵτε αἰτωλοὶ ἐνέκειντο, καὶ ἐσηκόντι-
ζον. οὕτω δὴ τραπόμενοι, ἔφευγον. καὶ ἐσπίπτοντες ἔς τε
χαράδρας ἀνεκβάτους, καὶ χωρία, ὧν οὐκ ἦσαν ἔμπειροι,
διεφθείροντο. καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν χρόμων
ὁ μεσσήνιος ἐτύγχανε τεθνηκώς. οἱ δὲ αἰτωλοὶ ἐσακοντί-
ζοντες, πολλοὺς μὲν αὐτοὺς ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦν-
τες, ἄνθρωποι ποδώκεις, καὶ ψιλοὶ, διέφθειρον. τοὺς δὲ
πλείους τῶν ὁδῶν ἁμαρτάνοντας, καὶ ἐς τὴν ὕλην ἐσφε-
ρομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι, περιε-
πίμπρασαν. πᾶσά τε ἰδέα κατέστη καὶ φυγῆς καὶ τοῦ
ὀλέθρου τῶν στρατοπέδων τῶν ἀθηναίων, μόλις τε ἐπὶ τὴν
θάλασσαν καὶ τὸν οἰνεῶνα καὶ λοκρίδος, ὅθεν περ καὶ
ὡρμήθησαν οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ
τῶν τε ξυμμάχων πολλοὶ, καὶ αὐτῶν ἀθηναίων ὁπλῖται
περὶ εἴκοσι μάλιστα καὶ ἑκατὸν τοσοῦτοι μὲν τὸ πλῆθος,
καὶ ἡλικία ἡ αὐτή. οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷδε πο-
λέμῳ τῷδε ἐκ καὶ ἀθηναίων πόλεως διεφθάρησαν. ἀπέ-
θανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς προκλῆς. τοὺς δὲ νεκροὺς
ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν αἰτωλῶν, καὶ ἀναχω-
ρήσαντες ἐς ναύπακτον, ὕστερον ἐς τὰς ἀθήνας ταῖς ναυ-
σὶν ἐκομίσθησαν. δημοσθένης δὲ περὶ ναύπακτον καὶ τὰ
χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος
τοὺς ἀθηναίους. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ οἱ περὶ σι-
κελίαν ἀθηναῖοι πλεύσαντες ἐς τὴν λοκρίδα, ἐν ἀποβάσει
τέτινι τοὺς προσβοηθήσαντας λοκρῶν ἐκράτησαν, καὶ περι-
πόλιον αἱροῦσιν, ὃ ἦν ἐπὶ τῷδε ἄληκι ποταμῷ. τοῦ δ' αὐτοῦ

II θέρους ἀιτωλοὶ προπέμψαντες πρότερον ἐς τὴν κοίλην θρᾴκην, ἐς λακεδαίμονα πρέσβεις, τόλοφόν τε τὸν ὀλιονέα, καὶ βοριάδην τὸν ἐνζυτᾶνα, καὶ τίσανδρον τὸν ἀποδώτου, πείθουσιν ὥστε σφίσι πέμψαι ἐπὶ ναύπακτον, διὰ τῶν πρὸς ἀθηναίους ἐπαγωγήν. καὶ ἐξέπεμψαν λακεδαιμόνιοι πρὸς τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐς ἡράκλειαν τὴν ἐν τραχῖνι πόλεως, τότε νεοκτίσου οὔσης, ὃν ἀρχὰς εἶχον εὐρύλοχος καὶ σθενέλαϊδας. καὶ ξυνακολούθουν αὐτῷ μασάρι, καὶ μενέδατος, οἱ ἀπαρτιάται. εὐκλείδου δὲ τοῦ σπαρτιάτου ἐς δελφούς, ἐπεκηρυκεύετο εὐρύλοχος λοκροῖς τοῖς ὀζόλαις, διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς ναύπακτον, ἅμα τῶν ἀθηναίων βούλεται ἀποσῶσαι αὐτούς. ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν λοκρῶν ἀμφισσῆς, διὰ τὸν πρὸς φωκέων ἔχθος δεδιότες. καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους, καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι φοβούμενοι τὸν ἐπιόντα σφίσι στρατόν. πρῶτον μὲν οὖν τοὺς ὁμήρους αὐτοῖς μυονέας, ταύτη γὰρ δυσεπιβολώτατος ἡ λοκρίς. ἔπειτα ἐπνέας, καὶ μεσαπίους, καὶ τριταιέας. καὶ χαλαίους, καὶ τολοφωνίους, καὶ ἡασίους, καὶ ἰοιανθέας, οὗτοι καὶ ξυνεστράτευον πάντες. ὁλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ. καὶ ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους, πρὶν αὐτῶν εἷλον κώμην, πόλιν ὄνομα ἔχουσαν. ἐπειδὴ δὲ παρεσκεύασο πάντα, καὶ τοὺς ὁμήρους κατέθεντο ἐς κυτίνιον τὸ δωρικόν, ἐχώρει ὁ στρατὸς ἐπὶ τὴν ναύπακτον διὰ τῶν λοκρῶν. καὶ προσβοήθουν, οἱ νεῶνα οἰκοῦσιν αὐτῶν, καὶ ἐυπόλιον. οὐ γὰρ προσεχώρησαν

σαν

Φ. μακαρίου δὲ μενεδάου nominat var. lect. n. 7.

σαν. γενόμενοι δ' ἐν τῇ ναυπακτίᾳ, καὶ οἱ αἰτωλοὶ ἅμα
ἤδη προσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν. καὶ τὸ προάστειον
ἀτείχιστον, εἷλον. ἦλθε μολύκρειον ἐλθόντες, τὴν κοριν-
θίων μὲν ἀποικίαν, ἀθηναίων δὲ ὑπήκοον, αἱροῦσι. δημο-
σθένης δὲ ὁ ἀθηναῖος (ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ τὰ
ἐκ τῆς αἰτωλίας περὶ ναύπακτον) προαισθόμενος τοι
στρατοι, καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν, πείθει ἀκαρνᾶνας
χαλεπῶς, διὰ τὴν ἐκ τῆς λευκάδος ἀναχώρησιν, βοη-
θῆσαι ναυπάκτῳ. καὶ πέμπουσι μετ' αὐτοι ἐπὶ τῶν νεῶν
χιλίους ὁπλίτας. οἱ ἐσελθόντες, περιεποιήσαντο τὸ χω-
ρίον. δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοι τείχους, ὀλί-
γων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. εὐρύλοχος δὲ
καὶ οἱ μετ' αὐτοι ὡς ᾔσθοντο τὸν στρατιὰν ἐσεληλυθῆαν, καὶ
ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν οὐκ ἐπὶ
πελοποννήσου, ἀλλ' ἐς τὴν αἰολίδα, τὴν νῦν καλουμένην
καλυδῶνα καὶ πλευρῶνα, καὶ ἐς τὰ ταύτῃ χωρία, καὶ ἐς
πρόσχιον τῆς αἰτωλίας. οἱ γὰρ ἀμπρακιῶται ἐλθόντες πρὸς
αὐτοὺς, πείθουσιν ὥστε μετὰ σφῶν ἄργει τε τοῦ ἀμφιλο-
χικῷ, καὶ ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι, καὶ ἀκαρνα-
νίᾳ ἅμα. λέγοντες, ὅτι ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπει-
ρωτικὸν λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ μὲν εὐ-
ρύλοχος πεισθεὶς, καὶ τοὺς αἰτωλοὺς ἀφεὶς, ἡσύχαζε τοῦ
στρατῷ περὶ τοὺς χώρους τούτους, ἕως τοῖς ἀμπρακιόταις
ἐκστρατευσαμένοις περὶ τὸν ἄργος δέοι βοηθεῖν. καὶ τὸ θέρος
ἐτελεύτα. οἱ δ' ἐν τῇ σικελίᾳ ἀθηναῖοι, τὸν ὑπὸ γιγνομένου
χειμῶνος ἐπελθόντες μετὰ τῶν ἑλλήνων ξυμμάχων, καὶ

ὅσοι σικελῶν κατακράτος ἀρχόμενοι ὑπὸ συρακουσίων, καὶ ξύμμαχοι ὄντες, ἀποστάντες αὐτοῖς ἀπὸ συρακουσίων, ξυνεπολέμουν ἐπὶ νῆσσαν, τὸ σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν συρακούσιοι εἶχον, προσέβαλλον. καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπῄεσαν. ἐν δὲ τῇ ἀναχωρήσει, ὑστέροις ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν, ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος συρακούσιοι. καὶ προσπεσόντες, τρέπουσί τε μέρος τί τοι στρατοῦ, καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ μετὰ τοῦτο, ἀπὸ τῶν νεῶν ὁ λάχης, καὶ οἱ ἀθηναῖοι ἐς τὴν λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι, κατὰ τὸν καϊκινὸν ποταμόν. τοὺς προσβοηθοῦντας λοκρῶν μετὰ προξένου τοῦ καπάτωνος, ὡς τριακοσίους μάχῃ ἐκράτησαν. καὶ ὅπλα λαβόντες, ἀπεχώρησαν. τοῖς δ' ὑ τοῖς χειμῶνος, καὶ δῆλον ἐκάθηραν ἀθηναῖοι κατὰ χρησμὸν δή τινα. ἐκάθηρε μὲν γὰρ ὁ πεισίστρατος ὁ τύραννος πρότερον αὐτὴν οὐχ ἅπασαν, ἀλλ' ὅσον ἀπὸ τοῖς ἱεροῦ ἐφεωρᾶτο καὶ νήσου, τότε δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ. θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν δήλῳ, πάσας ἀνεῖλον. καὶ τολοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ, μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν ῥήνειαν διακομίζεσθαι. ἀπέχει δὲ ἡ ῥήνεια τῆς δήλου οὕτως ὀλίγον, ὥστε πολυκράτης ὁ σαμίων τύραννος ἰσχύσας τινὰ χρόνον ναυτικῷ, καὶ τῶν τε ἄλλων νήσων ἄρξας, καὶ τὴν ῥήνειαν ἑλὼν, ἀνέθηκε τῷ ἀπόλλωνι τῷ δηλίῳ, ἁλήσει δεῖσας πρὸς τὴν δῆλον, καὶ τὴν πέντε τηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ ἀθηναῖοι τὰ δήλια. ἦν δέ ποτε καὶ τοπάλαι μεγάλη ξύνοδος ἐς τὴν δῦλον τῶν ἰώνων

τῶν ἰώνων τε ⊙ πορικτιόνων νησιωτῶν. ξὺν τε γὰρ γυναι=
ξὶ καὶ παισὶν ἐθεώρουν, ὥσπερ νῦν ἐς τὰ ἐφέσια ἴωνες. καὶ
ἀγὼν ἐποιεῖτο αὐτόθι, καὶ γυμνικός, καὶ μουσικός. χορούς
τε ἀνῆγον ἁι πόλεις. δηλοῖ δὲ μάλιστα ὅμηρος, ὅτι τοι=
αῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε, ἅ ἐστιν ἐκ προοιμίου ἀπόλ=
λωνος.

Αλλὰ σὺ δήλῳ φοῖβε μάλιστ' ἐπιτέρπεαι ἦτορ,
Ενθά τοι ἑλκεχίτωνες ἰάονες ἠγορέθονται,
Αὐτοῖς σὺν παίδεσσι, καὶ αἰδοίῃς ἀλόχοισιν.
Οἱ δέ σε πυγμαχίῃ τε, καὶ ὀρχηθμῷ, καὶ ἀοιδῇ
Μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.

Οτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν, καὶ ἀγωνιούμενοι ἐφοί=
των, ἐν τοῖς δὲ αὐδηλοῖ. ἅ ἐστιν ἐκ τοι αὐτοι προοιμίου. τὸν
γὰρ δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας, ἐτελεύτα
τοι ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοι ἐπεμνήσθη.

Αλλ' ἄγε δὴ λητώ μὲν, ἀπόλλων, ἀρτέμιδι ξὺν,
Χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε
Μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
Ενθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών.
Ω κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
Ενθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα.
Υμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθε ἀφ' ἡμέων.
Τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ χίῳ ἐνὶ παιπαλοέσσῃ.

Τοσαῦτα μὲν ὅμηρος ἐτεκμηρίωσεν, ὅτι ἦν καὶ τὸ πά=
λαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ δήλῳ. ὕστερον δὲ

τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ ἀθηναῖοι, μεθ' ἱερῶν ἔπεμπον. τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα, κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκός, πρὶν δὴ οἱ ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν, καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν. τοῦ δ' αὐτοῦ χειμῶνος, ἀμπρακιῶται ὥσπερ ὑποσχόμενοι εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ ἄργος τὸ ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις, καὶ ἐσβαλόντες ἐς τὴν ἀργείαν, καταλαμβάνουσιν ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὃ ποτὲ ἀκαρνᾶνες τειχισάμενοι, κοινῷ δικαστηρίῳ ἐχρῶντο, ἀπέχει δὲ ἀπὸ τῆς ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα. οἱ δὲ ἀκαρνᾶνες, οἱ μὲν ἐς ἄργος ξυνεβοήθουν. οἱ δὲ τῆς ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ, ὃ κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ εὐρυλόχου πελοποννησίους, μὴ λάθωσι πρὸς τοὺς ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. πέμπουσι δὲ καὶ ἐπὶ δημοσθένην τὸν ἐς τὴν αἰτωλίαν ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται. καὶ ἐπὶ τὰς εἴκοσι ναῦς ἀθηναίων, αἳ ἔτυχον περὶ πελοπόννησον οὖσαι, ὧν ἦρχεν ἀριστοτέλης τε ὁ τιμοκράτους, καὶ ἱεροφῶν ὁ ἀντιμνήστου. ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς ὄλπας ἀμπρακιῶται ἐς τὴν πόλιν, κελεύοντες σφίσι βοηθεῖν πανδημεί, δεδιότες μὴ οἱ μετ' εὐρυλόχου οὐδάνωνται διελθεῖν τοὺς ἀκαρνᾶνας, καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένητι, ἢ ἀναχωρεῖν βουλομένοις, οὐκ ᾖ ἀσφαλές. οἱ μὲν οὖν μετ' εὐρυλόχου πελοποννήσιοι, ὡς ᾔσθοντο τοὺς ἐν ὄλπαις ἀμπρακιώτας

πρακιώτας ἥκοντας, ἄρασπες ἐκ τοῦ προχίου, ἐβοήθουν κατατάχους. ὡς διαβάντες τὸν ἀχελῷον, ἐχώρουν δι' ἀκαρνανίας, οὔσης ἐρήμου, διὰ τὸ ἐς ἄργους βοήθειαν, ὧν δεξιᾶς μὲν ἔχοντες τὴν στρατίων πόλιν, καὶ τὴν φρουρὰν αὐτῶν. ὧν ἀριστερᾶς δὲ τὴν ἄλλην ἀκαρνανίαν. καὶ διελθόντες τὸ στρατίων γῆν, ἐχώρουν διὰ φοινίας, ἣ ἀθηνᾶς μέδεων παρ' ἕκατα. ἔπειτα, διὰ λιμναίας. καὶ ἐπέβησαν φοινίας ἀκραίων οὐκέτι ἀκαρνανίας φιλίας δὲ σφίσι. λαβόμενοι δὲ τοῦ δυάμου ὄρους, ὃ ὄσιν ἄκροικον, ἐχώρουν δι' αὐτοῦ, καὶ κατέβησαν ἐς τὴν ἀργείαν νυκτὸς ἤδη. καὶ διεξελθόντες μεταξὺ φοινίας τε ἀργείων πόλεως, καὶ φοινίσσης ἐπὶ κρημνοῦ ἀκρανάνων φυλακῆς, ἔλαθον. καὶ προσέμιξαν τοῖς ὄπλοις ἅμα πρακιώταις. ἠθροίσθησαν δὲ ἅθροοι ἅμα τῇ ἡμέρᾳ, καθίζουσιν ἐπὶ τὴν μητρόπολιν καλουμένην, καὶ στρατόπεδον ἐποιήσαντο. ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν ἀμπρακικὸν κόλπον, βοηθοῦντες τοῖς ἀργείοις. καὶ δημοσθένης παραγίγνεται μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας ἀθηναίων. καὶ ἅμα νῆες, περὶ τὰς ὄλπας τὸν λόφον ἐκ θαλάσσης λάσιος ἐφώρμουν. οἱ δὲ ἀκαρνᾶνες, καὶ ἀμφιλόχων ὀλίγοι (οἱ γὰρ πλείους ὑπὸ ἀμπρακιωτῶν βίᾳ κατείχοντο) ἐς μὲν ἄργους ἤδη ξυνελήλυθότες, παρασκευάζουν ὡς μάχόμενοι τοῖς ξυναντίοις. καὶ ἡγεμόνα τῶν παντὸς ξυμμαχικοῦ αἱροῦνται δημοσθένην μετὰ τῶν σφετέρων στρατηγῶν. ὁ δὲ προσαγαγὼν ἐγγὺς τὴν ὄλπης, ἐστρατοπεδεύσατο. χαράδρα δ' αὐτοὺς μεγάλη διέργει. καὶ ἡμέρας μὲν

μὲν πέντε ἡσύχαζον. τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην, καὶ μεῖζον γὰρ ἐγένετο, καὶ περιέσχε τὸ τῶν πελοποννησίων στρατόπεδον. ὁ δὲ δημοσθένης δείσας μὴ κυκλωθῇ, λοχίζει ἐς ὁδόν τινα κοίλην, καὶ λοχμώδη, ὁπλίτας, καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως, κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες, οὗτοι κατὰ νώτου γίγνωνται. ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ἤεσαν ἐς χεῖρας. δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχον μετὰ μεσσηνίων, καὶ ἀθηναίων ὀλίγων. τὸ δὲ ἄλλο, ἀκαρνᾶνες, ὡς ἕκαστοι τε ταγμένοι ἐπεῖχον, καὶ ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί. πελοποννήσιοι δὲ, καὶ ἀμπρακιῶται ἀναμίξ τε ταγμένοι, πλὴν μαντινέων. οὗτοι δὲ ἐν τῷδ' εὐωνύμῳ μᾶλλον, καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες, ἀθρόοι ἦσαν. ἀλλ' εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον, καὶ οἱ μετ' αὐτοῦ κατὰ μεσσηνίους, καὶ δημοσθένην. ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷδ' κέρα οἱ πελοποννήσιοι, καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου, προσπίπτουσί τε, καὶ τρέπουσιν, ὥστε μή τε ἐς ἀλκὴν ὑπομεῖναι, φοβηθέντες τε ἐς φυγὴν καὶ τὸ πλέον τοι στρατεύματος καταστῆσαι. ἐπειδὴ γὰρ εἶδον τὸ κατ' εὐρύλοχον, καὶ ὃ κράτιστον ἦν διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ μεσσήνιοι ὄντες ταύτῃ μετὰ τοι δημοσθένους, τὸ πολὺ τοι ἔργου ἐπεξῆλθον. οἱ δὲ ἀμπρακιῶται, καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας, ἐνίκων τὸ καθ' ἑαυτοὺς, καὶ πρὸς τὸ ἄργος ἀπεδίωξαν. καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ

χωρία

χωρία τυγχάνουσιν ὄντες. ἐπαναχωροῦντες δὲ, ὡς ἑώρων τὸ πλέον νενικημένον, καὶ οἱ ἄλλοι ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς ὄλπας. καὶ πολλοὶ ἀπέθανον αὐτῶν ἀτάκτως, καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες, πλὴν μαντινέων. οὗτοι δὲ μάλιστα ξυντεταγμένοι, πεντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ. Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ, εὐρυλόχου τεθνεῶτος, καὶ μακαρίου, αὐτὸς παρειληφὼς τὴν ἀρχὴν, καὶ ἀπορῶν μαγάλης ἥσσης γεγενημένης, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς ἀττικαῖς ναυσὶν ἀποκεκλειμένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως δημοσθένει, καὶ τοῖς ἀκαρνάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν, καὶ τροπαῖον αὐτοί ἔστησαν, καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο. ἀναχώρησιν δὲ, ἐκ μὲν τοῦ προφανοῦς, οὐκ ἐσπείσαντο ἅπασι. κρύφα δὲ δημοσθένης μετὰ τῶν ξυστρατηγῶν ἀκαρνάνων σπένδοντι μαντινεῦσι, καὶ μενεδαίῳ, καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν πελοποννησίων. καὶ ὅσι αὐτῶν ἦσαν ἀξιωλογώτατοι, ἀπεχωρεῖν κατατάχος, βουλόμενος ψιλῶσαι τοὺς ἀμπρακιώτας τε, καὶ τὴν μισθοφόρον ὄχλον τὸν ξενικὸν. μάλιστα δὲ λακεδαιμονίους καὶ πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνη χρήζον ἕλληνας ὡς καταπροδόντες, τὸ ἑαυτῶν προυργηαίτερον ἐποιήσαντο. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο, καὶ διατάχους ἔθαπτον, ὥσπερ ὑπῆρχε. καὶ τὴν ἀποχώρησιν κρύφα, οἷς ἐδέδοτο

aliter hos noat. pag. 129. u. 9.

5. ἡμέρᾳ

a σπένδω

criminationibus obijcere reddere obnoxios criminationibus

sicut facultas erat

ἐπεβούλευον. τῷ δὲ δημοσθένει, καὶ τοῖς ἀκαρνᾶσιν, ἀγγέλλεται τοὺς ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν ὄλπων ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν ἀμφιλόχων βουλομένους τοῖς ἐν ὄλπαις ξυμμίξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. καὶ πέμπει εὐθὺς τοὶ στρατοὶ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας, καὶ τὰ καρτερὰ προκαταλυψομένους. καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ' αὐτοὺς. ἐν τούτῳ δ' οἱ μαντινεῖς, καὶ οἷς ἔσπεισο, προφάσιν ἐπὶ λαχανισμὸν, καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες, ὑπαπῄεσαν κατ' ὀλίγους ἅμα. ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν, προκεχωρηκότες δὲ ἤδη ἄπωθεν τῆς ὄλπης, θᾶσσον ἀπεχώρουν. οἱ δ' ἀμπρακιῶται, καὶ οἱ ἄλλοι, ὅσοι μὴ ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ, καὶ ἔθεον δρόμῳ ἐπικαταλαβεῖν βουλόμενοι. οἱ δὲ ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς πελοποννησίους ἐπεδίωκον. καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας, καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαί σφας. ἔπειτα μέντοι τοὺς μὲν μαντινέας, καὶ τοὺς πελοποννησίους, ἀφιέσαν. τοὺς δ' ἀμπρακιώτας, ἔκτεινον. καὶ ἦν πολλὴ ἔρις, καὶ ἄγνοια, εἴτε ἀμπρακιώτης τίς ἐστιν, εἴτε πελοποννήσιος. καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν. οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν ἀγραΐδα, ὅμορον οὖσαν. καὶ σαλώνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν ἀγραίων φίλος ὢν, ὑπεδέξατο. οἱ δ' ἐκ τῆς πόλεως ἀμπρακιῶται ἀφικνοῦνται

ἐπ'

ἐπ' ἰδομένην. ἐστὸν δὲ δύο λόφω ἡ ἐδομένη ὑψηλώ. τούτοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης, οἱ προαποσταλέντες ὑπὸ τοῦ δημοσθένους ἀπὸ τοῦ στρατοπέδου, ἔλαθόν τε, καὶ ἔφθασαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ ἀμπρακιῶται προαναβάντες, καὶ ἠυλίσαντο. ὁ δὲ δημοσθένης δειπνήσας, ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς. αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ καὶ ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν ἀμφιλοχικῶν ὀρῶν, καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς, καὶ οὐ προσδημένοις τὰ γεγενημένα. ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι. καὶ γὰρ τοὺς μεσσηνίους πρώτους ὠλτήδες ὁ δημοσθένης προὔταξε. καὶ προσαγορεύειν ἐκέλευε δωρίδα τε γλῶσσαν ἰέντας, καὶ τοῖς προφύλαξι πίστιν πρεχμένους. ἅμα δὲ ☾ οὐ καθορωμένους τῇ ὄψει, νυκτὸς ἔτι οὔσης. ὡς οὖν ἐπέπεσε τοῦ στρατεύματι αὐτῶν, τρέπουσι, καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν. οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν ἀμφιλόχων ἐμπείρων ὄντων καὶ ἑαυτῶν γῆς, καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅποι τράπωνται, ἐσπίπτοντες ἐς τε χαράδρας, καὶ τὰς προλελοχισμένας ἐνέδρας, διεφθείροντο, καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες καὶ φυγῆς, ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν. καὶ ὡς εἶδον τὰς ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ προσένευσαν, ἡγησάμενοι τοῦ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς

ναυσὶν ἤδη διαφθαρῆναι, ἢ ὑπὸ τῶν βαρβάρων, καὶ ἐχθίστων ἀμφιλόχων. οἱ μὲν οὖν ἀμπρακιῶται τοιούτῳ τρόπῳ κακωθέντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν. ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκρούς, καὶ τροπαῖα στήσαντες, ἀπεχώρησαν ἐς ἄργος, καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κῆρυξ ἀπὸ τῶν ἐς ἀγραίους καταφυγόντων ἀπὸ τῆς ὄλπης ἀμπρακιωτῶν, ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν, οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῄεσαν ἄσπονδοι. ἰδὼν δ' ὁ κῆρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως ἀμπρακιωτῶν, ἐθαύμαζε τὸ πλῆθος. οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. καί τις αὐτῶν ἤρετο ὅτι θαυμάζοι, καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν. οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν ἰδομένῃς. ὅδ' ἔφη διακοσίους μάλιστα. ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον, ἢ χιλίων. αὖθις δ' εἶπεν ἐκεῖνος, οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. ὅδ' ἀπεκρίνατο, εἴπερ γε ὑμεῖς ἐν ἰδομένῃ χθὲς ἐμάχεσθε, ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθές, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τοῖς ἀμπρακιωτῶν, ἐμαχόμεθα. ὁ δὲ κῆρυξ ὡς ἤκουσε, ὃ ἔγνω ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας, καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν, ἀπῆλθεν εὐθὺς ἄπρακτος, καὶ οὐκέτι ἀπῄτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ πόλει ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον

τόνδε

τόνδε ἐγένετο. Ⓒ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι, ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. ἀμπρακίαν μέντοι οἶδα, ὅτι ἐβουλήθησαν ἀκαρνᾶνες, καὶ ἀμφίλοχοι, ἀθηναίοις καὶ δημοσθένει πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον. νῦν δ' ἔδεισαν μὴ οἱ ἀθηναῖοι ἔχοντες αὐτὴν, χαλεπώτεροι σφίσι πάροικοι ὦσι. μετὰ δὲ ταῦτα, τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς ἀθηναίοις, τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν ἀθηναίων πλέοντα, ἑάλω. τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς ἀττικοῖς ἱεροῖς, δημοσθένει ἐξηρέθησαν τριακόσιαι πανοπλίαι. καὶ ἄγων αὐτὰς, κατέπλευσε. καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν ἐν αἰτωλίᾳ ξυμφορὰν ἀπὸ ταύτης καὶ πράξεως ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν ἀθηναῖοι ἐς ναύπακτον. ἀκαρνᾶνες δὲ, Ⓒ ἀμφίλοχοι, ἀπελθόντων ἀθηναίων, καὶ δημοσθένους, τοῖς ὡς σαλύνθιον, καὶ ἀγραίους καταφυγοῦσιν ἀμπρακιώταις. καὶ πελοποννησίοις, ἀναχώρησιν ἐσπείσαντο ἐξ οἰνιάδων. οἵπερ καὶ μετανέστησαν πρὰ σαλύνθιον, καὶ ἀγραίους. Ⓒ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη ἀκαρνᾶνες Ⓒ ἀμφίλοχοι πρὸς ἀμπρακιώτας ἐπὶ τοῖσδε, ὥστε μήτε ἀμπρακιώτας μετὰ ἀκαρνάνων στρατεύειν ἐπὶ πελοποννησίους, μήτε ἀκαρνᾶνας μετὰ ἀμπρακιωτῶν ἐπ' ἀθηναίους. βοηθεῖν δὲ τῇ ἀλλήλων, καὶ ἀποδοῦναι ἀμπρακιώτας, ὁπόσα ἢ χωρία, ἢ ὁμόρους, ἀμφιλόχων ἔχουσι. καὶ ἐπὶ ἀνακτόριον μὴ βοηθεῖν, πολέμιον ὂν ἀκαρνᾶσι.

ἀκαρνᾶσι. ταῦτα ξυνδέμενοι, διέλυσαν τὸν πόλεμον
μετὰ δὲ ταῦτα κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν ἀμπρα-
κίαν ἀπέστειλαν ἐς τριακοσίους ὁπλίτας, καὶ ξυνοικιεῖς
τὸν εὐθυκλέους ἄρχοντα. οἱ κομιζόμενοι, χαλεπῶς διὰ
φυλακὴν πειρᾶν ἀφίκοντο. τὰ μὲν κατ' ἀμπρακίαν οὕτως ἐγέ-
νετο. οἱ δ' ἐν τῇ σικελίᾳ ἀθηναῖοι τοῖς αὐτοῖς χειμῶνι, ἐς
τὴν ἰμεραίαν, ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ
τῶν σικελιωτῶν, ἄνωθεν, ἐσβεβληκότων ἐς τὰ ἔσχατα φυ-
λῆς ἰμεραίας, καὶ ἐπὶ τὰς αἰόλου νήσους, ἔπλευσαν. ἀνα-
χωρίσαντες δὲ ἐς ὕγιον, πυθόδωρον τὸν ἰσολόχου ἀθη-
ναῖον στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδο-
χον, ὧν ὁ λάχης ἦρχεν. οἱ γὰρ ἐν σικελίᾳ ξύμμαχοι,
πλεύσαντες, ἔπεισαν τοὺς ἀθηναίους βοηθῆσαι σφίσι πλείο-
σι ναυσί. τῆς μὲν γὰρ αὐτῶν οἱ συρακόσιοι ἐκράτουν. φυ-
λὴ δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι, παρεσκευά-
ζοντο, τὸ ναυτικὸν ξυναγείροντες, ὡς οὐ πρόσθεν ἐσόμενοι. καὶ
ἐπλήρουν ναῦς πεντεκαίδεκα οἱ ἀθηναῖοι, ὡς ἀποστελοῦντες
αὐτοῖς. ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον κα-
θαιρεθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελετᾶν τὸ ναυτικὸν
ποιεῖσθαι. τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν πυ-
θόδωρον ὀλίγαις ναυσί. σοφοκλέα δὲ τὸν σωστρατίδου,
καὶ εὐρυμέδοντα τὸν θουκλέους, ἐπὶ τρισὶν πλείοσιν νεῶν
ἀποπέμψειν ἔμελλον. ὁ δὲ πυθόδωρος ἤδη ἔχων τὴν
τοῦ λάχητος τῶν νεῶν ἀρχὴν, ἔπλευσε περιοῦντος
τοῦ χειμῶνος ἐπὶ δ' λοκροῖς φρούριον, ὃ πρότερον λάχης εἶ-
χε. καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν λοκρῶν, ἀνεχώρησεν.

ἐξ ἧς

pag. 317 ed. b. n. 13.

ἐξέβη δὲ πρὶν αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ξύναξ τοῖ πυρρᾶ ἐκ τῆς οὐτ-
ανης, ὥσπερ καὶ πρότερον. καὶ γὰρ ἵνα ἔφθασε τὴν
κατασκαίρω, οἱ ὑπὸ τὴν αὐτὴν ἦρ ὄρει οἰκοῦσιν, ὅσπερ μέ-
γιστόν ἐστιν ὄρος ἐν τῇ σικελίᾳ. λέγεται δὲ πεντηκοσῷ ἔτει α ξέω
ἔτει ξυνῶσα τοῦτο, μετὰ τὸ πρότερον ξεῦμα. ὃ δὲ ξύμπαν,
ἦρις γεγενῆσθαι ὃ ξεῦμα, ἀφ' οὗ σικελία ὑπὸ ἑλλήνων
οἰκεῖται. ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον
ἐγένετο. καὶ ἕκτον ἔτος ἦρ τοῦ πολέμου
ἐπελεύτα τῷδε, ὃν θουκυδίδης
ξυνέγραψε.

ΘΟΥΚΥΔΙΔΟΥ

ΣΥΓΓΡΑΦΗΣ ΤΕΤΑΡΤΗΣ.



ΟΙ δ' ἐπιγιγνομένου θέρους, περὶ II
σίτου ἐκβολὴν, συρακόσιοι δέκα
νῆες πλεύσασαι, καὶ λοκρίδες ἴσαι,
μεσσήνην τὴν ἐν σικελίᾳ κατέλα- Μεσσ. συναπτομένου
βον, αὐτῶν ἐπαγαγομένων. καὶ
ἀπέστη μεσσήνη ἀθηναίων. ἔπραξαν συγγραφὴν ἐπιτροπῆς ἐγγραπτέων
δὲ καὶ τὸ μάλιστα οἱ μὲν συρακόσιοι, ὁρῶντες προσβολὴν
ἔχον τὸ χωρίον τῆς σικελίας, καὶ φοβούμενοι τοὺς ἀθη-
ναίους, μὴ ἦρ αὖθις ἐρημώμενοι ποτε, σφίσι μείζονι παρασ-
κευῇ ἐπέλθωσιν. οἱ δὲ λοκροὶ, κατὰ ἔχθος δ' ἐγίνοντο,
βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν, καὶ
ἐσεβεβλήκεσαν ἅμα ἐς τὴν ἐγίνων οἱ λοκροὶ πανστρατιᾷ.
ἵνα

τα μὴ ἐπιβοηθῶσι τοῖς μεσσηνίοις. ἅμα δὲ καὶ ξυνεπα-
γόντων ῥηγίνων φυγάδων, οἳ ἦσαν παρ' αὐτοῖς. τὸ γὰρ
ῥήγιον, ἐπὶ πολὺν χρόνον ἐστασίαζε, καὶ ἀδύνατα ἦν ἐν
τῷ παρόντι τοὺς λοκροὺς ἀμύνεσθαι, ἢ μᾶλλον καὶ ἐπε-
τίθεντο. δηώσαντες δὲ, οἱ μὲν λοκροὶ τῷ τε πεζῷ ἀπε-
χώρησαν, αἱ δὲ νῆες μεσσήνην ἐφρούρουν, καὶ ἄλλαι αἱ πλη-
ρούμεναι ἔμελλον αὐτόσε ἐγκαθορμισάμεναι τὸν πόλε-
μον ἐντεῦθεν ποιήσεσθαι. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ
ἦρος πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι, πελοποννήσιοι καὶ οἱ
ξύμμαχοι, ἐσέβαλον ἐς τὴν ἀττικήν. ἡγεῖτο δὲ ἄγις ὁ
ἀρχιδάμου λακεδαιμονίων βασιλεύς. καὶ ἐγκαθεζό-
μενοι, ἐδῄουν τὴν γῆν, ἀθηναῖοι δὲ, τάς τε τεσσαράκοντα
ναῦς ἐς σικελίαν ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, καὶ
στρατηγοὺς τοὺς ὑπολοίπους, εὐρυμέδοντα, καὶ σοφοκλέα.
πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς σι-
κελίαν. εἶπον δὲ τούτοις καὶ κορκυραίων ἅμα παραπλέον-
τας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἱ ἐλῃστεύοντο ὑπὸ τῶν
ἐν τῷ ὄρει φυγάδων. καὶ πελοποννησίων αὐτόσε νῆες
ἑξήκοντα παρεπεπλεύκεσαν, τοῖς ἐν τῷ ὄρει τιμωροί. καὶ
λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει, νομίζοντες κατασχή-
σειν ῥᾳδίως τὰ πράγματα. δημοσθένει δὲ ὄντι ἰδιώτῃ,
μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ ἀκαρνανίας αὐτῷ δεηθέντι,
εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἢν βούληται, περὶ τὴν
πελοπόννησον. καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν λακω-
νικὴν, καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν κορκύρᾳ ἤδη εἰσὶ τῶν
πελοποννησίων, ὁ μὲν εὐριμέδων, καὶ ὁ σοφοκλῆς, ἠπεί-
γοντο ἐς

γοντο ἐς τὴν κέρκυραν. ὁ δὲ δημοσθένης ἐς τὴν πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς, καὶ πράξαντας ἃ δεῖ τὸν πλοῦν ποιεῖσθαι. ἀντιλεγόντων δὲ, κατὰ τύχην χειμὼν ἐπιγενόμενος, κατήνεγκε τὰς ναῦς ἐς τὴν πύλον. καὶ ὁ δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον. ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι. καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε, καὶ λίθων, καὶ φύσει καρτερὸν ὄν, καὶ ἔρημον αὐτό τε καὶ ἐπιπολὺ καὶ χώρας. ἀπέχει γὰρ σταδίους μάλιστα ἡ πύλος καὶ σπάρτης τετρακοσίους. καὶ ἔστιν ἐν τῇ μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ. καλοῦσι δὲ αὐτὴν οἱ λακεδαιμόνιοι κορυφάσιον. οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους καὶ πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾶν. τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον, λιμένος τε προσόντος, καὶ τοὺς μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον, καὶ ὁμοφώνους τοῖς λακεδαιμονίοις, πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους, καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι. ὡς δὲ οὐκ ἔπειθεν, οὔτε τοὺς στρατηγοὺς, οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν ὑπὸ ἀπλοίας, μέχρις αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν ὁρμὴ ἐπέπεσε περὶ στάσιν ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες εἰργάζοντο. σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν, ὡς ἕκαστόν τι ξυμβαίνοι. καὶ τὸν πηλὸν εἴ που δέοι χρῆσθαι ἀγγείων ἀπορίᾳ, ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν. καὶ τὼ χεῖρε ἐς τὸν πίσω ξυμπλέκον-

πες, ὅπως μὴ ἀπροσπόητοι παντί τῳ τρόπῳ ἦσιν φθεῖραι
τοὺς λακεδαιμονίους τὰ ἐς μαχώτατα ἀλλοργασάμενοι.
πρὶν ἐσβοηθῆσαι. τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρπε-
ρὸν ὑπῆρχε, καὶ οὐδὲν ἔδει τείχους. οἱ δὲ ἑορτὴν ἄγον-
τες, καὶ ἅμα πανδαπόμενοι, ὡς ὀλιγωρίᾳ ἐσοι-
σοῦντο, ὡς ὅταν ἀλλοθόησιν, ἢ οὐχ ὑπομενοῦντάς σφας, ἢ
ῥᾳδίως ληψόμενοι βίᾳ, καὶ ἃ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς
ἀθλιώσαις ὢν ἐπέσχε. τειχίσαντες δὲ οἱ ἀθηναῖοι τοῦ χορίου
τὰ πρὸς ἤπειρον, καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἕξ, τὸν μὲν
δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπου-
σι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς πύλον κέρκυραν πλοῦν καὶ
σικελίαν ἤπείγοντο. οἱ δ' ἐν τῇ ἀττικῇ ὄντες πελοποννήσιοι,
ὡς ἐπύθοντο ἐκ πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ
τάχος ἐπ' οἴκου. νομίζοντες μὲν οἱ λακεδαιμόνιοι καὶ
ἄγις ὁ βασιλεὺς οἰκεῖον σφίσιν ἐποιήσατο πρὶν πύλον, ἅμα
δὲ πρῶι ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος,
ἐπανίζον τροφῆς ἐσ τοὺς πολλοὺς χειμῶνα τε ἐπιγιγνόμενον
μείζω παρὰ τὴν καθεστηκυῖαν ὥραν, ὥστε σφᾶς μᾶλλον,
ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτούς,
καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύτην. ἡμέρας γὰρ
πεντεκαίδεκα ἔμειναν ἐν τῇ ἀττικῇ. κατὰ δὲ τὸν αὐ-
τὸν χρόνον σιμωνίδης ἀθηναίων στρατηγὸς, ἣν ὀνα τὴν ἐπὶ
θράκης, μυρκινίαν ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας
ἀθηναίους τε ὀλίγους ἐκ τῆς φρουρίου, καὶ τῶν ἐκείνῃ ξυμ-
μάχων πλῆθος, προσιόντι κατέλαβε, καὶ παρα-
σκευὴν ἐποιοῦντο χαλκιδέων καὶ βοττιαίων, ἡγε-
μόνα

κρούσθη τε, ⲥ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν. ἀναχω-
ρησάντων δὲ τῶν ἐκ τῆς ἀττικῆς πελοποννησίων, οἱ σπαρ-
τιάται, αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων, εὐθὺς
ἐβοήθουν ἐπὶ τὴν πύλον. τῶν δὲ ἄλλων λακεδαιμονίων
βραδυτέρα ἐγίγνετο ἔφοδος, ἄρτι ἀφιγμένων ἀφ' ἑτέρας
στρατιᾶς. περιήγγελλον δὴ κατὰ τὴν πελοπόννησον βοηθεῖν
ὅτι τάχιστα ἐπὶ πύλον. καὶ ἐπὶ τὰς ἐν τῇ κερκύρᾳ ναῦς
σφῶν τὰς ἑξήκοντα ἔπεμψαν, αἳ ὑπερενεχθεῖσαι τὸν λευ-
καδίων ἰσθμὸν, καὶ λαθοῦσαι τὰς ἐν ζακύνθῳ ἀττικὰς ναῦς,
ἀφικνοῦνται ἐπὶ πύλον. παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρα-
τός. δημοσθένης δὲ, προσπλεόντων ἔτι τῶν πελοποννη-
σίων, ὑπεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι εὐρυμέδοντι,
καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν ζακύνθῳ ἀθηναίοις παρεῖναι,
ὡς τοῦ χωρίου κινδυνεύοντος. καὶ αἱ μὲν νῆες κατατά-
χος ἔπλεον, κατὰ τὰ ἐπεσταλμένα ὑπὸ δημοσθένους. οἱ
δὲ λακεδαιμόνιοι παρεσκευάζοντο, ὡς τοῦ τειχίσματι
προσβαλοῦντες κατά τε γῆν καὶ θάλασσαν, ἐλπίζοντες
ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον,
καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. προσδεχόμενοι δὴ καὶ
τὴν ἀπὸ τῆς ζακύνθου τῶν ἀττικῶν νεῶν βοήθειαν, ἐν νῷ
εἶχον, ἢν ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔσπλους τοῦ
λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς ἀθηναίοις ἐφορμί-
σασθαι ἐς αὐτόν. ἡ γὰρ νῆσος ἡ σφακτηρία καλουμένη,
τόν τε λιμένα παρατείνουσα, καὶ ἐγγὺς ἐπικειμένη, ἐχυ-
ρὸν ποιεῖ, καὶ τοὺς ἔσπλους στενούς. τῇ μὲν δυεῖν νεοῖν διά-
πλουν κατὰ τὸ τείχισμα τῶν ἀθηναίων, καὶ τὴν πύλον.

τῇ δὲ πρὸς τὴν ἄλλην ἤπειρον ὀκτώ, ἡ Σύνεα. ὑλώδης τε καὶ ἄτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν. καὶ μεγεθ[ος] πρὶ πεντεκαίδεκα σταδίους μάλιστα. τοὺς μὲν οὖν ἔσωθεν ταῖς ναυσὶν ἀνὰ πρώρους βύζιον κλήσαν ἔμελλον. τὴν δὲ νῆσον ταύτην φοβούμενοι μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται, ὁπλίτας διεβίβασαν εἰς αὐτήν, καὶ πρὶ τὴν ἤπειρον ἄλλους ἔταξαν. οὕτω γὰρ τοῖς ἀθλιωτάτοις τὴν νῆσον πολεμίαν ἔσεσθαι, τήν τε ἤπειρον ἀπόβασιν οὐκ ἔχουσαν. τὰ γὰρ αὐτῆς πρὸς πύλου, ἔξω τοῦ ἔσωθεν πρὸς δ' πέλαγος ἁλίμενα ὄντα, οὐκ ἐξῆν ὅθεν ὁρμώμενοι, ὠφελήσουσι τοὺς αὐτῶν. σφεῖς δέ, ἄνευ τε ναυμαχίας, καὶ κινδύνου, ἐκπολιορκήσειν τὸ χωρίον καὶ δι' εἰκός, σίτου τε οὐκ ἐνόντος, καὶ δι' ὀλίγης παρασκευῆς κατειλημμένον. ὡς δ' ἔδοκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας ἀποκλῄσαντες ἀπὸ πάντων τὴν λόχμην, καὶ διέβησαν μὲν καὶ ἄλλοι πρότερον καὶ διὰ σχοίνου. οἱ δὲ τελευταῖοι καὶ ἐγκαταλειφθέντες, εἴκοσι καὶ τετρακόσιοι ἦσαν. καὶ εἵλοντες οἱ περὶ αὐτοὺς. ἦρχε δὲ αὐτῶν ἐπιτάδας ὁ Μολόβρου. δημοσθένης δὲ ὁρῶν τοὺς λακεδαιμονίους μέλλοντας προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ παρεσκευάζετο καὶ αὐτός. καὶ τοὺς τοξότας, ἅπερ ἦσαν αὐτῷ ἀπὸ τῆς καταληφθείσης ἀναβάσας, ὑπὸ τὸ τείχισμα προσεξαύρωσε, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὡπλισμένους ἀπίστε τε φυλακῆς, καὶ οἰσυίνας τοῖς πολλοῖς. οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστικῆς μεταστάσεως τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παρ[ό]ντες.

Nominatim in mentione fines populi & Thesaliotis

Pentecontoro

Pentecontoro

Pentecontoro

χον παραγενόμενοι. ὁπλῖταί τε τῶν μεσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων, καὶ ὡπλισμένων, ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπῶν ἀμύνασθαι τὸν πεζόν, ἢν προσβάλη. αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων, ἑξήκοντα ὁπλίτας, καὶ τοξότας ὀλίγους, ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ἢ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν. ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτη ἀσθενεθάτου ὄντος, ἐπιπτάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι, οὔτε γὰρ αὐτοὶ ἐλπίζοντές ποτε ναυσὶ κρατήσεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν, ἁλώσιμον τοῦ χωρίου γίγνεσθαι. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρίσας, ἔταξε τοὺς ὁπλίτας ὡς εἴρξων, ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Ανδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ παριεστὼς ἡμᾶς δεινὸν μᾶλλον, ἢ ἀπορισκέπτως εὐέλπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ τούτων ἂν παριγενόμενος. ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται, ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται, ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλομέν τε μεῖναι, καὶ μὴ τοῦ πλήθα

ἀυτῶν καταπλαγέντες, τὰ ὑπάρχοντα ἡμῖν κρείσσω
καταπροδοῦναι. τοι τε γὰρ χωρίου τοῦ δυσέμφατον ἡμέτε-
ρον νομίζω, μενόντων ἡμῶν ξύμμαχον γίγνεσθαι. ὑπο-
χωρήσασι δὲ, καὶ πρὸς χαλεπὸν ὄν, εὔπορον ἔσται, μηδενὸς
κωλύοντος. καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ
ῥᾳδίως ἀυτῷ πάλιν οὔσης καὶ ἀναχωρήσεως, ἢν καὶ ὑφ'
ἡμῶν βιάζηται, ἐπὶ γὰρ ταῖς ναυσὶ, ῥᾷστοι εἰσὶν ἀμύνε-
σθαι. ἀποβάντες δὲ ἐν τῷ ἴσῳ, ἤδη τότε πλῆθος ἀυτῶν,
οὐκ ἄγαν δεῖ φοβεῖσθαι. κατ' ὀλίγον γὰρ μαχεῖται, καὶ
πρὸς πολὺ ὄν, ἀπορίᾳ καὶ προσορμίσεως. καὶ οὐκ ἐν γῇ στρα-
τός ἐστιν ἐκ τοι ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ
χαίρια δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι. ὥστε τὰς τούτων ἀπο-
ρίας, ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. καὶ ἅμα
ἀξιῶ ὑμᾶς ἀθηναίους ὄντας, καὶ ἐπισταμένους ἐμπειρίᾳ
τὴν ναυτικὴν, ἐπ' ἄλλους ἀπόβασιν, ὅτι εἴ τις ὑπομένοι, καὶ
μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχω-
ροίη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ ἀυτοὺς νῦν μεῖναί τε, καὶ ἀ-
μυνομένους παρ' ἀυτὴν τὴν ῥαχίαν, σώζειν ἡμᾶς τε ἀυτοὺς,
καὶ τὸ χωρίον. τοσαῦτα τοι δημοσθένους παρακελευσα-
μένου, οἱ ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐπικαταβάν-
τες, ἐτάξαντο παρ' ἀυτὴν τὴν θάλασσαν. οἱ δὲ λακεδαι-
μόνιοι ἄραντες, τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ
τειχίσματι, καὶ ταῖς ναυσὶν ἅμα οὔσαις τεσσαράκοντα,
καὶ τρισί. νάυαρχος δὲ ἀυτῶν ἐπέπλει θαρσυμηλίδας
ὁ κρατησικλέους σπαρτιάτης. προσέβαλλε δὲ ᾗπερ ὁ δημο-
σθένης προσεδέχετο, καὶ οἱ μὲν ἀθηναῖοι ἀμφοτέρωθεν

ἔκ τε

ἔκ τε γῆς, καὶ ἐκ θαλάσσης ἠμύνοντο. οἱ δὲ κατ' ὀλίγας
ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσχεῖν, καὶ ἀνα-
πάυοντες, ἐν τῷ μέρει τοὺς ὑπόπλους ἐποιοῦντο, προθυ-
μίᾳ τε πάσῃ χρώμενοι, καὶ παρακελευσμῷ, εἴ πως ὡσά-
μενοι, ἕλοιεν τὸ τείχισμα. πάντων δὲ φανερώτατος ὁ
βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ, καὶ ὁρῶν τοι χωρίου
χαλεποῦ ὄντος τοὺς τριηράρχους, καὶ κυβερνήτας, εἴπου
καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας, καὶ φυλασσο-
μένους τὴν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα λέγων, ὡς οὐκ εἰκὸς
εἴη ξύλων φειδομένους τοὺς πολεμίους, ἐν τῇ χώρᾳ περιϊ-
δεῖν τεῖχος πεποιημένους. ἀλλὰ τάς τε σφετέρας ναῦς
βιαζομένους, τὴν ἀπόβασιν καταγνῦναι ἐκέλευε. καὶ τοὺς
ξυμμάχους μὴ ἀπεκνῆσαι, ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς
ναῦς τοῖς λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι. ὀκεί-
λαντας δὲ, καὶ παντὶ τρόπῳ ἀπεβάντας, τήν τε ἀνδρῶν. ⊂
τοι χωρίου κρατῆσαι. καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα
ἐπέσπερχε. ⊂ τὸν ἑαυτοι κυβερνήτην ἀναγκάσας ὀκεῖ-
λαι τὴν ναῦν, ἐχώρει ἐπὶ τὴν ἀποβάθραν. καὶ πειρώ-
μενος ἀπεβαίνειν, ἀνεκόπη ὑπὸ τῶν ἀθηναίων. καὶ τραυ-
ματισθεὶς πολλὰ, ἐλειποψύχησέ τε. καὶ πεσόντος αὐτοῦ
ἐς τὴν παρεξειρεσίαν, ἡ ἀσπὶς περιερρύη εἰς τὴν θάλασσαν.
καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν, οἱ ἀθηναῖοι ἀνελό-
μενοι, ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο, ὃ ἔστησαν ἐπὶ
προσβολῆς ταύτης. οἱ δ' ἄλλοι πρὸ ὑθυμοῦντο μὲν. ἀδύ-
νατοι δ' ἴσαν ἀποβῆναι, τήν τε χωρίων χαλεπότητι, καὶ τῶν
ἀθηναίων μενόντων, καὶ οὐδὲν ὑποχωρούντων. ἐς τοῦτό
τε περιέστη

τε πρὶ ἑσπέραν τύχη, ὥστε ἀθλιωτέρους μὲν ἐκ γῆς τε καὶ
λακωνικῆς, ἀμαθεστέρους δὲ ἐκείνους ἐς πλοῦν τὰς. λακεδαι-
μονίους δὲ ἐκ νεῶν τε καὶ εἰς τὴν ἑαυτῶν πολεμίαν οὖσαν
ἐς ἀθλιωτέρους ἀποβαίνειν. ἐπὶ πολὺ γὰρ ἐς ἀμαθίαν ἡ ὀξυ-
τὴν τότε, τοῖς μὴ πειρωτοῖς μᾶλλον εἶναι, καὶ τὰ περὶ
κρατίστοις, τοῖς τε θαλασσίοις τε, καὶ ταῖς ναυσὶ πλεῖστον
προέχειν. ταύτῃ μὲν οὖν τὴν ἡμέραν καὶ ἡ ὑσβραία
μέρει τι προσβολὰς ποιησάμενοι ἐπέπαυντο. καὶ τῇ
τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν ἅνας
ἐς ἀσίνιον, ἐλπίζοντες τὸ μὴ τὸν λιμένα τεῖχος, ὥσπερ μὴ
ἔχειν. ἀπρεπέστερος δὲ μᾶλλον οὐδεὶς, ἐλεῖν μηχανᾶς. ἐν
τούτῳ δὲ αἱ ἐκ τῆς χαλκιδικῆς νῆες τῶν ἀθλιωτέρων πεπαγήνοι-
ται παραπλέουσαι. προσεβοήθησαν γὰρ τῶν τε φασηλιδῶν
ἅνες ἄνδρες τῶν ἐκ ναυπάκτου, καὶ χῖαι τέσσαρες. ὡς δὲ
εἶδον τὸν τε ἤπειρον ὁπλιτῶν πλέων, τὸν τε νῆσον,
ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς, καὶ οὐκ ἐκπλεούσας, ἀπο-
ρήσαντες ὅπη καθορμίσωνται, τότε μὲν ἐς πρώτην τὴν
νῆσον, ἣ οὐ πολὺ ἀπέχει ἔρημος οὖσα ἐπλεύσαν, καὶ ἐκυλί-
σαντο. τῇ δ' ὑσβραίᾳ παρασκευασάμενοι, ὡς ἐπὶ ναυ-
μαχίαν ἀνήγοντο. ἦν μὲν ἀνεκπλεῖν ἐθέλωσι σφίσιν, ἐς
τὴν εὐρυχωρίαν. εἰ δὲ μή, ὡς αὐτοὶ ἐπεπλευσάμενοι καὶ
οἱ μὲν οὔτε ἀνήγοντο, οὔτε ἃ διενοήθησαν φράξαι τοὺς
ἐσπλοῦς, ἔτυχον ποιήσαντες. ἡσυχάζοντες δ' ἐν τῇ γῇ τὰς
τε ναῦς ἐπλήρουν, καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν
τῷ λιμένι ὄντα οὐ σμικρῷ ναυμαχήσοντες. οἱ δ' ἀθλιώτατοι τῶν
γνόντες καὶ ἑκάτερον τὸν ἔσπλουν, ὥρμησαν ἐπ' αὐτούς.

καὶ τὰς

καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν, καὶ ἀντι-
πρώρους προσπεσόντες, ἐς φυγὴν κατέστησαν. καὶ ἐπιδιώ-
κοντες, ὡς διαβραχέος ἔτρωσαν μὲν πολλὰς, πέντε δ'
ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι. ταῖς δὲ λοιπαῖς
ἐν τῇ γῇ καταπεφευγήαις ἐνέβαλλον. αἱ δὲ καὶ πληρού-
μεναι ἔτι πρὶν ἀνάγεσθαι ἐκόπτοντο. καί τινας καὶ ἀνα-
δούμενοι, κενὰς εἷλκον, τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων.
ἃ ὁρῶντες οἱ λακεδαιμόνιοι, καὶ περιαλγοῦντες τοῦδ' πάθει,
ὅτι πρὸ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, πα-
ρεβοήθουν. καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν, ξὺν τοῖς
ὅπλοις ἀνθεῖλκον, ἀντιλαμβανόμενοι τῶν νεῶν, καὶ ἐν τού-
τῳ κεκωλύσθαι ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ
παρῆν. ἐγένετό τε ὁ θόρυβος μέγας, καὶ ἀντηλλαγμένος
τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς. οἵ τε γὰρ λακεδαι-
μόνιοι ὑπὸ προθυμίας καὶ ἐκ πλήξεως ὡς εἰπεῖν, ἄλλο
οὐδὲν, ἢ ἐκ γῆς ἐναυμάχουν. οἵ τε ἀθηναῖοι κρατοῦντες,
καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπιπλεῖστον ἐπεξελθεῖν,
ἀπὸ νεῶν ἐπεζομάχουν. πολύν τε πόνον πρασχόντες ἀλ-
λήλοις, καὶ τραυματίσαντες διεκρίθησαν. καὶ οἱ λακε-
δαιμόνιοι τὰς κενὰς ναῦς, πλὴν τῶν τοπρῶτον λυφθεισῶν
διέσωσαν. καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ
μὲν τροπαῖόν τε ἔστησαν, καὶ νεκροὺς ἀπέδοσαν, καὶ ναυα-
γίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον, καὶ ἐν
φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων. οἱ δ' ἐν τῇ
ἠπείρῳ πελοποννήσιοι, καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες,
ἔμενον κατὰ χώραν ἐπὶ τῇ πύλῳ. ἐς δὲ τὴν σπάρτην ὡς

ἦγγέλθη τὰ γεγενημένα πρὸς πύλον, ἔδοξεν αὐτοῖς ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ, τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον, βουλεύειν πρὸς τὸ παρὸν ὁρῶντας, ὅ, τι ἂν δοκῇ, καὶ ὡς εἶδον ἀδύνατον ὂν ἀμφοῖν τοῖς ἀνδράσι, καὶ κινδυνεύειν οὐκ ἐθέλοντας, ὑπὸ λιμῷ ἃ παθεῖν αὐτούς, ἢ ὑπὸ πλήθους βιασθέντας, ἢ κρατηθέντας, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατηγοὺς τοὺς ἀθηναίων, ἢν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ τὸν λόφον, ἀπιέναι ἐς τὰς ἀθήνας. πρέσβεις περὶ ξυμβάσεως, καὶ πῶς ἄνδρας ὡς τάχιστα πεμφθῆναι κομίσασθαι. δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον, ἐγίγνοντο σπονδαὶ τοιαίδε. λακεδαιμονίους μὲν τὰς ναῦς ἃς ἐναυμάχησαν, καὶ τὰς ἐν τῇ λακωνικῇ πάσας, ὅσαι ἦσαν παρασῦναι κομίσαντας ἐς πύλον ἀθηναίοις. μὴ ὅπλα μὴ ἐπιφέρειν τῷ τείχισμα, μήτε κατὰ γῆν, μήτε κατὰ θάλασσαν. ἀθηναίους δὲ, τοῖς ἐν τῇ νήσῳ ἀνδράσι, σίτου μὲν ἑκάστου τοὺς ἐν τῇ ἠπείρῳ λακεδαιμονίους ἐκπέμπειν, τακτὸν, καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ ἀττικὰς ἀλφίτων, καὶ δύο κοτύλας οἴνου, καὶ κρέας. θεράποντα δὲ, τούτων ἡμίσεα. ταῦτα δὲ ὁρώντων τῶν ἀθηναίων, ἐπέμπειν, καὶ πλοῖον μηδὲν ἐπιπλεῖν λάθρα. φυλάσσειν δὲ καὶ τοὺς νήσου ἀθηναίους μηδὲν ἧσσον ὅσα μὴ ἀπραίνοντας, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ πελοποννησίων στρατῷ, μήτε κατὰ γῆν, μήτε κατὰ θάλασσαν. ὅτι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐπεῖναι δὲ αὐτὰς μέχρις οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν ἀθηναίων λακεδαιμονίων πρέσβεις. ἀποπλεῖν δὲ αὐτοὺς πρώτους ἀθη-

ρει ἀθηναίους, καὶ πάλιν κομίσαι. ἐλθόντων δὲ, τάς τε σπονδὰς λελύσθαι ταύτας, καὶ τὰς ναῦς ἀποδοῦναι ἀθηναίους ὁμοίας, οἵας περ ἂν παραλάβωσιν. αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο. καὶ αἱ νῆες παρεδόθησαν, οὖσαι περὶ ἑξήκοντα. καὶ οἱ πρέσβεις ἀπεστάλησαν. ἀφικόμενοι δὲ ἐς τὰς ἀθήνας, ἔλεξαν τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.

Ἔπεμψαν ἡμᾶς λακεδαιμόνιοι, ὦ ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας ὅ, τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν, τὸ αὐτὸ πείθομεν, καὶ ὑμῖν ἐς τὴν ξυμφορὰν ὡς ἐκ τῶν παρόντων, κόσμον μάλιστα μέλλῃ οἴσειν. τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπὶ χώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι. πλείοσι δὲ, ἐν ᾧ ἂν καιρὸς ᾖ, διδάσκοντάς τι τῶν προὔργου. λόγοις τὸ δέον πράσσειν. λάβετε δὲ αὐτοὺς μὴ πολεμίως, μηδ' ὡς ἀξώνετοι διδασκόμενοι. ὑπόμνησιν δὲ τῶν καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν, καὶ δόξαν, καὶ μὴ πάθειν, ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων. ἀεὶ γὰρ τοι πλέονος ἐλπίδι ὀρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί εἰσι. καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις. ὅ τῇ τε ἡμετέρᾳ πόλει δι' ἐμπειρίαν, καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τοι εἰκότος προσείῃ. γνῶτε δὲ ὡς

ἐς τὰς ἡμετέρας νεῶν ξυμφορὰς ἀπιδόντες, οἵ γε νῦν ἀξίωμα
μέγιστον τῶν Ἑλλήνων ἔχοντες, ἥκομεν παρ' ὑμᾶς, πρό-
τερον αὐτοὶ κυριώτατοι νομίζοντες εἶναι δοῦναι, ἐφ' ἃ
νῦν ἀφιγμένοι, ὑμᾶς αἰτήσομαι. καὶ τοι οὔτε δυνάμεως
ὠφελείᾳ ἐπάθομεν αὐτὸ, οὔτε μείζονος προσηνομένης
βεβίασαντες. ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμης σφαλέν-
τες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει, ὥστε οὐκ εἰκὸς
ὑμᾶς διὰ τῶν παρόντων νεῶν ξώμιλον, πόλεώς τε καὶ τῶν
προσγεγενημένων, καὶ τὸ σὺν τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν
ἕξεσθαι. σοφρόνων δ' ἀνδρῶν, οἵ γε τἀγαθὰ ἐς ἀμε-
βολον ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ ἐν-
δοιαστότατοι ἂν προσφέροντο. τόν τε πόλεμον νομίσωσι
μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν,
τοῦτο ξυνεῖναι, ἀλλ' ὡσαύτως ἂν τύχαι αὐτῶν ἡγήσωνται, καὶ
ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ ὀρθυμίᾳ αὐτοῦ
πιστεύοντες ἐπαίρεσθαι, σὺν τῷ εὐτυχεῖν ἂν μάλιστα κατα-
λύοιντο. ἃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι, καλῶς ἔχει πρὸς ἡμᾶς
πρᾶξαι, ἢ μή ποτε ὕστερον μὴ ἄρα μὴ πειθόμενοι σφαλῆ-
τε, ἃ πολλὰ ξυνέχεται, νομισθῶσι τύχῃ, καὶ τὰ νῦν προ-
χωρήσαντα κρατῆσαι, ἀλλὰ μᾶλλον ἀκίνδυνον δόκησιν ἰσχύος καὶ
ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν. λακεδαιμόνιοι δὲ
ὑμᾶς προκαλοῦνται ἐς σπονδὰς, καὶ διάλυσιν πολέμου,
διδόντες μὲν εἰρήνην, καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν
πολλήν, καὶ οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦν-
τες δὲ τοὺς ἐκ τῆς νήσου ἄνδρας. καὶ ἄμεινον ἡγούμενοι
ἀμφοτέροις μὴ διακινδυνεύεσθαι, εἴ τι βίᾳ διαφύγοιεν,
παρα-

παρατυχούσης τινὸς σωτηρίας, εἴτε καὶ ἐκπολιορκηθέντες, μᾶλλον ἂν χειρωθεῖεν. νομίζομέν τε τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνόμενός τις, καὶ ἐπικρατήσας τὰ πλέω τοι πολέμου, κατ' ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων, μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ, ἀλλ' ἢν παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐπιεικὲς, καὶ ἀρετῇ αὐτὸς νικήσας πρὰ ἃ προσεδέχετο, μετρίως ξυναλλαγῇ. ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς, ἀλλ' ἀνταποδοῦναι ἀρετὴν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν, οἷς ξυνέθετο. καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ ἄνθρωποι, ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας. πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν, ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα, καὶ παρὰ γνώμην διακινδυνεύειν. ἡμῖν δὲ καλῶς εἴπέρ ποτε, ἔχει ἀμφοτέροις, ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη αἴδιον ἡμῖν ἔχθραν πρὸς τῇ κοινῇ, καὶ ἰδίαν ἔχειν. ὑμᾶς δὲ στερηθῆναι, ὧν νῦν προκαλούμεθα. ἔτι δ' ὄντων ἀκρίτων. καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης, ὑμῖν δὲ πρὸ αἰσχροῦτινος, ξυμφορᾶς μετρίως καταθεμένης, διαλλαγῶμεν. καὶ αὐτοί τε ἀντὶ πολέμου, εἰρήνην ἑλώμεθα, καὶ τοῖς ἄλλοις ἕλλησιν ἀνάπαυσιν καὶ ποιήσομεν, οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. πολεμοῦνται γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων. καταλύσεως δὲ γενομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοι ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν. ἢν τε γνῶτε, λακεδαιμονίοις ἔξεστιν

ὑμῖν φίλους γενέσθαι βεβαίως. αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον, ἢ βιασαμένοις. καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε, ὅσα εἴκος εἶναι. ἡμῶν γὰρ καὶ ὑμῶν ταῦτα λεγόντων, τό γε ἄλλο ἑλληνικὸν ἴστε ὅτι ὑποδεέστερον ὄν, τὰ μέγιστα τιμήσει.

οἱ μὲν οὖν λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες τοὺς ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ, σπονδῶν μὴ ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων, κωλύεσθαι. διδομένης δὲ εἰρήνης, ἀσμένως δέξασθαί τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. οἱ δὲ τὰς σπονδὰς ἔχοντες, τοὺς ἄνδρας ἐν τῇ νήσῳ ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι, ὁπότ' ἂν βούλωνται ποιεῖσθαι πρὸς αὐτούς. τοι δὲ πλέονος ὡρέγοντο. μάλιστα δὲ αὐτοὺς ἐνῆγε κλέων ὁ κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὤν, καὶ τῷ πλήθει πιθανώτατος. καὶ ἔπεισεν ἀπεκρίνασθαι, ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας πρῶτον, κομισθῆναι ἀθήναζε. ἐλθόντων δὲ ἀπεδόντας λακεδαιμονίους νίσαιαν, καὶ πυγὰς, καὶ τροίζηνα, καὶ ἀχαΐαν, ἃ οὐ πολέμῳ ἔλαβον, ἀλλ' ἀπὸ τῆς προτέρας ξυμβάσεως, ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφορὰς, καὶ ἐν τῷ τότε δεομένων τὶ μᾶλλον σπονδῶν κομίσασθαι τοὺς ἄνδρας, καὶ σπονδὰς ποιήσασθαι, ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις. οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον. ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι. οἵ τινες λέγοντες, καὶ ἀκούοντες περὶ ἑκάστου, ξυμβήσοντες κατὰ ὑσυχίαν, ὅ, τι ἂν πείθωσιν ἀλλήλους. κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων γιγνώσκειν μὴ καὶ πρότερον οὐδὲν ἐν

νῷ ἔχοντας

νῷ ἔχοντας δίκαιον αὐτοὺς, σαφὲς δ' εἶναι, Ϛ νῦν οἵ τινες τοῦ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βούλονται γίγνεσθαι. ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦντες λέγειν ἐκέλευσεν ἅπασιν. ὁρῶντες δὲ οἱ λακεδαιμόνιοι οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴτε καὶ ὑπὸ τοῦ ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν εἰπόντες, Ϛ οὐ τυχόντες, οὔτε τοὺς ἀθηναίους ἐπὶ μετρίοις ποιήσαντας ἃ προὐκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν ἀθηνῶν ἄπρακτοι. ἀφικομένων δὲ αὐτῶν, διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ πύλον. καὶ τὰς ναῦς οἱ λακεδαιμόνιοι ἀπήτουν, καθάπερ ξυνέκειτο. οἱ δ' ἀθηναῖοι ἐγκλήματα ἔχοντες, ἐπιδρομήν τε τοῦ τειχίσματι παράσπονδον, καὶ ἀλλὰ οὐκ ἀξιόλογα δοκοῦντα εἶναι, οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι, ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. οἱ δὲ λακεδαιμόνιοι ἀντέλεγόν τε. καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν, ἀπελθόντες, ἐς πόλεμον καθίσαντο. καὶ τὰ περὶ πύλον ὑπ' ἀμφοτέρων κατακράτος ἐπολεμεῖτο. ἀθηναῖοι μὲν δυοῖν νεοῖν ἐναντίαιν αἰεὶ τὴν νῆσον περιπλέοντες καὶ ἡμέρας, καὶ δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος ὁπότε ἄνεμος εἴη. καὶ ἐκ τῶν ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν. ὥς τε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο. πελοποννήσιοι δὲ ἔν τε τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τοῦ τείχει, σκοποῦντες καιρὸν, εἴ τις παραπέσοι, ὥς τε τοὺς ἄνδρας σῶσαι. ἐν τούτῳ δὲ οἱ ἐν τῇ σικελίᾳ συρακούσιοι καὶ οἱ ξύμ-

οἱ ξύμμαχοι, πρὸς ταῖς ἐν μεσσήνῃ φρουρούσαις ναυσὶ τὸ ἄλλο ναυτικόν, ὃ παρεσκευάζοντο προσκομίσαντες, τὸν πόλεμον ἐποιοῦντο ἐκ καὶ μεσσήνης. καὶ μάλιστα ἀνῆγον οἱ λοκροὶ τῶν ῥηγίνων κατὰ ἔχθραν. καὶ αὐτοὶ δὲ ἐσβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν, καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι. εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ τὸ ῥήγιον, ἤλπιζον πεζῇ τε, καὶ ναυσὶν ἐφορμοῦντες, ῥᾳδίως χειρώσεσθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι. ξύνεγγυς γὰρ κειμένου τοῦ τε ῥηγίου ἀκρωτηρίου καὶ ἰταλίας, καὶ τε μεσσήνης καὶ σικελίας, τοῖς ἀθηναίοις τε οὐκ ἐνεῖναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ κρατεῖν. ἔστι δὲ ὁ πορθμός, ἡ μεταξὺ ῥηγίου θάλασσα, καὶ μεσσήνης, ἧπερ βραχύτατον σικελία καὶ ἠπείρου ἀπέχει. καὶ ἔστιν ἡ χάρυβδις κληθεῖσα τοῦτο, ἣ ὀδυσσεὺς λέγετε διαπλεῦσαι. διὰ στενότητα δὲ καὶ μεγάλων πελαγῶν, τοῦ τε τυρσηνικοῦ, καὶ τοῦ σικελικοῦ ἐσπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ, καὶ ῥοώδης οὖσα, εἰκότως χαλεπὴ ἐννομίσθη. ἐν τούτῳ οὖν τῷ μεταξὺ, οἱ συρακούσιοι, καὶ οἱ ξύμμαχοι, ναυσὶν ὀλίγω πλείοσιν ἢ τριάκοντα, ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι, περὶ πλοίου διαπλέοντος ἀντεπαναγόμενοι πρός τε ἀθηναίων ναῦς ἑκκαίδεκα, καὶ ῥηγίνας ὀκτώ. καὶ νικηθέντες ὑπὸ τῶν ἀθηναίων, διατάχους ἀπέπλευσαν ὡς ἕκαστοι ἔτυχον εἰς τὰ οἰκεῖα στρατόπεδα τότε, ἐν τῇ μεσσήνῃ καὶ ἐν τῷ ῥηγίῳ μίαν ναῦν ἀπολέσαντες. καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ.

μετὰ

μετὰ δὲ τοῦτο οἱ μὲν λοκροὶ ἀπῆλθον ἐκ καὶ ῥηγίνων. ἐπὶ δὲ τὴν πελωρίδα καὶ μεσσήνης συλλεγεῖσαι αἱ τῶν συρακουσίων καὶ ξυμμάχων νῆες, ὥρμουν. καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. προπλεύσαντες δὲ οἱ ἀθηναῖοι, καὶ ῥηγῖνοι, ὁρῶντες τὰς ναῦς κενὰς, ἐνέβαλον. Ὁ χειρὶ συδηρᾷ ἐπιβληθείσῃ, μίαν ναῦν αὐτοῖς ἀπώλεσαν, τῶν ἀνδρῶν ἀποκολυμβησάντων. καὶ μετὰ τοῦτο, τῶν συρακουσίων ἐμβάντων ἐς τὰς ναῦς, καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν μεσσήνην, αὖθις προσβαλόντες οἱ ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων, καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι Ὁ ἐν τῷδε παράπλῳ, καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ, οὐκ ἔλασσον ἔχοντες οἱ συρακούσιοι, παρεκομίσθησαν ἐς τὸν ἐν τῇ μεσσήνῃ λιμένα. καὶ οἱ μὲν ἀθηναῖοι, καμαρήνης ἀγγελθείσης προδιδόσθαι συρακουσίοις ὑπ' ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε. μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν Ὁ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ νάξον χαλκιδικὴν, ὅμορον οὖσαν. καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς ναξίους, ἐδῄουν τὴν γῆν. τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν ἀκεσίνην ποταμόν, τὴν γῆν ἐδῄουν. τῷδε δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλον. ἐν τούτῳ δὲ οἱ σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς μεσσηνίους. καὶ οἱ νάξιοι ὡς εἶδον, θαρσήσαντες καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς, ὡς οἱ λεοντῖνοι σφίσι, καὶ οἱ ἄλλοι ἕλληνες ξύμμαχοι ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ καὶ πόλεως, προσπίπτουσι τοῖς μεσσηνίοις. καὶ τρέψαντες, ἀπέκτεινάν

inclusos muris

de summis montibus vel promontoriis

τε ὑπὲρ χιλίους. καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἴκου. καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες, τοὺς πλείστους διέφθειραν. καὶ αἱ νῆες σχοῦσαι ἐς τὴν μεσσήνην, ὕστερον ἐπ' οἴκου ἕκασται διεκρίθησαν. λεοντῖνοι δὲ εὐθὺς, καὶ οἱ ξύμμαχοι μετὰ ἀθηναίων ἐς τὴν μεσσήνην ὡς κεκακωμένην ἐστράτευον. καὶ προσβάλλοντες, οἱ μὲν ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπειρῶντο, ὁ δὲ πεζὸς πρὸς τὴν πόλιν. ἐπεκδρομὴν δὲ ποιησάμενοι οἱ μεσσήνιοι, καὶ λοκρῶν τινες μετὰ τοῦ δημοτέλους, οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροὶ, ἐξαπιναίως προσπεσόντες, τρέπουσι τοῦ στρατεύματος τῶν λεοντίνων τὸ πολύ, καὶ ἀπέκτειναν πολλούς. ἰδόντες δὲ οἱ ἀθηναῖοι, καὶ ἀπροβάντες ἀπὸ τῶν νεῶν, ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι. καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐς τὸ ῥήγιον. μετὰ δὲ τοῦτο, οἱ μὲν ἐν τῇ σικελίᾳ ἕλληνες, ἄνευ τῶν ἀθηναίων, κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλοις. ἐν δὲ τῇ πύλῳ, ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ λακεδαιμονίους οἱ ἀθηναῖοι. καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν πελοποννησίων, κατὰ χώραν ἔμενεν. ὕπονος δ' ἦν τοῖς ἀθηναίοις ἡ φυλακὴ, σίτου τε ἀπορίᾳ, καὶ ὕδατος. οὐ γὰρ ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ πύλου, καὶ αὕτη οὐ μεγάλη. ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ, ἔπινον οἷον εἰκὸς ὕδωρ. στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο. καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ἡρούντο κατὰ μέρος, αἱ δὲ μετέωρι ὥρμουν.

ἀθυμίαν

ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε, παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ, καὶ ὕδατι ἁλμυρῷ χρωμένους. αἴτιον δὲ ἦν, οἱ λακεδαιμόνιοι, προειπόντες ἐς τὴν νήσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεσμένον, καὶ οἶνον, καὶ τυρὸν, καὶ εἴ τι ἄλλο βρῶμα, οἷον ἂν ἐς πολιορκίαν ξυμφέροι, τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν εἱλώτων τοὺς ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. καὶ ἐσῆγον ἄλλοι τε πρακινδυνεύοντες, καὶ μάλιστα οἱ εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς πελοποννήσου, ὁπόθεν τύχοιεν, καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου, μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι. ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη. ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν. τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει. ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων. καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον, ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. ἐσένεον δὲ καὶ καὶ τὸν λιμένα κολυμβυταὶ ὕφυδροι καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην, καὶ λίνου σπέρμα κεκομμένον. ὧν τὸ πρῶτον λανθανόντων, φυλακαὶ ὕστερον ἐγένοντο. παντί τε τοῦ τρόπῳ ἑκάτεροι ἐπεχνῶντο. οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς. ἐν δὲ ταῖς ἀθήναις. πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι τὰ λαιπωρεῖται, καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν. καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμῶν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν πελο-

πόννησον κομιδῇ ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἑ-
κάστῳ. οὐδ' ἐν θέρει οἷόν τε ἅπασι ἱκανὰ προσπέμπειν, τόν
τε ἔφορμον χωρὶς ἀλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλὰ
ἢ σφῶν ἀνέντων τὴν φυλακὴν προσχωρήσεσθαι τοὺς ἄνδρας,
ἢ τοῖς πλοίοις ἃ τὸ σῖτον αὐτοῖς ἦγε, χειμῶνα τηρήσαντας
ἐκπλεύσεσθαι. πάντων τε ἐφοβοῦντο μάλιστα τοὺς λακε-
δαιμονίους, ὅτι ἔχοντάς τε ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι
σφίσιν ἐπικηρυκεύεσθαι. καὶ μετεμέλοντο, τὰς σπονδὰς
οὐ δεξάμενοι. κλέωνα δὲ γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑπο-
φίαν πρὸς ὀλίγον κωλύσας ξυμβάσεως, οὐ τἀληθῆ ἔφη λέγειν
τοὺς ἀγγέλλοντας. παραινούντων δὲ τῶν ἀθηναίων
εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους ἐνὰς πέμψαι, πρέσβεις
κατάσκοπον αὐτὸς μετὰ θεογνίδου, ὑπὸ ἀθηναίων. κελ-
γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταῦτα λέγειν οἷς διέβαλλεν,
ἢ τἀναντία εἰπὼν, ψευδὴς φανήσεσθαι, παρῆνει τοῖς ἀθη-
ναίοις ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τὸ πλέον τῇ γνώμῃ
στρατεύειν, ὡς χρὴ κατασκόπους μὴ πέμπειν, μηδὲ δια-
μέλλειν καιρὸν πρίεντας. εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι
τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. καὶ ἐς νικίαν
τὸν νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν ἐχθρὸς ὤν,
καὶ ἐπιζήμιον, ῥᾴδιον εἶναι παρασκευῇ εἰ ἄνδρες εἶεν οἱ
στρατηγοί, πλεύσαντες λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτὸς
γ' ἂν εἰ ἦρχε, ποιῆσαι τοῦτο. ὁ δὲ νικίας τὸν τε ἀθηναίων
τὸ ξυνοδοργυήσαντα ἐς τὸν κλέωνα ὅτι οὐ καιρὸν νῦν πλέα
εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιζή-
μιον ὄντα, ἐκέλευεν ἤν ἕνα βούλεται δύναμιν λαβόντα τὸν
στρατηγὸν

Indef. pro futuro
Et plerūq; talia futura enūciāt quandā facilitatē, ut ῥᾴδιόν ἐστι facta significarentur

ὑπὸ σφᾶς εἶναι ἐπιχειρεῖν. ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι, ἕτοιμος ἦν. γνοὺς δὲ τῷ ὄντι πραδωσείοντα, ἀνεχώρει. καὶ οὐκ ἔφη αὐτὸς, ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ ἂν οἰόμενος οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι. αὖθις δὲ ὁ νικίας ἐκέλευε, καὶ ἐξίστατο καὶ ἐπὶ πύλῳ ἀρχῆς. καὶ μάρτυρας τοὺς ἀθηναίους ἐποιεῖτο, οἱ δὲ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ κλέων ὑπέφευγε τὸν πλοῦν, καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ νικίᾳ πραδιδόναι τὴν ἀρχὴν, καὶ ἐκείνῳ ἐπεβόων πλεῖν, ὥς τε οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν. καὶ παρελθὼν, οὔτε φοβεῖσθαι ἔφη λακεδαιμονίους πλεύσεσθαί τε λαβὼν, ἐκ μὲν τῆς πόλεως οὐδένα, λημνίους δὲ καὶ ἱμβρίους τοὺς παρόντας, καὶ πελτασὰς, οἳ ἦσαν ἔκ τε αἴνου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας τετρακοσίους. ταῦτα δὲ ἔχων, ἔφη πρὸς τοὺς ἐν πύλῳ στρατιώτας ἐντὸς ἡμερῶν εἴκοσιν, ἢ ἄξειν λακεδαιμονίους ζῶντας, ἢ αὐτοὶ ἀποκτενεῖν. τοῖς δὲ ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ κουφολογίᾳ αὐτοῦ. ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον. ἢ σφαλεῖσι γνώμης, λακεδαιμονίους σφίσι χειρώσεσθαι. καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ καὶ ψηφισαμένων ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν πύλῳ στρατηγῶν ἕνα προσελόμενος δημοσθένην, τὴν ἀναγωγὴν διαπάχους ἐποιεῖτο. τὸν δὲ δημοσθένην προσέλαβε, πυνθανόμενος

νόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι
οἱ γὰρ στρατιῶται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ. καὶ
μᾶλλον πολιορκούμενοι, ἢ πολιορκοῦντες, ὥρμηντο δια-
κινδυνεῦσαι, καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖ-
σα παρέσχε. πρότερον μὲν γὰρ οὔσης αὐτῆς ὑλώδους
ἐπιπολὺ, καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβοῦντο, καὶ
πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι. πολλῷ
γὰρ ἂν στρατοπέδῳ ἀπροβάντι ἐξ ἀφανοῦς χωρίου, προσβάλ-
λοντας αὐτοὺς βλάπτειν, σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρ-
τίας, καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης, οὐκ ἂν ὁμοίως δῆλα
εἶναι. τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανοῦ ἂν εἶναι, πάν-
τα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσ-
δοκήτως ᾗ βούλοιντο. ἐπ' ἐκείνοις γὰρ εἶναι ἂν τὴν ἐπι-
χείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι,
τοὺς ἐλάσσους. ἐμπείρους δὲ τῆς χώρας, κρείπτους ἐνόμιζε
τῶν πλεόνων ἀπείρων. λανθάνειν τε οὖν, ἐν ἑαυτῶν στρα-
τόπεδον πολὺ ὂν διαφθρόμενον, οὐκ οὔσης τῆς προσόψεως,
ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν ἀπὸ δὲ τοῦ αἰτωλικοῦ πάθους,
ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα
ἐσῄει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενο-
χωρίαν τῆς νήσου, τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι
διὰ προφυλακῆς, καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν
τῆς ὕλης ἄκοντος, καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενο-
μένου, τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθὲν, οὕτω δὴ τούς τε
λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν
πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμπειν, τότε ὡς
ἐπ' ἀξιό

ἐπ' ἀξιόχρεων τοὺς ἀθηναίους μᾶλλον πρυδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο, στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγγὺς ξυμμάχων, καὶ τὰ ἄλλα ἑτοιμάζων, κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς ἥξων, καὶ ἔχων στρατιὰν, ἣν ᾐτήσατο, ἀφικνεῖτο ἐς πύλον. Ὁ ἅμα γενόμενοι, πέμπουσι πρῶτον ἐς τὰ ἐν τὸ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τάτε ὅπλα Ὁ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι. ἐφῶ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέονος ξυμβαθῇ. οὐ προσδεξαμένων δὲ αὖ, μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες, πρὸ δὲ καὶ ἕω ὀλίγον, ἀπέβαινον καὶ νήσου ἑκατέρωθεν ἔκ τε τοῦ πελάγους, καὶ πρὸ τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται, Ὁ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον καὶ νήσου. ὧδε γὰρ διετετάχατο, ἐν ταύτῃ, μὲν τῇ πρώτῃ φυλακῇ, ὡς τριάκοντα ἦσαν ὁπλῖται, μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τοῦ ὕδωρ οἱ πλεῖστοι αὐτῶν, καὶ ἐπιτάδας ὁ ἄρχων εἶχε. μέρος δέτι οὐ πολὺ αὐτοῦ τοῦ ἔσχατον ἐφύλασσε καὶ νήσου τοῦ πρὸς τὴν πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον, καὶ ἐκ καὶ γῆς ἥκιστα ἠπίμαχον. καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν, λίθων λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βεβαιοτέρα. οὕτω μὲν τε ταγμένοι ἦσαν. οἱ δὲ ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας,

οἷς ἐπέ-

οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν ἔν τε ταῖς εὐναῖς ἔτι ἀναλαμβάνοντας τὰ ὅπλα, καὶ λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος εἰς ἔφορμον καὶ νυκτὸς πλεῖν. ἅμα δὲ ἕω γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἐπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα, καὶ ὀλίγῳ πλείονων πάντες πλὴν θαλαμίων, ὡς ἕκαστοι ἐσκευασμένοι. τοξότῃ τε ὀκτακόσιοι, καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων μεσσηνίων τε οἱ βεβοηθηκότες, καὶ οἱ ἄλλοι ὅσοι περὶ πύλον κατεῖχον πάντες, πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. δημοσθένους δὲ τάξαντος, διέστησαν κατὰ διακοσίους τε, καὶ πλείους, ἔστι δ' ἢ ἐλάσσους. τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ἢ τοῖς πολεμίοις πανταχόθεν κεκωλυμένοις, καὶ μὴ ἔχωσι πρὸς ὅ, τι ἀντιτάξονται. ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ὑπλίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι. εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς ἢ χωρήσειαν οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι τοξεύμασι, καὶ ἀκοντίοις, καὶ λίθοις, καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν, οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν, φεύγοντές τε γὰρ ἐκράτουν, καὶ ἀναχωροῦσιν, ἐπέκειντο. τοιαύτῃ μὲν γνώμῃ ὁ δημοσθένης τότε πρῶτον τὴν ἀπόβασιν ἐπενόει, καὶ ἐν τῷ ἔργῳ ἔταξεν. οἱ δὲ περὶ τὸν ἐπιτάδαν, καὶ ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό, τε πρῶτον φυλακτήριον διεφθαρμένον, καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο, καὶ τοῖς ὁπλίταις τῶν ἀθηναίων ἐπῄεσαν,

ἐπῆεσαν, βυλόμενοι ἐς χεῖρας ἐλθεῖν. ἀξιναντίας γὰρ
οὗτοι καθεστήκεσαν. ἐκ πλαγίου δὲ οἱ φίλοι, καὶ κατὰ νώτου.
τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμίξαι, οὐδὲ
τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι. οἱ γὰρ φίλοι ἑκατέρω-
θεν βάλλοντες, εἶργον. καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῆεσαν,
ἀλλ' ἠσύχαζον. τοὺς δὲ φίλους ἦ μάλιστα αὐτοῖς προσθέ-
οντες προσεῖοντο, ἔφευγον. ⟨ οἱ ὑποσχέφοντες ἠμύνοντο,
ἄνθρωποι κόφως τε ἐσκευασμένοι, καὶ προλαμβάνοντες
ῥᾳδίως καὶ φυγῆς, χωρίων τε καλεπότητι, καὶ ὑπὸ καὶ πρὶν
ἐρημίας γαχέων ὄντων. ἐν οἷς οἱ λακεδαιμόνιοι οὐκ
ἠδύναντο διώκειν, ὅπλα ἔχοντες. χρόνον μὲν οὖν ἐνα-
λίγον οὕτω πρὸς ἀλλήλους ἠκροβολίσαντο. τῶν δὲ λακε-
δαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ἦ προσιόντων δυνα-
μένων, γνόντες αὐτοὺς οἱ φίλοι βραδυτέρους ἤδη ὄντας ζῶν
ἀμύνασθαι, καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν δ' πλέονι
ἐπιόντες, πολλαπλάσιοι φανόμενοι, καὶ ξυνεθισμένοι
μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι,
ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐωτεπόνθεσαν, ὥσπερ ὅτε
πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ λα-
κεδαιμονίους, καταφρονήσαντες, ⟨ ἐμβοηθήσαντες, ἀθρόοι
ὥρμησαν ἐπ' αὐτούς. καὶ ἔβαλλον λίθοις τε, καὶ τοξεύμασι,
καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε. γυμνήτης δὲ
ὄχλος βοῆς ἅμα τῇ ἐπιδρομῇ, ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώ-
ποις ἀπείροις τοιαύτης μάχης. καὶ ὁ κονιορτὸς ὑπὸ ὕλης
νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω. ἄπορόν τε ἦν ἰδεῖν
τὸ πρὸ αὐτοῦ ὑπὸ τοξευμάτων, καὶ λίθων ἀπὸ πολλῶν

ἀνθρώπων μετὰ τῶν κονιορτοῦ ἅμα φορουμένων. τό,τε ἔξω τοῦ τείχους ἅπαν ἐνταῦθα ἐγένετο ὡς ἐν πεδίῳ· καὶ τοῖς λακεδαιμονίοις καθίσασιν οὕτω χαλεπὸν τοῖς πίλοις ἔσεσθαι τὰ τοξεύματα, δοράτιά τε ἐναπεκλάσθη, βαλλομένων εἴ τῳ καὶ ἄλλῳ ἐδόκει χρῆσθαι αὐτοῖς ἀπὸ τοῦ ἀνδρείου ὁρμωμένοις τῇ ὄψει τοῦ προσπίπτοντος· ὑπὸ δὲ τοῦ μείζονος βοῆς τῶν πολεμίων, τά τε ἐν αὐτοῖς παραγγελλόμενα οὐκ εἰσήκουον, κινδύνων τε πανταχόθεν περιεστῶτων, καὶ οὐκ ἔχοντες ἐλπίδα καθ' ὅτι χρὴ ἀμυνόμενοι σωθῆναι. τέλος δὲ, τραυματιζομένων ἤδη πολλῶν, διὰ τὸ ἀεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι ξυγκλῄσαντες, ἐχώρησαν ἐς τὸ ἕκατον ἕρυμα τοῦ νήσου, ὃ οὐ πολὺ ἀπεῖχε καὶ τοὺς ἑαυτῶν φύλακας. ὡς δὲ ἐνέβησαν ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ πεφοβημένοι οἱ φίλοι ἐπέπεσον. καὶ ἦν λακεδαιμονίων, ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπεθνῄσκοντο. οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἕρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνόμενοι, ἢ περ ἦν τὸ μάχιμον. καὶ οἱ Ἀθηναῖοι ἐπιπεσόντες, περιῆλθον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον προσιόντες· ἦν δὲ ἐναντίας, ὥσασθαι ἐπεχείρουν. καὶ χρόνον μὴ πολύν, καὶ οἱ ἡμέρας τοπλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τοῦ μάχης, καὶ δίψης, καὶ ἡλίου, ἀντεῖχον πεφρουμένοι. οἱ μὲν, ἐξελάσαντες ἐκ τοῦ μετώπου. οἱ δὲ, μὴ ἐνδοῦναι. ξάβδον δ' οἱ λακεδαιμόνιοι ἐμάχοντο, ἣ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν τοῦ κυκλώσεως, ἐς τὰ πλάγια. ἐπειδὴ δὲ ἀπέξαντον ἦν, προσέλαβον ὁ τῶν μεσσηνίων στρατηγὸς κλέωνι, καὶ δημοσθένει, ἄλλως

ἄλλως ἔφη πονεῖν σφάς. εἰ δὲ βουλονται ἑαυτῷ δοῦναι τὴν τοξοτῶν μέρος τι, καὶ τὴν ψιλῶν περιϊέναι κατὰ νώτου αὐτοῖς ὁδῷ, ᾗ ἂν αὐτοὺς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. λαβὼν δὲ ἃ ἠτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας, ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρυμνώδους καὶ νήσου προσβαίνων, καὶ ᾗ οἱ λακεδαιμόνιοι χωρίου ἰσχύϊ πιστεύσαντες οὐκ ἐφύλασσον. χαλεπῶς τε καὶ μόλις περιελθὼν, ἔλαθε. καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν, τοὺς μὲν τοῦ ἀδοκήτῳ ἐξέπληξε. τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας, πολλῷ μᾶλλον ἐπέῤῥωσε. οἱ λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη, καὶ γιγνόμενοι ἐν τοῦ αὐτῷ ξυμπτώματι ὡς μικρὸν μεγάλῳ εἰκάσαι τοῦ ἐν θερμοπύλαις. ἐκεῖνοί τε γὰρ τῇ ἀγραπῷ, περιελθόντων τὴν περσῶν, διεφθάρησαν. οὗτοί τε ἀμφίβολοι ἤδη ὄντας, οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοὺς τε ὀλίγοι μαχόμενοι, καὶ ἀσθενείᾳ σωμάτων, διὰ τὴν σιτοδείαν ὑπεχώρουν. καὶ οἱ ἀθηναῖοι ἐκράτουν ἤδη τὴν ἐφόδων. γνοὺς δὲ ὁ κλέων. καὶ ὁ δημοσθένης, ὅτι εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι διαφθαρησομένους αὐτοὺς ὑπὸ καὶ σφετέρας στρατιᾶς, ἔπαυσαν μὲν μάχην, καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς ἀθηναίους ζῶντας, εἴ πως τοῦ κυρύγματος ἀκούσαντες, ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, καὶ ἡσθηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι, καὶ σφᾶς αὐτοὺς ἀθηναίοις, ὥστε βουλεῦσαι ὅ, τι ἂν ἐκείνοις δοκῇ. οἱ δὲ ἀκούσαντες, παρῆκαν τὰς ἀσπίδας

οἱ πλεῖστοι, καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προσίεσθαι
τὰ κεκηρυγμένα. μετὰ δὲ ταῦτα γενομένης καὶ ἀνακω-
χῆς, ξυνῆλθον ἐς λόγους, ὅ, τε κλέων, καὶ ὁ δημοσθένης,
καὶ ἐκείνων, στύφων ὁ φάρακος, τῶν πρότερον ἀρχόντων,
τοι μὲν πρώτου τεθνηκότος ἐπιτάδου, τοι δὲ μετ' αὐτὸν
ἱππαγρέτου ἐφῃρημένου, ἐν τοῖς νεκροῖς ἔτι ζῶντος, κειμένου
ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ
νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. ἔλεγε δὲ ὁ στύφων καὶ οἱ μετ'
αὐτοι, ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ
ἠπείρῳ λακεδαιμονίους, ὅ, τι χρὴ σφᾶς ποιεῖν. καὶ ἐκεί-
νων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν ἀθηναίων καλούν-
των ἐκ καὶ ἠπείρου κήρυκας, καὶ γενομένων ἐπ' ἐρωτήσεως
δὶς ἢ τρὶς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ
καὶ ἠπείρου λακεδαιμονίων ἀνὴρ, ἀπήγγειλεν ὅτι οἱ λακε-
δαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς, περὶ ὑμῶν αὐτῶν
βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. οἱ δὲ καθ' ἑαυτοὺς,
βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφας αὐτούς. Ὁ
ταύτην μὲν τὴν ἡμέραν Ὁ τὰ ἐπιοῦσαν νύκτα, ἐν φυλακῇ
εἶχον αὐτοὺς οἱ ἀθηναῖοι. τῇ δ' ὑστεραίᾳ, οἱ μὲν ἀθηναῖοι
τροπαῖον στήσαντες ἐν τῇ νήσῳ, τὰ ἄλλα διεσκευάζοντο,
ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδο-
σαν ἐς φυλακήν. οἱ δὲ λακεδαιμόνιοι κήρυκα πέμψαντες,
τοὺς νεκροὺς διεκομίσαντο. ἀπέθανον δ' ἐν τῇ νήσῳ, καὶ
ζῶντες ἐλήφθησαν τοσοίδε. εἴκοσι μὲν ὁπλῖται διέβησαν,
καὶ τετρακόσιοι οἱ πάντες. τούτων ζῶντες ἐκομίσθησαν
ὀκτὼ ἀπεδέοντες τριακόσιοι. οἱ δὲ ἄλλοι ἀπέθανον. καὶ

παρῆτε

παρτιάται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι, καὶ ἑκατόν. ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν, ἡ γὰρ μάχη οὐ σταδία ἦν. χρόνος δὲ ὁ ξύμπας ἐγένετο, ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν ἀπὸ καὶ ναυμαχίας μέχρι καὶ ἐν τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι, καὶ δύο τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῄεσαν ἐσιτοδοῦντο. τὰς δὲ ἄλλας, τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ. καὶ ἄλλα βρώματα ἐγκατελείφθη. ὁ γὰρ ἄρχων ἐπιτάδας ἐνδεεστέρω ἑκάστῳ παρεῖχεν, ἢ πρὸς τὴν ἐξουσίαν. οἱ μὲν δὴ ἀθηναῖοι, καὶ οἱ πελοποννήσιοι, ἀνεχώρησαν τοῦ στρατῷ ἐκ καὶ πύλου ἑκάτεροι ἐπ' οἴκου. καὶ τοι κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη. ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη. παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς ἕλλησιν ἐγένετο. τοὺς γὰρ λακεδαιμονίους, οὔτε λιμῷ, οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας, καὶ μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν, ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. καίτινος ἐρομένου ποτὲ ὕστερον τῶν ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ καὶ νήσου αἰχμαλώτων, εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοὶ, ἀπεκρίνατο αὐτῷ, πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον λέγων τὸν οἰστόν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε. δήλωσιν ποιούμενος, ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις, καὶ τοξεύμασι διεφθείρετο. κομισθέντων δὲ τῶν ἀνδρῶν, οἱ ἀθηναῖοι

ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν, μέχρις οὗ τὶ ξυμβῶσιν. ἦν δ' οἱ πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλωσιν, ἐξαγαγόντες, ἀποκτεῖναι. τῆς δὲ πύλου φυλακὴν κατεστήσαντο. καὶ οἱ ἐκ καὶ ναυπάκτου μεσσήνιοι, ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ πύλος καὶ μεσσηνίδος ποτὲ οὔσης γῆς) πέμψαντές σφων αὐτῶν τοὺς ἐπιτηδειοτάτους, ἐλήϊζόν τε τὴν λακωνικὴν, καὶ πλεῖστα ἔβλαπτον ὁμόφωνοι ὄντες. οἱ δὲ λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας, καὶ τοι τοιούτου πολέμου, τῶν τε εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τὶ νεωτεριοθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον. ἀλλὰ καί περ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς, καὶ ἐπειρῶντο τήν τε πύλον, καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὀρέγοντο. καὶ πολλάκις φοιτώντων, αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ πύλον γενόμενα. τοι δ' αὐτοι θέρους μεταταῦτα, εὐθὺς ἀθηναῖοι ἐς τὴν κόρινθον ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα, καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν. καὶ ἐν ἱπταγωγοῖς ναυσὶ, διακοσίοις ἱππεῦσιν. ἠκολούθουν δὲ καὶ ξυμμάχων, μιλήσιοι, καὶ ἄνδριοι, καὶ καρύστιοι. ἐστρατήγει δὲ νικίας, ὁ νικηράτου τρίτος αὐτὸς. πλέοντες δὲ ἅμα ἕω ἔσχον μεταξὺ χορσονήσου τε καὶ ῥειτοι, ἐς τὸν αἰγιαλὸν τοι χωρίου, ὑπὲρ οὗ ὁ σολύγιος λόφος ἐστὶν, ἐφ' ὃν δωριῆς τοπάλαι ἱδρυθέντες, τοῖς ἐν τῇ πόλει κορινθίοις ἐπολέμουν, οὖσιν αἰολεῦσι. καὶ κώμη νῦν ἐπ' αὐτοι σολύγεια καλουμένη ἐστίν. ἀπὸ δὲ

τῆς αἰγιαλοῦ

τοι αἰγιαλοῦ τούτου ἔνθα αἱ νῆες κατέσχον, ἡ μὲν κώμη αὕτη, δώδεκα σταδίους ἀπέχει. ἡ δὲ κορινθίων πόλις ἑξήκοντα. ὁ δὲ ἰσθμὸς εἴκοσι. προπυθόμενοι δὲ κορίνθιοι ἐξ ἄργους ὅτι ἡ στρατιὰ ἕξει τῶν ἀθηναίων, ἐκ πλείονος ἐβοήθησαν ἐς ἰσθμὸν πάντες, πλὴν τῶν ἔξω ἰσθμοῦ. καὶ ἐν ἀμπρακίᾳ, καὶ ἐν λευκαδίᾳ ἀπῄεσαν αὐτῶν πεντακόσιοι φρουροί. οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς ἀθηναίους, οἱ κατασχήσουσιν. ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες. καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν κεγχρειᾷ, ἢν ἄρα οἱ ἀθηναῖοι ἐπὶ τὸν κρομμύωνα ἴωσιν, ἐβοήθουν κατατάχος. καὶ βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν (δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες) λαβὼν λόχον, ἦλθεν ἐπὶ τὸ σολύγειαν κώμην, φυλάξων ἀτείχιστον οὖσαν. λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε, καὶ πρῶτα μὲν τοῦ δεξιῷ κέρᾳ τῶν ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸς τῇ χερρονήσου, οἱ κορίνθιοι ἐπέκειντο. ἔπειτα δὲ καὶ τοῦ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη καρτερὰ, καὶ ἐν χερσὶ πᾶσα. καὶ τὸ μὲν δεξιὸν κέρας τῶν ἀθηναίων, καὶ καρυστίων (οὗτοι γὰρ πρὸ τεταγμένοι ἦσαν ἔσχατοι) ἐδέξαντό τε τοὺς κορινθίους, καὶ ἐώσαντο μόλις. οἱ δὲ ὑποχωρήσαντες πρὸς αἱμασιὰν (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν) βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες, καὶ παιωνίσαντες, ἐπέβησαν αὖθις. δεξαμένων δὲ τῶν ἀθηναίων, ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. λόχος δέ τις τῶν κορινθίων ἐπιβοηθήσας τοῦ ἐνυωνύμῳ κέρᾳ ἑαυτῶν, ἔτρεψε τῶν ἀθηναίων τὸ δεξιὸν κέρας, καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν,

θάλασσαν. πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέσχεψαν οἱ τε ἀθη-
ναῖοι, καὶ οἱ καρύστιοι. τὸ δὲ ἄλλο στρατόπεδον, ἀμφοτέ-
ρωθεν ἐμάχετο σφοδρῶς, μάλιστα δὲ πρὸς δεξιὸν κέρας τῶν
κορινθίων, ἐφ' ᾧ ὁ λυκόφρων ὢν καὶ τὸ εὐώνυμον τῶν ἀθη-
ναίων ἠμύνετο. ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν σωτηρίαν τῶν
κώπων πειράσειν. χρόνον μὲν οὖν πολὺν ἀντεῖχον, οὐκ
ὀλιγοδρόνως ἀλλήλοις. ἔπειτα, ἅτε καὶ τῶν ἀθηναίων
οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόν-
των ἵππους, ἐπεκράτουν οἱ κορίνθιοι, καὶ ὑπεχώρησαν πρὸς
τὸν λόφον, ὃν ἔθεντο τὰ ὅπλα, ὃν οὐκέτι κατέβαινον, ἀλλ'
ἠσύχαζον. ἐν δὲ τῇ προπῇ ταύτῃ, καὶ τὸ δεξιὸν κέρας οἱ
πλεῖστοί τε ἀπέθανον αὐτῶν, καὶ λυκόφρων ὁ στρατηγός. τὰ
δὲ ἄλλα στρατιὰ τούτῳ τῷ τρόπῳ, οὐ καὶ δίωξιν πολλὴν,
οὐδὲ ταχείας φυγῆς γενομένης ἐπεὶ ἐβιάσθη ἐπαναχω-
ρήσασα, πρὸς τὰ μετέωρα ἱδρύθη. οἱ δὲ ἀθηναῖοι ὡς οὐκέ-
τι αὐτοῖς ἐπῆσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον,
καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν.
τοῖς δ' ἡμίσεσι τῶν κορινθίων, οἳ ἐν τῇ κεγχρείᾳ ἐκάθηντο
φύλακες, μὴ ἐπὶ τὸν κρομμύωνα πλεύσωσι, τούτοις οὐ
κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ ὀνείου. κονιορτὸν
δὲ ὡς εἶδον, καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. ἐβοήθησαν
δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν κορινθίων, ἀκμά-
ζοντες τὸ γενναιότατον. ἰδόντες δὲ οἱ ἀθηναῖοι ξύμπαν-
τας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀσυγ-
κρότον πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κα-
τὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα, καὶ τοὺς
ἑαυτῶν

ἑαυτῶν νεκροὺς, πλὴν δυοῖν, οὓς ἐγκατέλιπον, μὴ δυνά-
μενοι εὑρεῖν. καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς, ἐπεραιώθησαν
ἐς τὰς ἐπικειμένας νήσους. ἐκ δ' αὐτῶν ἐπικηρυκευσά-
μενοι τοὺς νεκροὺς, οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνεί-
λοντο. ἀπέθανον δὲ κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα,
καὶ διακόσιοι. ἀθηναίων δὲ, ὀλίγω ἐλάσσους πεντήκον-
τα. ἄραντες δὲ ἐκ τῶν νήσων οἱ ἀθηναῖοι, ἔπλευσαν ἀνθη-
μερὸν ἐς κρομμύωνα καὶ κορινθίας. ἀπέχει δὲ τῆς πόλεως
εἴκοσι καὶ ἑκατὸν σταδίους. καὶ καθορμισάμενοι, τήν τε
γῆν ἐδῄωσαν, καὶ τὴν νύκτα ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ
παραπλεύσαντες ἐς τὴν ἐπιδαυρίαν πρῶτον, καὶ ἀπόβα-
σιν ἵνα ποιησάμενοι, ἀφίκοντο ἐς μεθώνην. τὴν μεταξὺ
ἐπιδαύρου τροίζηνος. καὶ ἀπολαβόντες τὸν καὶ χερ-
ρονήσου ἰσθμόν, ἐτείχισαν. ἐν ᾧ ἡ μεθώνη ἐστί. καὶ φρού-
ριον κατασησάμενοι, ἐλῄστευον τὸν ἔπειτα χρόνον, τήν τε
τροιζηνίαν γῆν, καὶ ἁλιάδα, καὶ ἐπιδαυρίαν. ταῖς δὲ ναυ-
σὶν, ἐπειδὴ ἐξετείχισαν καὶ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.
κατὰ δὲ τὸν αὐτὸν χρόνον, καθ' ὃν ταῦτα ἐγίγνετο, καὶ εὐρυ-
μέδων, καὶ σοφοκλῆς, ἐπειδὴ ἐκ καὶ πύλου ἀπῆραν ἐς τὴν
σίκελιαν ναυσὶν ἀθηναίων, ἀφικόμενοι ἐς κέρκυραν, ἐστρά-
τευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει καὶ
ἰστώνης κερκυραίων καθιδρυμένους. οἱ τότε μετὰ τὴν στά-
σιν διαβάντες, ἐκράτουν τε καὶ γῆς, καὶ πολλὰ ἔβλαπτον.
προσβαλόντες δὲ τὸ μὲν τείχισμα εἷλον. οἱ δὲ ἄνδρες
καταπεφευγότες, ἀθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν,
ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι. περὶ δὲ σφῶν τὰ

ὅπλα παραδόντων, τὸν ἀθηναίων δῆμον διαγνῶναι. καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τῆς πτυχίαν, ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρις οὗ ἀθήναζε πεμφθῶσιν, ὥστε ἄν τις ἁλῶ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. οἱ δὲ τοῦ δήμου προστάται τῶν κορκυραίων, δεδιότες μὴ οἱ ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδέ τι, τῶν ἐν τῇ νήσῳ πείθουσί τινας, ὀλίγους ὑποπέμψαντες φίλους, καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδιδράναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν. μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν κορκυραίων. ὡς δὲ ἔπεισαν, καὶ μηχανησαμένων τὸ πλοῖον ἐκπλέοντες, ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαί, καὶ τοῖς κορκυραίοις παρεδίδοντο οἱ πάντες. ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχήκιστα, ὥστε ἀκριβῆ τῆς πρόφασιν γενέσθαι, καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν ἀθηναίων κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς σικελίαν ἔπλεον τῆς τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. παραλαβόντες δὲ αὐτοὺς οἱ κορκυραῖοι, ἐς οἴκημα μέγα καθεῖρξαν. καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους, καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴπου τίς τινὰ ἴδοι ἐχθρὸν ἑαυτοῦ. μαστιγοφόροι τε παριόντες, ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας. καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ

ἐν τῷ οἰκήματι, τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες, καὶ διαφθείραντες. ᾤοντο γὰρ αὐτοὺς μεταστήσαντάς τοι, ἄλλοσε ἄγειν. ὡς δὲ ᾔσθοντο, καί τις αὐτοῖς ἐδήλωσε. τούς τε ἀθηναίους ἐπεκαλοῦντο, καὶ ἐκέλευον σφᾶς εἰ βούλονται αὐτοὺς διαφθείρειν, ἔκ τε τοι οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ' ἐσιέναι, ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα. οἱ δὲ κορκυραῖοι κατὰ μὲν τὰς θύρας, οὐδ' αὐτοὶ διενοοῦντο βιάζεσθαι. ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοι οἰκήματος, καὶ διελόντες τὴν ὀροφὴν, ἔβαλλον τῷ κεράμῳ, καὶ ἐτόξευον κάτω. οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο. ⊂ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον. ὀϊστούς τε, οὓς ἀφίεσαν ἐκεῖνοι ἐς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινων, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων πραιρήματα ποιοῦντες, ἀπαγχόμενοι παντὶ τρόπῳ, τὸ πολὺ καὶ νυκτὸς. ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι, ἀναδοῦντες σφᾶς αὐτοὺς, καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω διεφθάρησαν. καὶ αὐτοὺς οἱ κορκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες, ἀπήγαγον ἔξω καὶ πόλεως. τὰς δὲ γυναῖκας, ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν, ἠνδραποδίσαντο. τοιούτῳ, μὲν τρόπῳ οἱ ἐκ τοι ὄρους κορκυραῖοι ὑπὸ τοι δήμου διεφθάρησαν. ⊂ ἡ στάσις πολλὴ γενομένη, ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε. οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ, τι καὶ ἀξιόλογον. οἱ δὲ ἀθηναῖοι ἐς τὴν σικελίαν, ἵνα πρὸ τοπρῶτον ὥρμηντο ἀποπλεύσαντες, μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν. καὶ οἱ ἐν τῇ ναυπάκτῳ ἀθηναῖοι, ⊂

ἀκαρνᾶνες ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι,
ἀνακτόριον κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι ἀμ-
πρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ. καὶ ἐκπέμψαντες κο-
ρινθίοις αὐτοὶ οἱ ἀκαρνᾶνες οἰκήτορας ἀπὸ πάντων, ἔσχον
τὸ χωρίον, καὶ τὸ θέρος ἐτελεύτα. τοῦ δὲ ἐπιγιγνομένου
χειμῶνος, ἀριστείδης ὁ ἀρχίππου εἷς τῶν ἀργυρολόγων
νεῶν ἀθηναίων στρατηγὸς, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς
ξυμμάχους, ἀρταφέρνην ἄνδρα πέρσην παρὰ βασιλέως
πορευόμενον ἐς λακεδαίμονα, ξυλλαμβάνει ἐν ἠϊόνι τῇ ἐπὶ
στρυμόνι. καὶ αὐτοῦ κομισθέντος, οἱ ἀθηναῖοι τὰς μὲν
ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν ἀσσυρίων γραμμά-
των ἀνέγνωσαν. ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων,
κεφάλαιον ἦν πρὸς λακεδαιμονίους, οὐ γιγνώσκειν ὅτι βού-
λονται. πολλῶν γὰρ ἐλθόντων πρέσβεων, οὐδένα ταυτὰ
λέγειν. εἰ οὖν τι βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ
τοῦ πέρσου ἄνδρας ὡς αὐτόν, τὸν δὲ ἀρταφέρνην ὕστερον
ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς ἔφεσον, καὶ πρέσβεις
ἅμα. οἳ πυθόμενοι αὐτόθι βασιλέα ἀρταξέρξην τοῦ ξέρξου
νεωστὶ τεθνηκότα (κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν)
ἐπ' οἴκου ἀνεχώρησαν. τοῦ δ' αὐτοῦ χειμῶνος καὶ χίοι τὸ
τεῖχος περιεῖλον τὸ καινὸν, κελευσάντων ἀθηναίων, καὶ
ὑποπτευσάντων ἑαυτοὺς τι νεωτεριεῖν. ποιησάμενοι μὲν
τοι πρὸς ἀθηναίους πίστεις, καὶ βεβαιότητα, ἐκ τῶν δυνα-
τῶν μηδὲν περὶ σφας νεώτερον βουλεύσειν, καὶ ὁ χειμὼν
ἐτελεύτα, καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε,
ὃν θουκυδίδης ξυνέγραψε. τοῦ δ' ἐπιγιγνομένου θέρους,
ἐυθὺς

ξυθὺς τοῖ τε ἡλίῳ ἐκλιπέος ἀ ἐχώρεον πρὶ νεμιλίαν. ὁ τοῖ
αὐτοῖ μηνὸς ἰσαμβίῳ, ἔσεσε. καὶ οἱ μιτυληναίων φυγά-
δες, καὶ τῶν ἄλλων λεσβίων ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆ
ἠπείρῳ, ὁ μισθωσάμενοι ἔκ τε πελοποννήσῳ ἐπικουρικὸν,
5. καὶ αὐτόθεν ξυναγείραντες, ἀίρεσι ῥοίτιον. καὶ λαβόντες
διχιλίους σακίας φωκαίτας, ἀπέδοσαν πάλιν μηδὲν ἀ-
δικήσαντες. καὶ μετατὸ τὲπὶ ἄνταν δρον στρατεύσαντες,
προδοσίας γενομένης, λαμβάνουσι τὴν πόλιν. καὶ ἦν
αὐτῶν ἡ διάνοια, τὰς τε ἄλλας πόλεις τὰς ἀκταίας κα-
10. λεμβίας, ἃς πρότερον μιτυληναίων νεμομένων, ἀθηναῖοι
εἶχον, ἐλευθερῶν, καὶ πάντων μάλιστα τὴν ἄνταν δρον·
καὶ κρατοῦσιν ἀμφοτέρων αὐτὴν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι
αὐτόθεν) ξύλων ὑπαρχόντων, καὶ σφῖσιν ἐπικειμένης,
καὶ τῇ ἄλλῃ παρασκευῇ ῥᾳδίως ἂν αὐτῆς ἐρμώμενοι, τὴν 4. ἦν αὐτῶν ἡ διάνοια.
15. τε λέσβον ἐγνωσαν οὖσαν κακῶς ἔχειν, καὶ τὰ ἐν τῇ ἠπείρῳ ἀι-
ολικὰ πολίσματα χειρώσασθαι. καὶ ὁι μὲν ταῦτα πα-
ρασκευάζεσθαι ἔμελλον. ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξή-
κοντα ἔπεμψαν, ὁ διχιλίοις ὁπλίταις, ἱππεῦσί τε ὀλίγοις καὶ
ξυμμάχων μιλησίοις, καὶ ἄλλοις ἅπασιν ἀγαγόντες, ἐσβά-
20. βυσαν ἐπὶ κύθηρα. ἐστρατήγει δὲ αὐτῶν νικίας ὁ νικηρά-
του, ὁ νικόστρατος ὁ διοπειθοῦς καὶ αὐτοκλῆς ὁ τολμαίου.
τὰ δὲ κύθηρα, νῆσός ἐστιν. οἰκεῖται δὲ τῇ λακωνικῇ κατὰ
μαλέαν. λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ κυθή-
ροδίκης ἀρχὴ ἐκ τοῦ ἀεί τις διέβαινεν αὐτόσε κατ' ἔτος,
25. ὁπλιτῶν τε φρουρὰν διέπεμπον ἀεὶ, καὶ πολλὴν ἐπιμέ-
λειαν ἐποιοῦντο, ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' ἀιγύπτου, καὶ

λιβύης, ὁλκάδων προσβολή. Ⓒ λῃσαί ἅμα τῶν λακωνικῶν
ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ᾗ πρὸς μόνον οἷόν τ' ἦν κακουρ-
γεῖσθαι. πᾶσα γὰρ ἀνέχει πρὸς τὸ σικελικόν, καὶ κρητι-
κὸν πέλαγος. κατασχόντες οὖν οἱ ἀθηναῖοι τοῦ στρατῷ
δέκα μὲν ναυσί, καὶ δισχιλίοις μιλησίων ὁπλίταις, τὴν
ἐπὶ θαλάσσῃ πόλιν σκάνδειαν καλουμένην, αἱροῦσι. τοῦ δὲ
ἄλλῳ στρατεύματι ἀπεβάντες, καὶ νήσου, ἐς τὰ πρὸς μαλέαν
τετραμμένα ἐχώρουν, ἐπὶ τὴν θαλάσσῃ πόλιν τῶν κυθη-
ρίων, καὶ εὗρον εὐθὺς αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας.
καὶ μάχης γενομένης, ὀλίγον μὲν τινα χρόνον ὑπέστησαν
οἱ κηθύριοι. ἔπειτα τραπόμενοι, κατέφυγον ἐς τὴν
ἄνω πόλιν. καὶ ὕστερον ξυνέβησαν πρὸς νικίαν, καὶ
τοὺς ξυνάρχοντας, ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐ-
τῶν πλὴν θανάτου. ἦσαν δέ τινες καὶ γενόμενοι τοῦ νι-
κίᾳ λόγοι πρότερον πρός τινας τῶν κυθηρίων. διὸ Ⓒ θᾶσ-
σον καὶ ἐπιτηδειότερον τότε παραυτίκα, καὶ τὸ ἔπειτα τὰ
καὶ ὁμολογίας ἐπράχθη αὐτοῖς. ἀνέστησαν γὰρ οἱ ἀθηναῖοι,
κυθηρίους λακεδαιμονίους τε ὄντας, καὶ ἐπὶ τῇ λακωνικῇ
καὶ νήσου οὕτως ἐπικειμένης. μετὰ δὲ τὴν ξύμβασιν οἱ
ἀθηναῖοι, τήν τε σκάνδειαν τὸ ἐπὶ τοῦ λιμένι πόλισμα
παραλαβόντες, καὶ τῶν κυθύρων φυλακὴν ποιησάμενοι,
ἔπλευσαν ἔς τε ἀσίνην, καὶ ἕλος, καὶ τὰ πλεῖστα τῶν περὶ
θάλασσαν. Ⓒ ἀποβάσεις ποιούμενοι, καὶ ἐναυλιζόμενοι
τῶν χωρίων, οὗ καιρὸς εἴη, ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα
ἑπτά. οἱ δὲ λακεδαιμόνιοι ἰδόντες μὲν τοὺς ἀθηναίους τὰ
κήθυρα ἔχοντας. προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν
ἀπεβάσεις

ἀποβάσεις ποιήσεσθαι τοιαύτας, ἀθρόα μὲν οὐδαμῶς τῇ
δυνάμει ἀνυτάξαντα. κατὰ δὲ τὴν χώραν φρουρὰς διέ-
πεμψαν ὁπλιτῶν πλήθους, ὡς ἑκάστοις ἔδει. καὶ τὰ
ἄλλα ἦν φυλακῇ πολλῇ ἧσαν, φοβούμενοι μὴ σφίσι νεώ- ad statū pbli. p̄tinebāt
5. τερόν τι ἡγήσηται τῆς πρὸς τὴν κατάστασιν. γεγυμνασμένοι
μὲν τοι ἦν τῇ νήσῳ πάθους ἄνελπίστου, καὶ μεγάλου πύλου
δὲ ἐχομένης, καὶ κυθήρων. καὶ παντάχοθεν σφᾶς πρὸ- ꝫ manifesti ut prohibiti ꝫ
εσῶτος πολέμου ταχέως, καὶ ἀπροφυλάκτους, ὥστε παρὰ profuit
τὸ εἰωθὸς ἱππέας πεντακοσίους κατεσκεύασαντο, καὶ τοξότας,
10. ἔς τε τὰ πολεμικὰ εἴπές ποτε, μάλιστα δὴ ὁπόσοι formam pugnandi
ἐγγύονται, ξύμμαχοι ὄντες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν
ξυνεπασκοῦντο, ναυσὶ μὲν ἀγῶνι καὶ τούτῳ πρὸς ἀθλιωτάτους,
οἷς τὸ μὴ ἐπιχειρεῖν αἰεὶ ἐλλιπὲς ἦν ξυνήθεσιν τοῦ
πράξαι. καὶ ἅμα τὰ ξυντυχίας πολλὰ, καὶ ἐν ὀλίγῳ
15. ξυμβάντα παρὰ λόγον αὐτοῖς, ἐκπλῆξιν μεγίστην παρεῖχε.
καὶ ἐδεδίεσαν μή ποτε αὖθις ξυμφορά τις αὐτοῖς πρὸς τύ-
χῃ, οἷα καὶ ἐν τῇ νήσῳ. ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς fort ne formidantē
μάχας ἦσαν. καὶ ἅμα ὅτι κινήσειαν, ᾤοντο ἁμαρτήσεσθαι
διὰ τὴν γνώμην ἀνεχεγγύου γεγενῆσθαι ἐκ τοῦ πρὶν
20. ἀπειρίας τοῦ κακοπραγεῖν. τοῖς δ' Ἀθηναίοις τότε τὴν θα-
λάσσιον δυνάμει, τὰ μὲν πολλὰ εὐτύχησαν ὡς καὶ ἐκά-
στην φρουρὰν γίγνοιτο τις ἀπόβασις, πλήθει τε ἐλάσσους multitudine pares
ἕκαστοι ἠγώνιζοντο εἶναι καὶ ἐν τοῦ τοιούτου μία δὲ φρουρὰ,
ἣν τε καὶ ἐπεβάτευσε Δημοσθένης, καὶ ἐπεδείκνυτο πρὸς κοιλότητα, καὶ ἀφροδισίαν, τὸν μὲν
25. ὄχλον τῶν ψιλῶν ἐσκεδασμένων ἐφόβησεν ἐπιδρομῇ
τῶν δὲ ὁπλιτῶν ξυλλεγομένων ὑπεχώρησε πάλιν. Ἄνδρες
τέτταρες

τέ τινες ἀπέδαμον αὐτῶν ὀλίγοι, καὶ ὅπλα ἐλήφθη. προ-
παῖόν τε σήσαντες οἱ ἀθηναῖοι ἀπέπλευσαν ἐς Νύθηρα. ἐκ
δὲ ἀυτῶν, πρὶν ἐπλεῦσαν ἐς Νύσαυρον τὴν λιμηράν. καὶ
δηώσαντες μέρος τι τῆς γῆς, ἀφικνοῦνται ἐπὶ θυρέαν, ἣ 5.
ὅστι μεσόγαια κωμῳδίας γῆς καλουμένης, μεθορία δὲ ἀρ-
γείας, καὶ λακωνικῆς. νεμόμενοι δὲ αὐτὴν ἔδοσαν λα-
κεδαιμόνιοι αἰγινήταις ἐκπεσοῦσιν οἰκῆσαι, διά τε τὰς
ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας, καὶ ἅμα εἰλότων τὴν ἐπα-
νάστασιν εὐεργεσίας. καὶ ὅτι ἀθηναίων ὑπακόοντες. ὅμως 10.
πρὸς τὸ ἐκείνων γνώμιον αἰεὶ ἔσασαν. προσπολεόντων οὖν
ἔτι τῶν ἀθηναίων, οἱ αἰγινῆται δὲ μὲν ἐπὶ τῇ θαλάσσῃ, ὃ
ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπουσιν. ἐς δὲ τὸ ἄνω
πόλιν, ἣν ἦκον, ἀπεχώρησαν, ἀπέχουσαν σταδίους μάλιστα
δέκα τῆς θαλάσσης. καὶ αὐτοῖς τῶν λακεδαιμονίων φρουρὰ 15.
μία τῶν πρὶ τὸν χώρον, ἣν τε καὶ συνεπείχιζε ξυνεστε-
θεῖμ μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν, δεομένων τῶν αἰγι-
νητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κα-
τακλεισθαι. ἀναχωρήσαντες καὶ χωρήσαντες δὲ ἐπὶ τὰ
μετέωρα, ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι ἡσύχαζον. 20.
οἱ δὲ τότε δὲ οἱ ἀθηναῖοι καταβάντες εὐθὺς πάσῃ τῇ στρατιᾷ,
αἱροῦσι τὸν θυρέαν. καὶ τὴν τε πόλιν κατέκαυσαν, καὶ τὰ
ἐνόντα διήρπασαν. τοὺς τε αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ
διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς ἀθήνας. καὶ τὸν ἄρ-
χοντα, ὃς παρ' αὐτοῖς ἦν τῶν λακεδαιμονίων, τάνταλον 25
τὸν παρακλέους. ἐζωγρήθη γὰρ πεζομαχῶν. ἦγον δὲ ζωνας
καὶ ἐκ τῆς κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας

ἕνεκα

ἕνεκα μεταστῆσαι, καὶ τούτους μὲν οἱ ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους. καὶ τοὺς ἄλλους κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν, φόρον τέσσαρα τάλαντα φέρειν. αἰγινήτας δὲ ἀπεκτεῖναι πάντας, ὅσοι ἑάλωσαν, διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν. τάνταλον δὲ περὶ τοὺς ἄλλους, τοὺς ἐν τῇ νήσῳ λακεδαιμονίους καταδῆσαι. τοὺς δ' αὐτοὺς θέρους ἐν σικελίᾳ καμαριναίοις, καὶ γελῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους. εἶτα καὶ οἱ ἄλλοι σικελιῶται ξυνελθόντες ἐς γέλαν, ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων, καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον. καὶ ἑρμοκράτης ὁ ἕρμωνος συρακούσιος, ὅς πρὸς καὶ ἔπεισε μάλιστα αὐτοὺς ἐς τὸ κοινὸν, τοιούτους δὴ λόγους εἶπεν.

ΔΗΜΗΓΟΡΙΑ ΕΡΜΟΚΡΑΤΟΥΣ.

Οὔτε πόλεως ὢν ἐλαχίστης, ὦ σικελιῶται, τοὺς λόγους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος τῇ σικελίᾳ πάσῃ. καὶ περὶ μὲν τοῦ πολεμεῖν ὡς χαλεπὸν, τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων, ἐν εἰδόσι μακρηγοροίη. οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾷν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν. οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑπίστασθαι πρὸ

τῶν αὐτίκα τι ἐλασσοῦσθαι. αὐτὰ δὲ ταῦτα εἰ μὴ ξὺν καλῷ τύχοιεν ἑκάτεροι πρᾶσσοντες, ἀλλὰ προαινέσας πᾶν ξυναλλαγῶμεν, ὠφέλιμοι. ὁ γὰρ ἡμῖν ξὺν ᾧ παρόντι πειθομένοις, πλείστη ἂν ἄξιον γένοιτο. τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλεύσασθαι ἐν τῷ κοινῷ δὴ θέσθαι, τό τε πρῶτον ἐπολεμήσαμεν, καὶ νῦν ἐς πρόσφορα ἀλλήλοις δι' ἀναλογιῶν πειρώμεθα καταλλαγῆναι. καὶ ἦν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν. καί τοι γνῶναι χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ καὶ ἐπιβουλεύομεν τὴν πᾶσαν σικελίαν, ὡς ἐγὼ κρίνω ὑμᾶς ἀθλιωτάτους, δυνησόμεθα ἔτι διασῶσαι, καὶ διαλλαγέντες πολὺν τοῦτον ἐμοῦ λόγου ἀναγκαιοτέρους περὶ τῶνδε ἀλλήλοις νομίσαι. οἱ δυνάμιν ἔχοντες μεγίστην τῶν ἑλλήνων, τάς τε ἁμαρτίας ἡμῶν τοῖσδε, ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι ξυνόμῳ ξυμμαχίας, τὸ φύσει πολέμιον ἐνδεπτῶς ἐς τὸ ξυμφέρον καθίσαντα. πόλεμον γὰρ ἀεὶ ποιούμενοι ἡμῶν, καὶ ἐπαγόμενοι αὖ τοὺς ἄνδρας, οἵ τε τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρατεύουσι. κακῶς τε ἡμᾶς αὐτοὺς ποιόντων τέλεσι τοῖς οἰκείοις, καὶ φθάσαντες ἄμα προκοπτόντων ἐκείνοις, εἰκός, ὅταν γνῶσιν ἡμᾶς πλεονεχωμένους, καὶ πλέονί ποτε σόλῳ ἐλθόντας αὐτοὺς, τάδε πάντα περάσεσθαι ὑπὸ σφᾶς ποιεῖσθαι. καί τοι τῆς ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπιπωλοῦντας μᾶλλον, ἢ τὰ ἕτοιμα βλάπτοντας, ξυμμάχους τε ἐπάγεσθαι, καὶ τοὺς κινδύνους προσλαμβάνειν. νομίσαι τε σάσιν μάλιστα φθείρειν τὰς πόλεις, ἢ τὴν σικελίαν,

ἧς γῆ

ἧς γε οἱ ἔνοικοι ξύμπαντες μὲν ἐπιβουλευόμεθα, καὶ πόλεις δὲ διέσταμεν. ἃ χρὴ γνόντας, καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι, καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν σικελίαν. πρέσταναι δὲ μηδενὶ, ὡς οἱ μὲν δωριεῖς ἡμῶν πολέμιοι τοῖς ἀθηναίοις. τὸ δὲ χαλκιδικὸν τῇ ἰάδι ξυγγενείᾳ, ἀσφαλές. οὐ γὰρ τοῖς ἔθνεσιν ὅτι δίχα πέφυκε τοῦ ἑτέρου, ἔχθει πλάσιν, ἀλλὰ τῶν ἐν τῇ σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ χαλκιδικοῦ γένους παρακλήσει. τοῖς γὰρ οὐδέποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν, αὐτοὶ τὸ δίκαιον μᾶλλον καὶ ξυνθήκης προθύμως πρέσχοντο, καὶ τοὺς μὲν ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι πολλὴ ξυγγνώμη. καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι, ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. πέφυκε γὰρ τὸν ἀνθρώπειον διαπαντὸς, ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι ἁμαρτάνομεν. τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν. οὐ γὰρ ἀπὸ καὶ αὐτῶν ὁρμῶνται ἀθηναῖοι, ἀλλ' ἐκ καὶ τῶν ἐπικαλεσαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνῃ δὲ διάφορα ἀπραγμόνως πάνοντι. οἱ τ' πλάκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες, εὐλόγως ἄπρακτοι ἀπίασι. καὶ τὸ μὲν πρὸς τοὺς ἀθηναίους, τοσοῦτον ἀγαθὸν εὖ βουλευομένοις εὑρίσκεται. τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην. πῶς οὐ χρὴ καὶ ἡμῖν αὐτοῖς

ποιήσασθαι, ἢ δοκεῖτε, εἰ τῷ τί ἐστιν ἀγαθὸν, ἢ εἰ τῷ τὰ ἐναν-
τία, οὐχ ἡσυχία μᾶλλον, ἢ πόλεμος, τὸ μὲν παῦσαι ἂν
ἑκατέρῳ, τὸ δὲ ξυνδιασῶσαι, καὶ τὰς τιμὰς, καὶ λαμπρό-
τητας ἀκινδυνωτέρας ἔχειν τὴν εἰρήνην. ἄλλά τε ὅσα ἐν
μήκει λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν, ἃ
χρὴ σκεψαμένους, μὴ τοὺς ἐμοὺς λόγους ὑποριδεῖν, τὴν δὲ
αὐτοῦ τινα σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. Ὃ εἴ τις
βεβαίως τι, ἢ τῷ δικαίῳ, ἢ βίᾳ πράξειν οἴεται τῷ παρ'
ἐλπίδα, μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείους ἤδη
καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας. Ὃ ἐλπίσαντες
ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσων οὐκ
ἠμύναντο, ἀλλ' οὐδ' ἐσώθησαν. τοῖς δ' ἀντὶ τοῦ πλέον
ἔχειν, προσκαταλιπεῖν τὰ αὐτῶν ξυνέβη. τιμωρία γὰρ
οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδικεῖται. οὐδὲ ἰσχὺς βέ-
βαιον, διότι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος,
ὡς ἐπιπλεῖστον κρατεῖ. πάντων τε σφαλερώτατον ὄν, ὅμως
καὶ χρησιμώτατον φαίνεται. ἐξίσου γὰρ δεδιότες, προ-
μηθείᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρχόμεθα. καὶ νῦν τοῦ ἀφα-
νοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος, καὶ διὰ τὸ ἤδη
φοβεροὺς πρόντας ἀθηναίους κατ' ἀμφότερα ἐκπλαγεύ-
τες, καὶ τὸ ἐλλιπὲς καὶ γνώμης, ὧν ἕκαστός τι ᾠήθημεν πρά-
ξειν, ταῖς κωλύμαις ταύταις, ἱκανῶς νομίσαντες εἰρχθῆ-
ναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ καὶ χώρας ἀπεμπω-
μεν, καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν. εἰ δὲ
μὴ χρόνον πλεῖστον σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐσαῦ-
θις ἀναβαλώμεθα. τὸ ξύμπαντε δὴ γνῶμεν, πειθόμενοι
μὲν

μὲν ἐμοὶ, πόλιν ἕξοντες ἕκαστος ἐλευθέραν. ἀφ' ἧς αὐτοκράτορες ὄντες, τὸν εὖ καὶ κακῶς δρῶντα ἐξίσου ἀρετῇ ἀμυνούμεθα. ἢν δὲ ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοι τιμωρήσασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοι μέν, φίλοι μὲν ἄν τοῖς ἐχθίστοις, διάφοροι δὲ, οἷς οὐ χρὴ κατ' ἀνάγκην γιγνόμεθα. καὶ ἐγὼ μὲν ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε μεγίστην πρεχόμενος, καὶ ἐπιών τῷ μᾶλλον, ἢ ἀμυνούμενος ἀξιῶ προειδομένους αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾷν, ὥστε αὐτοὺς τὰ πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονεικῆς ἡγεῖσθαι. καὶ τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι, καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς ἡσσᾶσθαι. καὶ τοὺς ἄλλους δικαιῶ, ταυτό μοι ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. οὐδὲ γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ δωριέα τινὰ, δωριέως, ἢ χαλκιδέα τῶν ξυγγενῶν. τὸ δὲ ξύμπαν, γείτονας ὄντας, καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους σικελιώτας, οἳ πολεμήσομέν τε οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτοὺς, λόγοις κοινοῖς χρώμενοι, τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι ἀιεὶ ἢν σωφρονῶμεν, ἀμυνούμεθα εἴπερ καὶ καθ' ἑκάστους βλαπτόμενοι, ξύμπαντες κινδυνεύομεν. ξυμμάχους δὲ οὐδέποτε τολοιπὸν ἐπαξόμεθα, οὐδὲ διαλλακτὰς. τὰ δὲ γὰρ ποιοῦντες, ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν σικελίαν, ἀθηναίων τε ἀπαλλαγῆναι, καὶ οἰκείου πολέμου. καὶ ἐς τοέπειτα, καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα, καὶ ὑπὸ

ἄλλων ἧσσον ἐπιβουλευομένην. τοιαῦτα τοι ἑρμοκράτους
εἰπόντος, πειθόμενοι οἱ σικελιῶται, αὐτοὶ μὲν κατὰ σφᾶς
αὐτοὺς ξυνηνέχθησαν γνώμῃ, ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέ-
μου, ἔχοντες ἃ ἕκαστοι ἔχουσι. τοῖς δὲ καμαριναίοις, μορ-
γαντίνην εἶναι ἀργύριον τακτὸν, τοῖς συρακουσίοις ἀποδοῦ-
σιν. οἱ δὲ τῶν ἀθηναίων ξύμμαχοι παρακαλέσαντες αὐτῶν
τοὺς ἐν τέλει ὄντας, εἶπον ὅτι ξυμβήσονται, καὶ αἱ σπονδαὶ,
ἔσοντι κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν, ἐποιοῦντο
τὴν ὁμολογίαν. καὶ αἱ νῆες τῶν ἀθηναίων ἀπέπλευσαν μετα-
ταῦτα ἐκ σικελίας. ἐλθόντας δὲ τοὺς στρατηγοὺς, οἱ ἐν τῇ
πόλει ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν, πυθόδωρον, καὶ
σοφοκλέα. τὸν δὲ τρίτον εὐρυμέδοντα, χρήματα ἐπράξαντο,
ὡς ἐξὸν αὐτοῖς τὰ ἐν σικελίᾳ καταστρέψασθαι, δώροις
πεισθέντες, ἀποχωρήσειαν. οὕτω τῇ τε παρούσῃ εὐτυχίᾳ
χρώμενοι, ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ
δυνατὰ ἐν ἴσῳ, καὶ τὰ ἀπορώτερα, μεγάλῃ τε ὁμοίως καὶ
ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. αἰτία δ' ἦν ἡ πρα-
λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς, ὑποτιθεῖσα ἰσχὺν
καὶ ἐλπίδος. τοι δ' αὐτοι θέρους, μεγαρεῖς οἱ ἐν τῇ πό-
λει πιεζόμενοι ὑπό τε ἀθηναίων καὶ τῶν πολέμῳ ἀεὶ κατὰ
ἔτος ἕκαστον δὶς ἐμβαλόντων, πανστρατιᾷ ἐς τὴν χώ-
ραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ πηγῶν, οἳ
στασιασάντων, ἐκπεσόντες ὑπὸ τοι πλήθους, χαλε-
ποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις,
ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας, μὴ ἀμφοτέρωθεν
τὴν πόλιν φθείρειν. οἱ δὲ φίλοι τῶν ἔξω τὸν θροῦν αἰ-
σθόμενοι,

σθόμενοι, φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν ποιοῦνται λόγους, δείσαντες πρὸς τοὺς τῶν ἀθηναίων στρατηγοὺς, ἱπποκράτην τε τὸν ἀρίφρονος, καὶ δημοσθένην τὸν ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον, ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν, ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν ἀθηναίους (ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν νίσαιαν τὸν λιμένα αὐτῶν) ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς νισαίας οἱ πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν, βεβαιότητος ἕνεκα τῶν μεγάρων. ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι. ῥᾷον δ' ἤδη ἔμελλον προσχωρήσειν, τούτου γεγενημένου. οἱ οὖν ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς μινῷαν τὴν μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις, ὧν ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη. καὶ ἀπεῖχεν οὐ πολύ. οἱ δὲ μετὰ τοῦ δημοσθένους τοῦ ἑτέρου στρατηγοῦ πλαταιεῖς τε ψιλοὶ, καὶ ἕτεροι περίπολοι, ἐνήδρευσαν ἐς τὸν ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄπωθεν. καὶ ᾔσθετο οὐδεὶς, εἰ μὴ οἱ ἄνδρες, οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν μεγαρέων, οὗτοι τοιόνδε ἐποίησαν, ἀκάτιον ἀμφηρικὸν, ὡς λῃσταὶ ἐκ πολλοῦ τεθεραπευκότος τὸ

τος τὴν ἄνοιξιν τῶν πυλῶν, ἀνέθεσαν ἐπὶ ἁμάξῃ, πείθον-
τες τὸν ἄρχοντα διὰ τὰ τάφρου κατακομίζειν τὰ νυκτὸς
ἐπὶ τὴν θάλασσαν, καὶ ἐκπλεῖν. καὶ πρὶν ἡμέραν εἶναι,
πάλιν αὐτὸ τῇ ἁμάξῃ κομίσαντες, ἐς τὸ τεῖχος κατὰ τὰς
πύλας ἐσῆγον. ὅπως τοῖς ἐκ τῆς μινῴας ἀθηναίοις ἀφα-
νὴς δὴ εἴη ἡ φυλακὴ, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανε-
ρῶ μηδενός. καὶ τότε πρὸς ταῖς πύλαις ἦν ἤδη ἡ ἅμαξα.
Ὁ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ, οἱ ἀθηναῖοι
(ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος τοιοῦτον) ἰδόντες ἔθεον
δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι πρὶν ξυγκλει-
σθῆναι πάλιν τὰς πύλας, Ὁ ἕως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς
ἦν, κώλυμα οὖσα προσθεῖναι, καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμ-
πράσσοντες μεγαρεῖς τοὺς κατὰ πύλας φύλακας κτείνουσι:
καὶ πρῶτον μὲν, οἱ περὶ τὸν δημοσθένην πλαταιεῖς τε,
καὶ περίπολοι ἐσέδραμον, οὗ νῦν τὸ προπαιόν ἐστι. καὶ
εὐθὺς τῶν πυλῶν (ᾔσθοντο γὰρ οἱ ἐγγύτατα πελοποννήσιοι
μαχόμενοι τοὺς προσβοηθοῦντας) οἱ πλαταιεῖς ἐκρά-
τησαν. καὶ τοῖς τῶν ἀθηναίων ὁπλίταις ἐπιφερομένοις,
βεβαίους τὰς πύλας παρέσχον. ἔπειτα δὲ καὶ τῶν ἀθηναίων
ἤδη ὁ αἰεὶ ἐντὸς γιγνόμενος, χωρεῖ ἐπὶ τὸ τεῖχος. Ὁ οἱ
πελοποννήσιοι φρουροὶ, τὸ μὲν πρῶτον ἀντισχόντες, ἠμύνοντο
ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν. οἱ δὲ πλείους, ἐς φυγὴν
κατέστησαν φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτω-
κότων, καὶ τῶν προδιδόντων μεγαρέων ἀντιμαχομέ-
νων, νομίσαντες τοὺς ἅπαντας σφᾶς μεγαρέας προδε-
δωκέναι. ξυνέπεσε γὰρ καὶ τὸν τῶν ἀθηναίων κήρυκα ἀφ'
ἑαυτοῦ

ξαυτῶν γνώμης κηρύξαι, τὸν βουλόμενον ἰέναι μεγαρέων μετὰ ἀθηναίων θησόμενον τὰ ὅπλα. οἵδ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι, κατέφυγον ἐς τὴν νίσαιαν. ἅμα δὲ ἕω ἐαλωκότων ἤδη τῶν τειχῶν, καὶ ἐν τῇ πόλει μεγαρέων θορυβουμένων, οἱ πρὸς τοὺς ἀθηναίους πράξαντες, καὶ ἄλλοι μετ' αὐτῶν πλήθει, οἱ ξυνῄδεσαν, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας, καὶ ἐπεξιέναι ἐς μάχην. ξυνέκειτο δὲ αὐτοῖς τὰς πύλας ἀνοιχθησομένας, ἐὰν ἴωσιν οἱ ἀθηναῖοι. αὐτοὶ γὰρ διάδηλοι ἔμελλον ἔσεσθαι. λίπα γὰρ ἀλείφεσθαι, ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο ἢ ἀνοίξεως. καὶ γὰρ οἱ ἀπὸ τῆς ἐλευσῖνος καὶ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν ἀθηναίων, καὶ ἱππῆς ἑξακόσιοι, οἱ τὴν νύκτα πορθμεύσαντες ἦλθον. ἀλλήλοις δὲ αὐτῶν, καὶ ὄντων ἤδη πρὶν τὰς πύλας, καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ οἱ ξυσταφέντες, ἀθρόοι ἦλθον, καὶ οὐκ ἔφασαν χρῆναι, οὔπω ἐπεξιέναι. οὐδὲ γὰρ πρότερόν πω τοῦτο ἰσχύοντες μᾶλλον τολμῆσαι, οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν, εἰ μὴ πείσεταί ἅπας αὐτοῖς τῇ μάχῃ ἕσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πραχθησόμενα, ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες, ἰσχυρίζοντο. καὶ ἅμα πρὶν τὰς πύλας παρεμενον φυλάσσοντες, ὥστε οὐκ ἐξῆν τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον. γνόντες δὲ οἱ τῶν ἀθηναίων στρατηγοὶ ὅτι φανερὰ ἦν ἡ ἐπίνοια, καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν νίσαιαν ἐνδὺς πρότερον ἐπεχείρουν. νομίζοντες, εἰ πρὶν ἐπιβοηθῆσαί τινας

ἄνας ἀξέλοιεν, ἢ ἄσιτον ἂν καὶ τὰ μέγιστα προχωρῆσαι. [Madvig: fortasse]
παρεγίγνετο δὲ σίδηρός τε ἐκ τῶν ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ καὶ τἆλλα ἐπιτήδεια. ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους, ὃ εἶχον, καὶ διῳκοδόμησαντες δ' πρὸς μεγαρέας, ἀφ' ἑκατέρωθεν ἐς θάλασσαν φοινικαίας τάφρον τε, καὶ τεῖχη διελομένων ἔργα τὰ, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις ἁρμένοις, καὶ κόπτοντες τὰ δένδρα, καὶ ὕλην, ἁπεσαύρωμ εἴπῃ δέοιτό τι. καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις λαμβάνουσαι, αὗται ὑπῆρχον ἔρυμα. καὶ ταύτην μὲν τὴν ἡμέραν ἔλην εἰργάζοντο, τῇ δ' ὑστεραίᾳ πρὶ δεῖλην τοῦ πίχους ἀπότομον, ὅσον οὐκ ἀπεπετέλεσαν. καὶ οἱ ἐν τῇ νισαίᾳ δείσαντες σίτου τε ἀπορίᾳ (ἐφημέραν γὰρ ἐκ τῶν ἄνω πόλεως ἐφέρετο) καὶ τοὺς πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τόν τε μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς ἀθηναίοις, ἐφ' ᾧτε μὲν ἕκαστον ἀργυρίου ἀποδόσθαι, ὅπλα παραδόντας, τοῖς τε λακεδαιμονίοις, ᾧ τε ἄρχουσι, καὶ εἴ τις ἄλλος ξύμμαχος χρήσεσθαι ἀθηναίοις, ὅτι ἂν βούλονται, ἐπὶ τούτοις ὁμολογήσαντες, ἐξῆλθον. καὶ οἱ ἀθηναῖοι τὰ μακρὰ τείχη ἀποξήραντες ἀπὸ τῶν μεγαρέων πόλεως, καὶ τὴν νῆσαν προσαλαβόντες, τἆλλα παρεσκευάζοντο. βρασίδας δὲ ὁ τέλλιδος λακεδαιμόνιος, καὶ τοῦτον τὸν χρόνον ἐτύγχανε περὶ σικυῶνα καὶ κορίνθου ὤν, ἐπὶ θρᾴκης στρατιὰν παρασκευάζόμενος. καὶ ὡς ἤσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ νισαίᾳ πελοποννησίοις, καὶ μὴ τὰ μέγαρα ληφθῇ, πέμπει ἐς τοὺς βοιωτοὺς, κελεύων κατατάχος στρατιᾶς ἀπαντῆ-

Σύνταξις.

ἀπαντῆσαι ἐπὶ τριποδίσκου. ἔστι δὲ κώμη τοῦ μεγαρίδος ὄνομα τοῦτο ἔχουσα, ὑπὸ τοῦ ὄρει τῇ γεραινείᾳ. καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους μὲν καὶ δισχιλίους κορινθίων ὁπλίτας, φλιασίων δὲ τε τριακοσίους, σικυωνίων δὲ ἑξακοσίους. καὶ τοὺς μεθ' αὐτοῦ, ὅσοι ἤδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος τὴν νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. ὡς δὲ ἐπύθετο (ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν τριποδίσκον ἐξελθὼν) ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν μεγαρέων πόλει, λαθὼν τοὺς ἀθηναίους ὄντας περὶ τὴν θάλασσαν, βουλόμενος μὲν τοῦ λόγῳ, καὶ ἅμα εἰ δύναιτο ἔργῳ τοῦ νισαίας πειράσαι. τὸ δὲ μέγιστον, τὴν τῶν μεγαρέων πόλιν εἰσελθὼν βεβαιώσασθαι, καὶ ἠξίου δέξασθαί σφας, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν νίσαιαν. αἱ δὲ τῶν μεγαρέων στάσεις φοβούμεναι, οἱ μὲν μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν, αὐτοὺς ἐκβάλῃ, οἱ δὲ μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας, ὠνήθηται σφίσι, καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα, ἐγγὺς ἐφεδρευόντων ἀθηναίων ἀπόλλυται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι, τὸ μέλλον περιϊδεῖν. ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε ἀθηναίων καὶ τῶν προσβοηθησάντων. καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, ὅς τις εἴη εὔνους κρατήσασι προσχωρῆσαι. ὁ δὲ βρασίδας, ὡς οὐκ ἔπειθεν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα. ἅμα δὲ τῇ ἕω, οἱ βοιωτοὶ πρῆσαν, διανενοημένοι μὲν καὶ πρὶν βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ μέγαρα ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου. καὶ ἤδη ὄντες παν-

στρατιᾷ πλαταιᾶσιν, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολ-
λῷ μᾶλλον ἐῤῥώσθησαν. καὶ ἀποστείλαντες διακοσίους καὶ
δισχιλίους ὁπλίτας, καὶ ἱππέας ἑξακοσίους, τοῖς πλείοσιν
ἀπῆλθον πάλιν. παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρα-
τεύματος ὁπλιτῶν οὐκ ἔλαττον ἑξακισχιλίων, καὶ τῶν ἀθη-
ναίων τῶν μὲν ὁπλιτῶν περί τε τὴν νίσαιαν ὄντων, καὶ
τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκε-
δασμένων, οἱ ἱππεῖς οἱ τῶν βοιωτῶν ἀπροσδοκήτοις ἐπι-
πεσόντες τοῖς ψιλοῖς, ἔτρεψαν ἐπὶ τὴν θάλασσαν. ἐν γὰρ
τῷ προτοῦ οὐδεμία βοήθειά πω τοῖς μεγαρεῦσιν οὐδαμό-
θεν ἐπῆλθεν. ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν ἀθηναίων,
ἐς χεῖρας ᾔεσαν. καὶ ἐγένετο ἱππομαχία ἐπιπολύ, ἐν ᾗ
ἀξιοῦσιν ἑκάτεροι οὐχ ἥσσους γενέσθαι. τὸν μὲν γὰρ ἱππαρ-
χον τῶν βοιωτῶν, καὶ ἄλλους τινὰς οὐ πολλοὺς πρὸς αὐ-
τὴν τὴν νίσαιαν προσελάσαντες οἱ ἀθηναῖοι, καὶ ἀποκτεί-
ναντες ἐσκύλευσαν. καὶ τῶν τε νεκρῶν τούτων κρατήσαντες,
ὑποσπόνδους ἀπέδοσαν, καὶ τροπαῖον ἔστησαν. οὐ μέν τοι
ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες
ἀπεκρίθησαν. ἀλλ' οἱ μὲν βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ
ἐπὶ τὴν νίσαιαν. μετὰ δὲ τοῦτο βρασίδας, καὶ τὸ στράτευμα,
ἐχώρουν ἐγγυτέρω τῆς θαλάσσης, καὶ τῶν μεγαρέων πόλεως,
καὶ καταλαβόντες χωρίον ἐπιτήδειον πραταξάμενοι, ἡσύ-
χαζον, οἰόμενοι σφίσιν ἐπιέναι τοὺς ἀθηναίους. καὶ τοὺς με-
γαρέας ἐπιστάμενοι περιορωμένους, ὁποτέρων ἡ νίκη ἔσται.
καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν. ἅμα μὲν τὸ
μὴ ἐπιχειρεῖν προτέρους, μηδὲ μάχης καὶ κινδύνου ἑκόντας
ἄρξαι.

ἄρξαι. ἐπειδή γε ἐν φανερῷ ἔδειξαν, ἕτοιμοι ὄντες ἀμυ-
νεσθαι καὶ αὐτοῖς ὥσπερ ἀκονιτὶ δικαίως ἂν τὴν νίκην
τίθεσθαι. ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς μεγαρέας ὀρθῶς
ξυμβαίνειν. εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν-
τύχῃ γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέν-
των στρηθῆναι εὐθὺς τῆς πόλεως. νῦν δὲ κἂν τυχεῖν αὐτοὺς
ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἀμαχητὶ ἂν
περιγενέσθαι αὐτοῖς, ὧν ἕνεκα ἦλθον, ὅπερ καὶ ἐγένετο. οἱ
γὰρ μεγαρῆς ὡς οἱ ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μα-
κρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόν-
των, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοὶ μὴ ἀντίπαλον
εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ τὰ πλείω αὐτοῖς προ-
εκεχωρήκει ἄρξασι μάχης πρὸς πλείονας αὐτῶν, ἢ λαβεῖν
νικήσαντας μέγαρα, ἢ σφαλέντας, τῷ βελτίστῳ τοῦ ὁπλι-
τικοῦ βλαφθῆναι. τοῖς δὲ ξυμπάσης καὶ δυνάμεως τῶν
παρόντων, μέρος ἕκαστον κινδυνεύειν, εἰκότως ἐθέλειν
τολμᾶν. χρόνον δὲ ἐπισχόντες, καὶ ὡς οὐδὲν ἀφ' ἑκατέρων
ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ ἀθηναῖοι ἐς τὴν νίσαιαν,
καὶ αὖθις οἱ πελοποννήσιοι, ὅθεν περ ὡρμήθησαν. οὕτω δὴ
τῷ μὲν βρασίδᾳ αὐτῷ, καὶ τοῖς ἀπὸ τῶν πόλεων ἄρχου-
σιν, οἱ τῶν φευγόντων φίλοι μεγαρῆς ὡς ἐπικρατήσαντι,
καὶ τῶν ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρ-
σοῦντες μᾶλλον, ἀνοίγουσί τε τὰς πύλας. καὶ δεξάμενοι,
καταπεπληγμένων ἤδη τῶν πρὸς τοὺς ἀθηναίους πραξάν-
των, ἐς λόγους ἔρχονται. καὶ ὕστερον ὁ μὲν διαλυθέντων
τῶν ξυμμάχων κατὰ πόλεις, ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν

 κόρινθον,

κόρινθον, τὴν ἐπὶ θράκης στρατείαν πρεσκεύαζεν, ἵνα πρῶτον καὶ
τοπρῶτον ὥρμητο. οἱ δὲ ἐν τῇ πόλει μεγαρῆς, ἀποχωρη-
σάντων καὶ τῶν ἀθηναίων ἐπ' οἴκου, ὅσοι μὴ τῶν πραγμά-
των πρὸς τοὺς ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθη-
σαν, εὐθὺς ὑπεξῆλθον. οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς
τῶν φευγόντων φίλοις, κατάγουσι τοὺς ἐκ πηγῶν, ὁρκώ-
σαντες πίστεσι μεγάλαις, μηδὲν μνησικακήσειν, βουλεύσειν
δὲ τῇ πόλει τὰ ἄριστα. οἱ δὲ ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγέ-
νοντο, καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς
λόχους, ἐξελέξαντο τῶν τε ἐχθρῶν, καὶ οἳ ἐδόκουν μάλιστα
ξυμπράξαι τὰ πρὸς τοὺς ἀθηναίους, ἄνδρας ὡς ἑκατόν. καὶ
τούτων πέρι ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν δι-
ενεγκεῖν, ὡς κατεγνώσθησαν ἔκτειναν. καὶ ἐς ὀλιγαρχίαν
τὰ μάλιστα κατέστησαν τὴν πόλιν. καὶ πλεῖστον δὴ χρόνον
αὕτη ὑπ' ἐλαχίστων νεμομένη, ἐκ στάσεως μετάστασις ξυ-
νέμεινε. τοι δ' αὐτοι θέρους, καὶ ἀντάνδρου ὑπ' τῶν μιτυ-
λήναιων, ὥσπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι,
οἱ τῶν ἀργυρολόγων ἀθηναίων στρατηγοὶ, δημόδοκος, καὶ
ἀριστείδης, ὄντες περὶ ἐλλήσποντον (ὁ γὰρ τρίτος αὐτῶν
λάμαχος δέκα ναυσὶν ἐς τὸν πόντον ἐσεπεπλεύκει) ὡς
ᾐσθάνοντο τὴν παρασκευὴν τοι χωρίου, καὶ ἐδόκει αὐτοῖς
δεινὸν εἶναι, μὴ ὥσπερ τὰ ἄναια ἐπὶ τῇ σαμῷ γένηται,
ἔνθα οἱ φεύγοντες τῶν σαμίων καταστάντες, τούς τε πελο-
ποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ, κυβερνήτας πέμποντες,
καὶ τοὺς ἐν τῇ πόλει σαμίους, ἐς ταραχὴν καθίστασαν, καὶ
τοὺς ἐξιόντας ἐδέχοντο. οὕτω δὴ ξυναγείραντες ἀπὸ τῶν
ξυμμά-

ξυμμάχων στρατιὰν, ⊂ πλεύσαντες, μάχῃ τε νικήσαντες τοὺς ἐκ τοῦ ἀντάνδρου ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν. καὶ οὐ πολὺ ὕστερον ἐς τὸν πόντον ἐσπλεύσας λάμαχος, ἐν τῇ ἡρακλεώτιδι ὁρμίσας ἐς τὸν κάλη-
5. κα ποταμὸν, ἀπόλλυσι τὰς ναῦς, ὕδατος ἄνωθεν γενομένου, καὶ κατελθόντος αἰφνιδίου τῆς ῥεύματος. αὐτός τε καὶ ἡ στρατιὰ πεζῇ διὰ βιθυνῶν θρᾳκῶν, οἱ εἰσι πέραν ἐν τῇ ἀσίᾳ ἀφικνεῖται ἐς χαλκηδόνα, τὴν ἐπὶ τοῦ στόματι τοι πόντου μεγαρέων ἀποικίαν. ἐν δὲ τοῦ αὐτῷ θέρει καὶ δημο-
10. σθένης ἀθηναίων στρατηγὸς, τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς ναύπακτον εὐθὺς μετὰ τὴν ἐκ τοῦ μεγαρίδος ἀναχώρησιν. τοῦ γὰρ ἱπποκράτει καὶ ἐκείνῳ τὰ βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων μεταστῆσαι τὸν κόσμον, καὶ ἐς δημοκρα-
15 τίαν, ὥσπερ οἱ ἀθηναῖοι, τρέψαι. καὶ πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος ἐκ θηβῶν ἐσηγουμένου, τάδε αὐτοῖς παρεσκευάσθη. σίφας μὲν ἔμελλόν τινες πραδώσειν. αἱ δὲ σίφαι, εἰσὶ τοῦ θεσπικῆς γῆς ἐν τοῦ κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. χαιρώνειαν δὲ ἡ ἐς ὀρχομενὸν τὸν μινύειον
20. πρότερον καλούμενον, νῦν δὲ βοιώτειον ξυντελεῖ, ἄλλοι δὲ ὀρχομενοῦ ἐνεδίδοσαν. καὶ οἱ ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα. καὶ ἄνδρας ἐμισθοῦντο ἐκ πελοποννήσου. ἔστι δὲ ἡ χαιρώνεια ἔσχατον τοῦ βοιωτίας, πρὸς τῇ φανότιδι τοῦ φωκίδος. καὶ φωκέων μετεῖχόν τινες. τοὺς
25. δὲ ἀθηναίους ἔδει δήλιον καταλαβεῖν, τὸ ἐν τῇ ταναγραίᾳ πρὸς εὔβοιαν τετραμμένον ἀπόλλωνος ἱερόν. ἅμα δὲ

offerebat ad seditionem

ταῦτα

ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ δήλιον οἱ βοιωτοὶ ἀθρόοι, ἀλλ' ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενοι. καὶ εἰ κατορθοῖτο ἡ πεῖρα, καὶ τὸ δήλιον τειχισθείη, ῥᾳδίως ἤλπιζον εἰ καὶ μὴ πραυτίκα νεωτερίζοι τι τῶν κατὰ τὰς πολιτείας τοῖς βοιωτοῖς, ἐχομένων τούτων τῶν χωρίων, καὶ λῃστευομένης καὶ γῆς, καὶ οὔσης ἑκάστοις διαβραχέος ἀποστροφῆς, οὐ μένειν κατὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας καὶ δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον. ἡ μὲν οὖν ἐπιβουλὴ, τοιαύτη παρεσκευάζετο. ὁ δὲ ἱπποκράτης, αὐτὸς μὲν ἐκ καὶ πόλεως δύναμιν ἔχων, ὁπότε καιρὸς εἴη, ἔμελλε στρατεύειν ἐς τοὺς βοιωτοὺς. τὸν δὲ δημοσθένην προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν ἐς τὴν ναύπακτον, ὅπως ἐξ ἐκείνων τῶν χωρίων στρατὸν συλλέξας ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων, πλέοι ἐπὶ τὰς σίφας, ὡς προδοθησομένας. ἡμέρα δ' αὐτοῖς εἴρητο, ᾗ ἔδει ἅμα ταῦτα πράσσειν. καὶ ὁ μὲν δημοσθένης ἀφικόμενος, οἰνιάδας δὲ ὑπό τε ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν ἀθηναίων ξυμμαχίαν, καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν, ἐπὶ σαλάνθιον, καὶ ἀγραίους στρατεύσας πρῶτον, καὶ προσποιησάμενος τἆλλα, ἡτοιμάζετο ὡς ἐπὶ τὰς σίφας, ὅταν δέῃ ἁπαντησόμενος. βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοὶ θέρους πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ θρᾴκης, ἐπειδὴ ἐγένετο ἐν ἡρακλείᾳ τῇ ἐν τραχῖνι, καὶ προπέμψαντος

αὐτοὶ

αὐτοὶ ἄγγελον ἐς φάρσαλον παρὰ τοὺς ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιὰν, ἦλθον ἐς μελιτίαν καὶ ἀχαΐας πάναιρός τε, καὶ δῶρος, καὶ ἱππολολοχίδας, καὶ τορυλάος, καὶ στρόφακος πρόξενος ὢν χαλκιδέων, τότε δὴ ἐπορεύετο. ἦγον δὲ καὶ ἄλλοι θεσσαλῶν αὐτὸν, καὶ ἐκ λαρίσσης νικονίδας περδίκκᾳ ἐπιτήδειος ὤν. τὴν γὰρ θεσσαλίαν ἄλλως τε οὐκ εὔπορον ἦν διϊέναι ἄνευ ἀγωγοῦ. καὶ μετὰ ὅπλων γε δὴ καὶ τοῖς πᾶσί γε ὁμοίως ἕλλησιν, ὕποπτον καθεστήκει τὴν τῶν πέλας μὴ πείσαντας διϊέναι. τοῖς τε ἀθηναίοις ἀεί ποτε τὸ πλῆθος τῶν θεσσαλῶν εὔνουν ὑπῆρχεν, ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον, ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ θεσσαλοὶ, οὐκ ἄν ποτε προῆλθεν, ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν τἀναντία τούτοις βουλομένων ἐπὶ τοῦδ' ἐνιπεῖ ποταμῷ ἐκώλυον. καὶ ἀδικεῖν ἔφασαν, ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. οἱ δὲ ἄγοντες, οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνιδίον τε πραγνόμενον, ξένοι ὄντες κομίζειν. ἔλεγε δὲ καὶ αὐτὸς ὁ βρασίδας τῇ θεσσαλῶν γῇ, καὶ αὐτοῖς εἷλος ὢν ἰέναι, καὶ ἀθηναίοις πολεμίοις οὖσι, καὶ οὐκ ἐκείνοις ὅπλα ἐπιφέρειν, θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ λακεδαιμονίοις ἔχθραν οὖσαν, ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι. νῦν τε ἀκόντων ἐκείνων, οὐκ ἂν προελθεῖν οὐδὲ γὰρ ἂν δύνασθαι, οὐ μὲν τοι ἀξιοῦν γε, εἴργεσθαι. καὶ οἱ μὴ ἀκούσαντες ταῦτα ἀπῆλθον. ὁ δὲ κελευόντων τῶν ἀγωγῶν, πρίν τε πλέον ξυστῆναι τὸ κωλύσον ἐχώρει, οὐδὲν ἐπισχὼν δρόμῳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ᾗ ἐκ καὶ μελιτίας

ἀφώρμησεν, ἐς φάρσαλόν τε ἐτέλεσε, καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ ἀπιδανῷ ποταμῷ. ἐκεῖθεν δὲ ἐς φάκιον. καὶ ἐξ αὐτοῦ ἐς περαιβίαν. ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν θεσσαλῶν ἀγωγοὶ, πάλιν ἀπῆλθον. οἱ δὲ περαιβοὶ, αὐτῶν ὑπήκοοι ὄντες θεσσαλῶν, κατέστησαν ἐς δίον καὶ περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ ὀλύμπῳ μακεδονίας πρὸς θεσσαλοὺς πόλισμα κεῖται. τούτῳ τῷ τρόπῳ βρασίδας θεσσαλίαν φθάσας διέδραμε, πρίν τινα κωλύειν παρασκευάσασθαι, καὶ ἀφίκετο ὡς περδίκκαν, καὶ τὴν χαλκιδικήν. ἐκ γὰρ καὶ πελοποννήσου, ὡς τὰ τῶν ἀθηναίων εὐτύχει, δείσαντες οἵ τε ἐπὶ θρᾴκης ἀφεστῶτες ἀθηναίων, καὶ περδίκκας, ἐξήγαγον τὸν στρατόν. οἱ μὲν χαλκιδεῖς νομίζοντες ὦν σφας πρῶτον ὁρμήσειν τοὺς ἀθηναίους, καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν, αἳ οὐκ ἀφεστηκεῖαι ξυνεπῆγον κρύφα. περδίκκας δὲ, πόλεμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ παλαιὰ διάφορα τῶν ἀθηναίων, καὶ μάλιστα βουλόμενος ἀῤῥιβαῖον τὸν λυγκηστῶν βασιλέα παραστήσασθαι. ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾷον ἐκ καὶ πελοποννήσου στρατὸν ἐξαγαγεῖν ἢ τῶν λακεδαιμονίων ἐν τῷ πρόντι κακοπραγία, τῶν γὰρ ἀθηναίων ἐγκειμένων τῇ πελοποννήσῳ, καὶ οὐχήκιστα τῇ ἐκείνων γῇ, ἤλπιζον ἀποτρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν, πέμψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιὰν ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε, καὶ ἐπὶ τῇ ἀποστάσει σφᾶς ἐπικαλουμένων. καὶ ἅμα τῶν εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι μή τι πρὸς τὰ παρόντα, καὶ πύλου ἐχομένης νεωτερίσωσιν.

ἐπεὶ

ἐπεὶ καὶ τόδε ἔπραξαν (φοβούμενοι γὰρ αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος. ἀιεὶ γὰρ τὰ πολλὰ λακεδαιμονίοις πρὸς τοὺς εἵλωτας καὶ φυλακῆς πέρι μάλιστα καθεστήκει) προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγενῆσθαι, σφίσιν ἄριστοι, κρίνεσθαι ὡς ἐλευθερώσοντες, πεῖραν ποιούμενοι. καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. καὶ προκρίναντες ἐς δισχιλίους, οἱ μὲν ἐστεφανώσαντό τε, καὶ τὰ ἱερὰ περιῆλθον, ὡς ἠλευθερωμένοι. οἱ δὲ οὐ πολλῷ ὕστερον, ἠφάνισάν τε αὐτοὺς, καὶ οὐδεὶς ᾔσθετο ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη, καὶ τότε προθύμως τῷ βρασίδᾳ αὐτῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας. τοὺς δ' ἄλλους ἐκ καὶ πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν. αὐτόν τε βρασίδαν βουλόμενον μάλιστα, λακεδαιμόνιοι ἀπέστειλαν. προὐθύμησαν δὲ καὶ οἱ χαλκιδῆς ἄνδρα ἐν τῇ σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα, καὶ ἐπειδὴ ἐξῆλθε, πλείστου ἄξιον λακεδαιμονίοις γενόμενον. τότε γὰρ παραυτίκα ἑαυτὸν παραχὼν δίκαιον, καὶ μέτριον ἐς τὰς πόλεις, ἀπέστησε ταπολλά, τὰ δὲ προδοσίᾳ εἷλε τῶν χωρίων, ὥστε τοῖς λακεδαιμονίοις γίγνεσθαι, ξυμβαίνειν τε βουλομένοις, ὅπερ ἐποίησαν ἀνταπόδοσιν, καὶ ἀπροσχὴν χωρίων, καὶ τοι πολέμου ἀπὸ καὶ πελοποννήσου λώφησιν. ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ σικελίας πόλεμον, ἡ τότε βρασίδου ἀρετὴ, καὶ ξύνεσις, τῶν μὲν πεῖρᾳ αἰσθομένων, τῶν δὲ ἀκοῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς ἀθηναίοις ξυμμά-

χοις ἐς τοὺς λακεδαιμονίους. πρῶτος γὰρ ἐξελθὼν, ⊂
δόξας εἶναι κατὰ πάντα ἀγαθὸς, ἐλπίδα ἐγκατέλιπε βέ-
βαιον, ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσι τότε δ' οὖν ἀφικομένου
αὐτοῦ ἐς τὰ ἐπὶ θρᾴκης, οἱ ἀθηναῖοι πυθόμενοι, τόν τε
περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον εἶναι
καὶ παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυλακὴν πλέονα
κατεστήσαντο. περδίκκας δὲ βρασίδαν καὶ τὴν στρατιὰν
εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως, στρατεύει ἐπὶ ἀρρι-
βαῖον τὸν βρομεροῦ λυγκηστῶν μακεδόνων βασιλέα ὅμο-
ρον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης, καὶ βουλόμενος κα-
ταστρέψασθαι. ἐπεὶ δὲ ἐγένετο, τῷ στρατῷ μετὰ τοῦ βρα-
σίδου ἐπὶ τῇ ἐσβολῇ καὶ λύγκου, βρασίδας λόγοις ἔφη βού-
λεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου ἀρριβαῖον ξύμμαχον
λακεδαιμονίων, ἢν δύνηται ποιῆσαι. ⊂ γάρ τι καὶ ἀρρι-
βαῖος ἐπεκηρυκεύετο, ἕτοιμος ὢν βρασίδᾳ μέσω δικαστῇ
ἐπιτρέπειν. ⊂ οἱ χαλκιδέων πρέσβεις ξυμπαρόντες, ἐδί-
δασκον αὐτὸν μὴ ὑπεξελθεῖν τῷ περδίκκᾳ τὰ δεινὰ, ἵνα
προθυμοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. ἅμα δέ
τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ περδίκκου ἐν τῇ λα-
κεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων
ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ
βρασίδας τὰ τοῦ ἀρριβαίου ἠξίου πράσσειν. περδίκκας δὲ
οὔτε δικαστὴν ἔφη βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγα-
γεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀπεφαίνῃ πολε-
μίων, ἀδικήσειν τε εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τῆς στρατοῦ,
ξυνέσαι ἀρριβαίῳ. ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγί-
νεται.

νεται. καὶ πεισθεὶς τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν, πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. πορδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεως καὶ τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι. ἐν δὲ τοῦ αὐτῷ θέρει, εὐθὺς ὁ βρασίδας ἔχων καὶ χαλκιδέας, ἐπὶ ἄκανθον τὴν ἀνδρίων ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. οἱ δὲ περὶ τοι δέχεσθαι αὐτὸν, κατ' ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν χαλκιδέων ξυνεπάγοντες, καὶ ὁ δῆμος. ὅμως δὲ διὰ τοι καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος, πεισθὲν τοῦ πλῆθος ὑπὸ τοι βρασίδου, δέξεσθαί τε αὐτὸν μόνον, καὶ ἀκούσαντας βουλεύσασθαι, δέχεται. καὶ καταστὰς ἐπὶ τοῦ πλῆθος (ἦν δὲ οὐδὲ ἀδύνατος ὡς λακεδαιμόνιος εἰπεῖν) ἔλεγε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΒΡΑΣΙΔΟΥ.

Η μὲν ἔκπεμψίς μου καὶ καὶ στρατιᾶς ὑπὸ λακεδαιμονίων, ὦ ἀκάνθιοι γεγένηται, τὴν αἰτίαν ἐπαληθεύουσα, ἣν ἀρχόμενοι τοι πολέμου, προείπομεν ἀθηναίοις, ἐλευθεροῦντες τὰ ἑλλάδα πολεμήσειν. εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες καὶ ἀπὸ τοι ἐκεῖ πολέμου δόξης, ἢ διατάχους αὐτοὶ ἄνευ τοι ὑμετέρου κινδύνου, ἠλπίσαμεν ἀθηναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ. νῦν γὰρ ὅτε πρέσχεν ἀφιγμένοι, καὶ μετὰ ὑμῶν πειρασόμεθα καταργάζεσθαι αὐτούς. θαυμάζω δὲ τῇ τε ἀποκλείσει μου τῶν πυλῶν, καὶ εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ λακεδαιμόνιοι, οἰόμενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ γοῦν γνώμῃ ἥξειν, καὶ βουλομένοις ἔσεσθαι, κίν-

δυνόν τε τοσόνδε ἀπερρίψαμεν διὰ τὴν ἀλλοτρίας, πολ-
λῶν ἡμερῶν ὁδὸν ἰόντες, καὶ πᾶν τὸ πρόθυμον παρεχό-
μενοι. ὑμεῖς δὲ, εἴ τι ἄλλο ἐν νῷ ἔχετε, ἢ εἰ ἐναντιώσεσθαι,
τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευτερίᾳ, καὶ τῶν ἄλλων ἑλλήνων,
δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, 5.
ἀλλὰ καὶ οἷς ἂν πλέω, ἧσσόν τις ἐμοὶ πρόσεισι. καὶ δυσχερὲς
ποιούμενοι, εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς. Ὁ πόλιν ἀξιό-
χρεων παρεχομένους, καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ
ἐδέξασθε. καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι,
ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ ἀσθενὴς καὶ 10.
ἀδύνατος τιμωρῆσαι τὰ πρὸς ἀθηναίους, ἢν πλέωσιν
ἀφῖχθαι. καί τοι στρατιᾷ γε τῇ δ' ἣν νῦν ἐγὼ ἔχω ἐπὶ
νίσαιαν, ἐμοῦ βοηθήσαντος, οὐκ ἠθέλησαν ἀθηναῖοι
πλέονες ὄντες προσμίξαι. ὥστε οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς
τῷδ' ἐν νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι. 15.
αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν ἑλλήνων
παρελήλυθα. ὅρκοις δὲ λακεδαιμονίων καταλαβὼν τὰ
τέλη τοῖς μεγίστοις, ἢ μὴν οὓς ἂν ἔγωγε προσαγάγωμαι
ξυμμάχους, ἔσεσθαι αὐτονόμους, καὶ ἅμα οὐχ ἵνα ξυμ-
μάχους ὑμᾶς ἔχομεν, ἢ βίᾳ, ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ 20
τοὐναντίον, ὑμῖν δεδουλωμένοις ὑπὸ ἀθηναίων, ξυμ-
μαχήσοντες. οὐκοῦν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις
τε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομι-
σθῆναι, προσχωρεῖν τε ὑμᾶς θαρσήσαντας, καὶ εἴ τις ἰδίᾳ
τινὰ δεδιὼς ἄρα μὴ ἐγὼ τισι προσθῶ τὴν πόλιν ἀπρόθυ- 25
μός ἐστι, πάντων μάλιστα πιστευσάτω. οὐ γὰρ συστασιάσων

ἥκω,

ἥκω, οὐδὲ ἀσφαλῆ τὴν ἐλευθερίαν νομίζω ἔτι φέρειν, εἰ τὸ πάτριον παρεὶς, τὸ πλέον τοῖς ὀλίγοις, ἢ δ' ἔλασσον τοῖς πᾶσι δουλώσαιμι. κάλλιπώτερα γὰρ ἂν φύλ ἀλλοφύλω ἀρχῆς εἴκων, καὶ ἡμῖν τοῖς λακεδαιμονίοις, οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσαιτο, ἀντὶ δὲ τιμῆς ὀφλοίη, αἰτία μᾶλλον δίς τε τοὺς ἀθλιωτάτους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φανοίμεθα ἐλάσσονα, ἢ ὁ μὴ ὑποδείξας ἄρχειν κατακτώμενοι, ἀπάτῃ γὰρ εὐπρεπεῖ, αἴσχιον τοῖς τε ἐξιώμασιν πλεονεκτήσαι, ἢ βίᾳ ἐμφανεῖ. τὸ μὲν γὰρ ἰσχύϊ δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν ἐπέρχεται. τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. οὕτω πολλῶν πραγμάτων ἡμῖν ἐς τὰ μέγιστα διαφορῶν ποιούμεθα. οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε, ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθήσομεν, δόκησιν ἀναγκαίαν παρέχεται. ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου, ἀδύνατοι μὲν φήσετε εἶναι, εἶεν δ' ὄντες ἀξιώσετε μὴ κακόμενοι διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκινδύνως ὑμῖν φαίνεσθαι. δίκαιόν τε εἶναι αἷς δυνατὸν δέχεσθαι αὐτίῳ, τούτοις καὶ ἐπιφέρειν. ἄκοντα δὲ, μηδένα προσαναγκάζειν. μάρτυρας μὲν θεοὺς ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι, ὡς ἐπ' ἀγαθῷ ἥκων, οὐ πείθω. γιγνώσκω δὲ τὸ ὑμέτερον δυνάμει παράσομαι βιάζεσθαι. καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ. προσεῖναι δέ τι μοι καὶ δύο ἀνάγκας τὸ εὖ λογον. τὴν μὲν λακεδαιμονίων, ὅπως μή τῳ ὑμετέρῳ ξυνοφ, εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπ' ὑμῶν χρήμασι φορολλοις παρ' ἀθλιωτάτους βλάπτωνται. οἱ δὲ ἕλληνες ἵνα μὴ κωλύονται

κωλύονται ὑφ' ὑμῶν δ᾽ωλείας ἀπαλλαγῶσι. οὐ γὰρ δὴ
εἰκότως γ' ἂν τάδε πράσσοιμεν. οὐδὲ ὀφείλομεν οἱ λα-
κεδαιμόνιοι μὴ κοινῇ ἀγαθῇ αἰτίᾳ, τοὺς μὴ βουλο-
μένους ἐλευθεροῦν. οὐδ' ἂν ἄρχῃς ἐθελήσειεν. παύσασθε δὲ
μᾶλλον δὲ ἑτέρους ψευδομένους, τοὺς πλείους ἂν ἀδικοῖμεν, 5.
εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες, ὑμᾶς τοὺς ξυναλλα-
γέντας προϊδοίμεν. πρὸς ταῦτα βουλεύεσθε εὖ, μὴ ἀγωνί-
σασθε, τοῖς τε ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας, μὴ ἀΐδιον
δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι,
καὶ ξυμπάσῃ τῇ πόλει, κάλλιστον ὄνομα προθεῖναι. 10.

Ο μὲν βρασίδας τοσαῦτα εἶπεν. οἱ δὲ ἀκάνθιοι, πολ-
λῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα ψηφισά-
μενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν βρασίδαν, καὶ περί
τοι καρπὸν φόβῳ, ἔγνωσαν οἱ πλείους ἀφίεσθαι ἀθωωσίων.
καὶ πεισώσαντες αὐτὸν τοῖς ὅρκοις, οὓς τὰ τέλη τῶν λα- 15.
κεδαιμονίων ὁμόσαντα αὐτὸν ἤλπεμψαν, ἢ μὴν ἕσεσθαι
ξυμμάχους αὐτονόμους, οὓς ἂν προσαγάγηται, οὕτω δέ-
χονται τὸν στρατόν. καὶ οὐ πολλῷ ὕστερον καὶ σάγειρα,
ἀνδρίων ἀποικία ξωναπέστη. ταῦτα μὲν οὕτω ἐν τῷ θέρει
τούτῳ ἐγένετο. τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς, ἀρ- 20.
χομένου, ὡς τῷ ἱπποκράτει καὶ δημοσθένει στρατηγοῖς
οὖσιν ἀθηναίων, τὰ ἐν νάξῳ βοιωτοῖς ἐνεδίδοσαν, καὶ ἔδει
τὸν μὲν δημοσθένην ταῖς ναυσὶν ἐς τὰς σίφας ἀποπλῆ-
σαι, τὸν δ' ἐπὶ τὸν ὁλίαρτον, χειμῶνος διαμαρτίας τῆς
μεθ' ἡμέραν, εἰς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν δημοσθέ- 25.
νης πρότερον πλεύσας πρὸς τὰς σίφας, καὶ ἔχων ἐν ταῖς

ναυσὶν

ναυσὶν ἀκαρνᾶνας, Ⓒ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται, μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ νικομάχου, ἀνδρὸς φωκέως ἐκ φανοτέως, ὃς λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ βοιωτοῖς. καὶ βοηθείας γενομένης πάντων βοιωτῶν (οὐ γάρ πω ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὢν) προκαταλαμβάνονται ἅι τε σίφαι, καὶ ἡ χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. ὁ δὲ ἱπποκράτης ἀναστήσας ἀθηναίους πανδημεὶ αὐτοὺς, καὶ τοὺς μετοίκους, καὶ ξένων ὅσοι παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ δήλιον, ἤδη τῶν βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν σιφῶν. καὶ καθίσας τὸν στρατὸν, δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ, τὸ ἱερὸν τοῦ ἀπόλλωνος. τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν, καὶ τὸν νεὼν ἔσκαπτον. ἐκ δὲ τοῦ ὀρύγματος, ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν. Ⓒ σταυροὺς πρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν, ἐσέβαλλον. καὶ λίθους ἅμα, καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸν ἔρυμα. πύργους τε ξυλίνους κατέστησαν ᾗ καιρὸς ἦν, καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν. ᾗπερ γὰρ ἦν στοὰ καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ, ὡς οἴκοθεν ὥρμησαν, τάυτην τε εἰργάζοντο, καὶ τὴν τετάρτην, καὶ τῇ πέμπτης μέχρις ἀρίστου ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον, προαπεχώρησεν ἀπὸ τοῦ δηλίου οἷον δέκα σταδίους, ὡς ἐπ' οἴκου πορευόμενον. καὶ οἱ μὲν ψιλοὶ, οἱ πλεῖστοι εὐθὺς ἐχώρουν. οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα, ἡσύχαζον. ἱπποκράτης δὲ

ὑπομένων ἔτι, καθίστατο φύλακάς τε, καὶ τὰ πορὶ τὸν προτείχισμα ὅσα ἦν ὑπόλοιπα, ὡς χρὴν ἐπιτελέσαι. οἱ δὲ βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις, ζυνελέγοντο ἐς τὴν τάναγραν. καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν, καὶ ἠσθάνοντο τοὺς ἀθηναίους προσχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ βοιωτίᾳ ἔτι εἰσί. μάλιστα γὰρ ἐν μεθορίοις καὶ ὠρωπίας οἱ ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο τὰ ὅπλα, παγώνδας ὁ αἰολάδου βοιωταρχῶν ἐκ θηβῶν, μετ' ἀριανθίδου τοῦ λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης, αὐτοῦ βουλόμενος τὴν μάχην ποιῆσαι, καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι προσκαλῶν ἑκάστους καταλόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς βοιωτοὺς ἰέναι ἐπὶ τοὺς ἀθηναίους, καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΠΑΓΩΝΔΟΥ.

Χρὴν μὲν, ὦ ἄνδρες βοιωτοὶ, μηδ' εἰς ὑπόνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς οὐκ εἰκὸς ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ βοιωτίαν ἐκ καὶ ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι, μέλλουσι φθείρειν καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι, ὃ ὅθεν ἐπελθόντες, πολέμια ἔδρασαν. νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ὑπόνη, πορὶ καὶ σφετέρας ὁμοίως ἐνδέχεται λογισμόν.

λογισμόν. καὶ ὅς τις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ δὲ πλείονος ὀρεγόμενος, ἑκὼν τινὶ ἐπέρχεται. πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα, καὶ ἐν τῇ οἰκείᾳ, καὶ ἐν τῇ τῶν πέλας, ὁμοίως ἀμύνεσθαι. ἀθηναίους δὲ C προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τοῦ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται. καὶ πρὸς τούτοις γε δὴ, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας εὐβοέας, C καὶ ἄλλης ἑλλάδος τοῦ πολὺ, ὡς αὐτοῖς διάκειται. C γνῶναι ὅτι τοῖς μὲν ἄλλοις, οἱ πλησιόχωροι, περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται. ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται. εἰσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνωτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ ἀθηναῖοι νῦν ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν. τὸν δὲ ἔξω ὅρων προαπαντῶντα, καὶ ἢν καιρὸς ᾖ πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε. νικήσαντες γὰρ ἐν κορωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν, ἡμῶν στασιασάντων κατέσχον, πολλὴν ἄδειαν τῇ βοιωτίᾳ μέχρι τούδε κατεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις. τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχύναι τὰς προσηκούσας ἀρετάς. πιστεύσαντες δὲ

τες δὲ τοῦ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τει-
χίσαντες, νέμονται. καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις
καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε. καὶ δεῖξαι ὅτι
ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες
κτάσθωσαν. οἷς δὲ γενναῖον τήν τε αὐτῶν αἰεὶ ἐλευθερῶν
μάχῃ, καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως ἀναγώνιστοι
ἀπ' αὐτῶν οὐκ ἀπίασι. τοιαῦτα ὁ παγώνδας τοῖς βοιωτοῖς
παραινέσας, ἔπεισεν ἰέναι ἐπὶ τοὺς ἀθηναίους. καὶ κατα-
τάχος ἀναστήσας, ἦγε τὸν στρατόν. ἤδη γὰρ καὶ σὺν ἡμέρας
ὀψὲ ἦν. καὶ ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος
αὐτῶν, ἐς χωρίον καθίσας, ὅθεν λόφου ὄντος μεταξὺ οὐκ
ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε, καὶ παρεσκευάζετο ὡς ἐς μάχην.
τοῦ δὲ ἱπποκράτει ὄντι περὶ τὸ δήλιον, ὡς αὐτῷ ἠγγέλθη
ὅτι βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα, κελεύων,
ἐς τάξιν καθίστασθαι. καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε,
καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ δήλιον, ὅπως
φύλακές τε ἅμα εἶεν, εἴ τι ὕλλοι αὐτῷ. καὶ τοῖς βοιωτοῖς
καιρὸν φυλάξαντες, ἐπιγένοιντο ἐν τῇ μάχῃ. βοιωτοὶ δὲ
πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνομένους. καὶ ἐπειδὴ
καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου, καὶ ἔθεντο τὰ
ὅπλα τεταγμένοι, ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι
μάλιστα, καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς τε χίλιοι, καὶ πελ-
τασταί πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν κέρας θηβαῖοι,
καὶ οἱ ξύμμοροι αὐτοῖς. μέσοι δὲ ἁλιάρτιοι, καὶ κορωναῖοι,
καὶ κωπαιῆς, καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην. τὸ δὲ εὐώ-
νυμον, εἶχον θεσπιῆς, καὶ ταναγραῖοι, καὶ ὀρχομένιοι. ἐπὶ
δὲ τοῦ

δὲ τῷ κέρᾳ ἑκατέρῳ. οἱ ἱππῆς, καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι, θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν βοιωτῶν παρασκευή, καὶ διάκοσμος ἦν. ἀθηναῖοι μὲν οἵδε ὁπλῖται, ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις. ἱππεῖς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι, οὔτε τότε παρῆσαν, οὔτε ἐγένοντο ἐν τῇ πόλει. οἱ πρὸς δὲ ξυνεσέβαλον ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε παντρατιᾶς ξένων τῶν πρόντων καὶ ἀστῶν γενομένης καὶ ὡς τοπρῶτον ὥρμησαν ἀπ' οἴκου, οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. καθεστώτων δὲ ἐς τὴν τάξιν ἤδη, καὶ μελλόντων ξυνιέναι, ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν ἀθηναίων, παρεκελεύετό τε, καὶ ἔλεγε τοιάδε.

ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ὦ ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει, ἢ ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσήκοντος τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν. ἐν γὰρ τῇ τούτων, ὑπὲρ καὶ ἡμετέρας ὁ ἀγὼν ἔσται. καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ καὶ τῶνδε ἵππου ἐσβάλωσιν. ἐν δὲ μιᾷ μάχῃ, τήν δέ τε προσκτᾶσθε, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς, τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς ἕλλησιν ἀγάλλεται, καὶ τῶν

πατέρων, οἳ τοῦσδε μάχῃ κρατοῦντες μετὰ μυρωνίδου ἐν
οἰνοφύτοις τὴν βοιωτίαν ποτὲ ἔσχον. τοιαῦτα τοῦ ἱππο-
κράτους παρακελευομένου, καὶ μέχρι μὲν μέσου τοῦ στρατο-
πέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι φθάσαντος, οἱ
βοιωτοὶ παρακελευσαμένου, καί σφισιν ὡς διὰ ταχέων
καὶ ἐνταῦθα παγώνδου παιωνίσαντος, ἐπῄεσαν ἀπὸ τοῦ
λόφου. ἀντεπῄεσαν δὲ καὶ οἱ ἀθηναῖοι, καὶ προσέμιξαν
δρόμῳ, καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν
ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθε. ῥύακες γὰρ ἐκώλυσαν. τὸ
δὲ ἄλλο καρτερᾷ μάχῃ, καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει.
καὶ τὸ μὲν εὐώνυμον τῶν βοιωτῶν καὶ μέχρι τοῦ μέσου,
ἡσσᾶτο ὑπὸ τῶν ἀθηναίων. καὶ ἐπῄεσαν τούς τε ἄλλους
ταύτῃ, καὶ οὐχ ἥκιστα τοὺς θεσπιέας. ὑποχωρησάντων γὰρ
αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλί-
γῳ, οἵπερ διεφθάρησαν θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι
κατεκόπησαν. καί τινες καὶ τῶν ἀθηναίων διὰ τὴν κύκλω-
σιν ταραχθέντες, ἠγνόησάν τε, καὶ ἀπέκτειναν ἀλλήλους. τὸ
μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν βοιωτῶν, καὶ πρὸς τὸ μαχό-
μενον κατέφυγε. τὸ δὲ δεξιὸν, ᾗ οἱ θηβαῖοι ἦσαν, ἐκράτει
τῶν ἀθηναίων. Ὡσάμενοι καταβραχὺ, τὸ πρῶτον ἐπη-
κολούθουν, καὶ ξυνέβη, παγώνδου περιπέμψαντος δύο
τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον ὡς ἐπόνει
τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν
τῶν ἀθηναίων κέρας νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς
φόβον καταστῆναι, καὶ ἀμφοτέρωθεν ἤδη ὑπό τε τοῦ τοιούτου,
καὶ ὑπὸ τῶν θηβαίων ἐφεπομένων, καὶ πραῤῥηγνύντων,

φυγὴ

φυγὴ καθεστήκει παντὸς τοῦ στρατοῦ τῶν ἀθηναίων. καὶ οἱ μὲν πρὸς τὸ δήλιόν τε, καὶ τὴν θάλασσαν ὥρμησαν. οἱ δὲ ἐπὶ τοῦ ὠρωποῦ. ἄλλοι δὲ πρὸς πάρνηθα τὸ ὄρος. οἱ δὲ, ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον. καὶ μάλιστα οἵ τε ἱππῆς αὐτῶν, καὶ οἱ λοκροὶ βεβοηθηκότες, ἄρτι καὶ τροπῆς γιγνομένης. νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. καὶ τῇ ὑστεραίᾳ, οἵ τε ἐκ τοῦ ὠρωποῦ, καὶ οἱ ἐκ τοῦ δηλίου φυλακὴν ἐγκαταλιπόντες (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι) ἀπεκομίσθησαν καὶ θάλασσαν ἐπ' οἴκου. καὶ οἱ βοιωτοὶ τροπαῖον στήσαντες, καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς τὴν τάναγραν. καὶ τοῦ δηλίῳ ἐπεβούλευον, ὡς προσβαλοῦντες. ἐκ δὲ τῶν ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς, ἀπαντᾷ κήρυκι βοιωτῷ. ὃς αὐτὸν ἀποστρέψας, καὶ εἰπὼν ὅτι οὐδὲν πράξει, πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, καταστὰς ἐπὶ τοὺς ἀθηναίους, ἔλεγε τὰ παρὰ τῶν βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν ἑλλήνων, πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων, ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, ἀθηναίους δὲ δήλιον τειχίσαντας, ἐνοικεῖν. καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι. ὕδωρ τε ὃ ἦν ἄψαυστον σφίσι, πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντες ὑδρεύεσθαι. ὥστε ὑπέρ τε τοῦ θεοῦ, καὶ ἑαυτῶν, βοιωτοὺς ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας, καὶ τὸν ἀπόλλω, προαγορεύειν αὐτοὺς

ἐκ τοῦ

ἐκ τοῦ ἱεροῦ ἀπιόντας, ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν.
τοσαῦτα τοῦ κήρυκος εἰπόντος, οἱ ἀθηναῖοι πέμψαντες
πρὰ τοὺς βοιωτοὺς ἑαυτῶν κήρυκα, τοῦ μὲν ἱεροῦ οὔτε ἀδι=
κῆσαι ἔφασαν οὐδὲν, οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν.
οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα δὲ αὐτοὺ
τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται, τὸν δὲ νόμον
τοῖς ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος καὶ γῆς ἑκάστης, ἤν τε
πλέονος, ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγ=
νεσθαι τρόποις θεραπευόμενα, οἷς ἂν πρὸς τοῖς εἰωθόσι
καὶ δύνωνται. καὶ γὰρ βοιωτοὺς, καὶ τοὺς πολλοὺς τῶν
ἄλλων, ὅσοι δζαναστήσαντές τινα, βίᾳ νέμονται γῆν, ἀλ=
λοτρίοις ἱεροῖς τοπρῶτον ἐπελθόντας, οἰκεῖα νῦν κεκτῆσθαι.
καὶ αὐτοὶ εἰ μὲν ἐπιπλέον δυνηθεῖεν καὶ ἐκείνων κρατῆ=
σαι, τοῦτ' ἂν ἔχειν. νῦν δὲ ἐν ᾧ μέρει εἰσὶν ἑκόντες εἶναι,
ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι, ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι,
ἣν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους προτέρους ἐπὶ
τὴν σφετέραν ἐλθόντας ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι.
πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ τε, καὶ δεινῷ τινι κατειρ=
γόμενον, ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ
τῶν ἀκουσίων ἁμαρτημάτων, καταφυγὴν εἶναι τοὺς βω=
μούς. παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομα=
σθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀτὴ τῶν ξυμφορῶν τι τολμήσασι,
τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦν=
τας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ
πρέποντα κομίζεσθαι. σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν,
μὴ ἀπιοῦσιν ἐκ καὶ βοιωτῶν γῆς. οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι
εἶναι,

εἶναι, ὧν ἢ δὲ δορὶ ἐκτήσαντο, ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς αὐτῶν θάπτεσθαι ἀναγκάζεσθαι. οἱ δὲ βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ὧν τῇ βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ φλιοῦντος αὐτῶν, ἀπορέειν τὰ σφέτερα. εἰ δὲ ὧν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες πὼ μὴ ὠμότητα ὧν ἢ τοὺς νεκροὺς ὧν μενδησίοις τε μάχης γενομένης καθαπερ ξυνέβη, ἀθιμώτως κατὰ δύναμιν εἶναι. νῦν οὖν ἂν αὐτοὺς βίᾳ σφῶν κρατήσαι αὐτῶν. οὐδ' ἂν ἐπένθοντο δικαίως ὑπὲρ φίλων ἐκείνων. τὸ δὲ ἐκ φλιοῦντος, εὐπρεπὲς εἶναι ἀποκρίνασθαι, ἀπιόντας, νῦν ἀπολαβεῖν, ἅπαντα θέσιν. ὁ δὲ κῆρυξ ἀκούσας, ἀπῆλθεν ἄπρακτος. οἱ δὲ βοιωτοὶ ἐνθὺς μεταπεμψάμενοι ἐκ τῆς μικλείας κόλπου ἀκόντισας, καὶ σφενδονήτας, καὶ βεβοκοτικότων αὐτοῖς μετὰ τῶν μάχιμων, κορινθίων τε καὶ λοκρῶν ὁπλιτῶν, καὶ τῶν ἐκ μυκάλης ξυλλελυθότων πελοποννησίων φρουρῶν, καὶ μεγαρέων ἅμα, ἐσβάντες ἐπὶ δίκλιον, καὶ προσέβαλον τῷ τειχίσματι. ἄλλῳ τε τρόπῳ πειράσαντες, καὶ μηχανὴν προσήγαγον, ἥπερ εἶλεν αὐτὸ, τοιάνδε. κεραίαν μεγάλην δίχα πρίσαντες, ἐκοίλαναν ἄσασαν. καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς, ὥσπερ αὐλόν. καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἁλύσεσι, καὶ ἀκροφύσιον ἀπὸ φλεκρᾶνας σιδηροῦν ἐς αὐτὸν νεῦον καθῆτο. καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα, καὶ τὸν ἄλλον ξύλου. προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξας ξύλων τείχει, ᾧ μάλιστα τῷ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο, καὶ ὁπότε εἴη ἐγγὺς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον φλεκρᾶνας, ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα σεγανῶς ἐς

νῶς ἐς τὸν λέβητα ἔχοντα ἄνθρακάς τε ἡμμένους, καὶ θεῖον,
καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην. καὶ ἧψε τοι τείχους,
ὥστε μηδένα ἐπ' αὐτοὶ ἔτι μεῖναι, ἀλλὰ ἀπολιπόντας, ἐς
φυγὴν καταστῆναι, καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶ-
ναι. τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθη-
σαν. τῶν δὲ ἄλλων τὸ πλῆθος, ἐς τὰς ναῦς ἐμβὰν, ἀπεκο-
μίσθησαν ἐπ' οἴκου. τοι δὲ δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ
ληφθέντος μετὰ τὴν μάχην, καὶ τοι ἀπὸ τῶν ἀθηναίων
κήρυκος οὐδὲν ἐπισταμένου τῶν γεγενημένων, ἐλθόντος
οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ βοιω-
τοί. καὶ οὐκέτι ταυτὰ ἀπεκρίναντο. ἀπέθανον δὲ βοιω-
τῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων. ἀθη-
ναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων, καὶ ἱπποκράτης ὁ στρατη-
γός. ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός. μετὰ δὲ τὴν
μάχην ταύτην, καὶ ὁ δημοσθένης ὀλίγῳ ὕστερον ὡς αὐτῷ
τότε πλεύσαντι, τὰ περὶ τὰς σίφας καὶ προδοσίας πέρι οὐ
προὐχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε ἀκαρνά-
νων, καὶ ἀγραίων, καὶ ἀθηναίων τετρακοσίους ὁπλίτας,
ἀπόβασιν ἐποιήσατο ἐς τὴν σικυωνίαν. καὶ πρὶν πάσας
τὰς ναῦς καταπλεῦσαι, βοηθήσαντες οἱ σικυώνιοι, τοὺς
ἀποβεβηκότας ἔτρεψαν, καὶ κατεδίωξαν ἐς τὰς ναῦς. καὶ
τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον. τροπαῖον
δὲ στήσαντες, τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν, ἀπέθανε
δὲ καὶ σιτάλκης ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέ-
ρας τοῖς ἐπὶ δηλίῳ, στρατεύσας ἐπὶ τριβαλλοὺς, καὶ νικη-
θεὶς μάχῃ. σεύθης δὲ ὁ σπαραδόκου, ἀδελφιδοῦς ὢν αὐτοὶ
ἐβασί-

ἐβασίλευεν ὀδρυσῶν τε, καὶ καὶ ἄλλης θρᾴκης, ἧς περ καὶ ἐκεῖνος. τοῦ δ' αὐτοῦ χειμῶνος βρασίδας ἔχων τοὺς ἐπὶ θρᾴκης ξυμμάχους, ἐστράτευσεν ἐς ἀμφίπολιν τὴν ἐπὶ στρυμόνι ποταμῷ, ἀθηναίων ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν, ἐπείρασε μὲν πρότερον, καὶ ἀρισταγόρας ὁ μιλήσιος φεύγων βασιλέα δαρεῖον κατοικίσαι, ἀλλὰ ὑπὸ ἠδώνων ἐξεκρούσθη. ἔπειτα δὲ καὶ οἱ ἀθηναῖοι, ἔτεσι δύο καὶ τριάκοντα ὕστερον ~~ἐπ' οἴκους~~ μυρίους σφῶν τε αὐτῶν, καὶ τῶν ἄλλων, τὸν βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν δραβησκῷ ὑπὸ θρᾳκῶν. καὶ αὖθις ἑνὸς δέοντος, τριακοστῷ ἔτει ἐλθόντες οἱ ἀθηναῖοι, ἄγνωνος τοῦ νικίου οἰκιστοῦ ἐκπεμφθέντος, ἠδῶνας ἐξελάσαντες, ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ καὶ ἠϊόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ καὶ νῦν πόλεως, ἣν ἀμφίπολιν ἄγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ στρυμόνος, διὰ τὸ περιέχειν αὐτὴν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν, περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. ἐπὶ ταύτην οὖν ὁ βρασίδας ἄρας ἐξ ἀρνῶν καὶ χαλκιδικῆς, ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν αὐλῶνα, καὶ βρωμίσκον, ᾗ ἡ βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος, ἐχώρει τὴν νύκτα. χειμὼν δὲ ἦν, καὶ ὑπένιφεν, ᾗ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ ἀμφιπόλει, πλὴν τῶν προδιδόντων. ἦσαν γὰρ ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες. εἰσὶ

ἀποικους

ρες. εἰσὶ δὲ οἱ ἀργίλιοι ἀνδρίων ἄποικοι. καὶ οἱ ἄλλοι, οἱ
ξυνέπρασσον ταῦτα, οἱ μὲν περδίκκᾳ πειθόμενοι, οἱ δὲ χαλ-
κιδεῦσι. μάλιστα δὲ οἱ ἀργίλιοι ἐγγύς τε προσοικοῦντες,
καὶ ἀεί ποτε τοῖς ἀθηναίοις ὄντες ὕποπτοι, καὶ ἐπιβουλεύοντες
τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς, καὶ βρασίδας ἦλ-
θεν, ἔπραξάν τε ἐκπλείονος πρὸς τοὺς ἐμπολιτεύοντας
σφῶν ἐκεῖ, ὅπως, εὐδοθήσεται ἡ πόλις. καὶ τότε δεξάμενοι
αὐτὸν τῇ πόλει, καὶ ἀποστάντες τῶν ἀθηναίων ἐκείνῃ τῇ
νυκτὶ κατέστησαν τὸν στρατὸν πρόσω ἐπὶ τὴν γέφυραν τοῦ
ποταμοῦ. ἀπέχει δὲ τὸ πόλισμα πλέον καὶ διαβάσεως.
καὶ οὐ καθεῖτο τείχη ὥσπερ νῦν. φυλακὴ δέ τις βραχεῖα
καθειστήκει, ἣν βιασάμενος ῥᾳδίως ὁ βρασίδας, ἅμα μὲν
καὶ προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος, καὶ
ἀπροσδοκήτως προσπεσὼν, διέβη τὴν γέφυραν, καὶ τὰ ἔξω
τῶν ἀμφιπολιτῶν, οἰκούντων κατὰ πᾶν τὸ χωρίον, εὐθὺς
εἶχε. καὶ δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γε-
γενημένης, καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων, τῶν δὲ
καὶ καταφευγόντων ἐς τὸ τεῖχος οἱ ἀμφιπολῖται ἐς
θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕπο-
πτοι ὄντες. καὶ λέγεται βρασίδαν εἰ ἠθέλησε μὴ ἐφ' ἁρ-
παγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς
τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν. νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρα-
τὸν, ἐπὶ τὰ ἔξω ἐπέδραμε. καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον
ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύχαζεν. οἱ δὲ ἐναντίοι, τοῖς
προδιδοῦσι κρατοῦντες τῷ πλήθει, ὥστε μὴ αὐτίκα τὰς πύ-
λας ἀνοίγεσθαι, πέμπουσι μετὰ εὐκλέους τοῦ στρατηγοῦ, ὃς
ἔτι τῶν

ἐπὶ τῶν ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου ἐπὶ τὸν ἕτερον στρατηγὸν τὸν ἐπὶ θράκης, θουκυδίδην τὸν ὀλόρου, ὃς τάδε ξυνέγραψεν ὄντα περὶ θάσον. ἔστι δὲ ἡ νῆσος παρίων ἀποικία, ἀπέχουσα καὶ ἀμφιπόλεως ἡμίσεως ἡμέρας μάλιστα πλοῦν, κελεύοντες σφίσι βοηθεῖν. καὶ ὁ μὲν ἀκούσας, κατατάχος ἑπτὰ ναυσὶν, αἳ ἔτυχον πρῶσαι ἔπλει, καὶ ἐβούλετο φθάσαι, μάλιστα μὲν οὖν τὴν ἀμφίπολιν πρὶν τι ἐνδοῦναι. εἰ δὲ μὴ, τὴν ἠϊόνα προκαταλαβών. ἐν τούτῳ δὲ ὁ βρασίδας δεδιὼς, καὶ τὴν ἀπὸ καὶ θάσου τῶν νεῶν βοήθειαν, καὶ πυνθανόμενος τὸν θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίους ἐν τῇ περὶ ταῦτα θρᾴκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκαταχεῖν εἰ δύναιτο τὴν πόλιν, μὴ ἀφικνουμένου αὐτοῦ, τὸ πλῆθος τῶν ἀμφιπολιτῶν ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν, καὶ ἀπὸ τῆς θρᾴκης ἀγείραντα αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχοροῖ. καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπὼν, ἀμφιπολιτῶν καὶ ἀθηναίων τῶν ἐνόντων τὸν μὴ βουλόμενον, ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας μετέχοντα μένειν. τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι, τὰ ἑαυτοῦ ἐκφερόμενον, πέντε ἡμερῶν. οἱ δὲ πολλοὶ ἀκούσαντες, ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας. ἄλλως τε καὶ βραχὺ μὲν ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. καὶ τῶν ἔξω ληφθέντων, συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν. καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον εἶναι ἐλάμβανον. οἱ μὲν ἀθηναῖοι, διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ,

Ϲ ἅμα οὖ προδεχόμενοι βοήθειαν ἐν τάχει. ὁ δὲ ἄλλος ὅμιλος, πόλεώς τε ἐν τῷ ἴσῳ οὐ στρισκόμενοι, καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι, ὥστε τῶν πρασσόντων τῷ βρασίδᾳ ἤδη Ϲ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτὰ, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τετραμμένον, καὶ τοῦ παρόντος ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία. καὶ προσεδέξαντο ἐφ' οἷς ἐκήρυξε. καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν. ὁ δὲ θουκυδίδης, Ϲ αἱ νῆες, ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν ἠϊόνα. καὶ τὰ μὲν ἀμφίπολιν, ὁ βρασίδας ἄρτι εἶχε, τὰ δὲ ὀϊόνα, παρὰ νύκτα ἐγένετο λαβεῖν. εἰ γὰρ μὴ ἐβοήθησαν αἱ νῆες διατάχους, ἅμα ἕῳ ἂν εἴχετο. μετὰ δὲ τοῦτο, ὁ μὲν τὰ ἐν τῇ ἠϊόνι καθίστατο, ὅπως Ϲ τοαυτίκα ἢν ὕλη ὁ βρασίδας, Ϲ τοέπειτα ἀσφαλῶς ἕξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπονδάς. ὁ δὲ πρὸς μὲν τὴν ἠϊόνα κατάτε τὸν ποταμὸν πολλοῖς πλοίοις ἄφνω καταπλεύσας, εἴπως τὴν προύχουσαν ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν, κρατοίη τοῦ ἔσπλου. καὶ κατὰ γῆν ἀτρπειράσας ἅμα, ἀμφοτέρωθεν ἀπεκρούσθη. τὰ δὲ περὶ τὰ ἀμφίπολιν ἐξηρτύετο. καὶ μύρκινός τε αὐτῷ προσεχώρησεν ἠδωνικὴ πόλις. πιττακοῦ τοῦ ἠδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν γοάξιος παίδων, καὶ βραυροῦς καὶ γυναικὸς αὐτοῦ. καὶ γάψηλος οὐ πολλῷ ὕστερον, καὶ οἴσυμη. εἰσὶ δὲ αὗται θασίων ἀποικίαι. παρὼν δὲ καὶ περδίκκας εὐθὺς μετὰ τὴν ἄλλωσιν, ξυγκαθίστη ταῦτα. ἐχομένης δὲ καὶ ἀμφιπόλεως, οἱ ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν. ἄλλως τε Ϲ

ὅτι ἡ

ἀποθνήσκειν ὑπὸ τινος

ὅτι ἡ πόλις ἦν αὐτοῖς ὠφέλιμος, ξύλων τε ναυπηγησί-
μων πομπῇ, καὶ χρημάτων προσόδῳ. καὶ ὅτι μέχρι μὲν
τοῦ στρυμόνος ἦν πάροδος, θεσσαλῶν διαγόντων, ἐπὶ τοὺς
ξυμμάχους σφῶν τοῖς λακεδαιμονίοις. τῆς δὲ γεφύρας
μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπιπολὺ λίμ-
νης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς ἠϊόνα τριήρεσι τηρουμένων,
οὐκ ἂν δύνασθαι προσελθεῖν, τότε δὲ ῥᾳδία ἤδη ἐνόμιζετο
γεγενῆσθαι. καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο, μὴ ἀποστῶ-
σιν. ὁ γὰρ βρασίδας ἐν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν
παρεῖχε, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου, ὡς ἐλευ-
θερώσων τὴν ἑλλάδα ἐκπεμφθείη. καὶ αἱ πόλεις πυν-
θανόμεναι. αἱ τῶν ἀθηναίων ὑπήκοοι, καὶ τε ἀμφιπόλεως
τὴν ἅλωσιν, καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πρᾳότητα.
μάλιστα δὴ ἐπήρθησαν εἰς τὸ νεωτερίζειν. ὃς ἐπεκηρυκεύοντο
πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε κελεύοντες, καὶ βουλό-
μενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι. καὶ γὰρ ὃς ἄδεια
ἐφαίνετο αὐτοῖς ἐψευσμένοις μὲν καὶ ἀθηναίων δυνάμεως
ἐπὶ τοσοῦτον, ὅσον ὕστερον διεφάνη. τὸ δὲ πλέον βουλήσει
κρίνοντες ἀσαφεῖ, ἢ προνοίᾳ ἀσφαλεῖ, εἰωθότες οἱ ἄνθρω-
ποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι. ὃ
δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. ἅμα
δὲ τῶν ἀθηναίων ἐν τοῖς βοιωτοῖς νεωστὶ πεπληγμένων, ὃς
τοῦ βρασίδου ἐφολκὰ, καὶ οὐ τὰ ὄντα λέγοντος ὡς αὐτῷ
ἐπὶ νίσαιαν τῇ ἑαυτοῦ μόνῃ στρατιᾷ, οὐκ ἠθέλησαν οἱ ἀθη-
ναῖοι ξυμβαλεῖν, ἐθάρρουν καὶ πλεῖστον μηδένα ἂν πλεῖ-
σφας βοηθῆσαι. τὸ δὲ μέγιστον διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ
αὐτίκα,

ἀυτίκα, καὶ ὅτι τὸ πρῶτον λακεδαιμονίων ὀργώντων, ἔμελ-
λον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἕτοιμοι ἦσαν.
ὧν αἰσθανόμενοι, οἱ μὲν ἀθηναῖοι φυλακὰς, ὡς ὄζ ὀλίγου
καὶ ἐν χειμῶνι διέπεμπον ἐς τὰς πόλεις. ὁ δὲ ἐς τὴν λα-
κεδαίμονα ἐπιέμενος, στρατιάν τε πρόσαποστέλλειν ἐκέ-
λευε, καὶ αὐτὸς ἐν τῷ στρυμόνι ναυπηγίαν τριήρων πρεσκε-
υάζετο. οἱ δὲ λακεδαιμόνιοι, τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν
πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ βουλό-
μενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσα-
σθαι, καὶ τὸν πόλεμον καταλῦσαι. τοι δ' αὐτοι χειμῶ-
νος, μεγαρῆς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ ἀθηναῖοι
εἶχον, κατέσκαψαν ἑλόντες ἐς ἔδαφος. καὶ βρασίδας
μετὰ τὴν ἀμφιπόλεως ἅλωσιν ἔχων τοὺς ξυμμάχους,
στρατεύει ἐπὶ τὴν ἀκτὴν καλουμένην. ἔστι δὲ ἀπὸ τοῦ βα-
σιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ ἄθως αὐτῆς
ὄρος ὑψηλὸν, τελευτᾷ ἐς τὸ αἰγαῖον πέλαγος. πόλεις δὲ
ἔχει, σάμην μὲν ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώρυχα
ἐς τὸ πρὸς εὔβοιαν πέλαγος τετραμμένην. τὰς δὲ ἄλλας
θύσσον, καὶ κλεωνὰς, καὶ ἀκροθώους, καὶ ὀλόφυξον, καὶ
δῖον, αἳ οἰκοῦντι ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσ-
σων. καί τι καὶ χαλκιδικὸν ἔνι βραχύ. τὸ δὲ πλεῖστον πε-
λασγικὸν, τῶν καὶ λῆμνόν ποτε καὶ ἀθήνας τυρσηνῶν
οἰκησάντων, καὶ βισαλτικὸν, καὶ κρηστωνικὸν, καὶ ἤδωνες. καὶ
δὲ μικρὰ πολίσματα οἰκοῦσι. καὶ οἱ μὲν πλείους, προ-
σεχώρησαν τῷ βρασίδᾳ. σάμη δὲ καὶ δῖον ἀντέστη. καὶ
αὐτῶν τὴν χώραν ἐμμείνας, τῷ στρατῷ ἐδῄου. ὡς δ' οὐκ
ἐσήκουον

ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ τορώνην τὴν χαλκιδικὴν, κατεχομένην ὑπὸ ἀθηναίων. καὶ αὐτὸν ἄνδρες ὀλίγοι ἐπήγοντο, ἕτοιμοι ὄντες τὴν πόλιν παραδοῦναι. καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ, ἐκαθέζετο πρὸς τὸ διοσκούρειον, ὃ ἀπέχει τῆς πόλεως τρεῖς μάλιστα σταδίους. τὴν μὲν οὖν ἄλλην πόλιν τῶν τορωναίων, καὶ τοὺς ἀθηναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν. οἱ δὲ πράσσοντες αὐτῷ, εἰδότες ὅτι ἥξοι, καὶ προσελθόντες τινὲς αὐτῶν λάθρα ὀλίγοι, ἐτήρουν τὴν πρόσοδον. ὡς ἤσθοντο παρόντα, ἐσκομίζουσι παρ' αὐτοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἑπτά. τοσοῦτοι γὰρ μόνον ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων, οὐ κατέδεισαν ἐσελθεῖν. ἦρχε δὲ αὐτῶν λυσίστρατος ὀλύνθιος. οἱ διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους, καὶ λαθόντες, τούς τε ἐπὶ τοῦ ἀνώτατα φυλακτηρίου φρουροὺς, οὔσης τῆς πόλεως πρὸς τὸν λόφον, ἀναβάντες διέφθειραν, καὶ τὴν κατὰ καναστραῖον πυλίδα διήρουν. ὁ δὲ βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν, ὀλίγον προελθών. ἑκατὸν δὲ πελτασὰς προπέμπει, ὅπως ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν, τὸ σημεῖον ἀρθείη, ὃ ξυνέκειτο, πρῶτοι ἐς δράμοιεν. καὶ οἱ μὲν χρόνου ἐγγιγνομένου, καὶ θαυμάζοντες, καταμικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες. οἱ δὲ τῶν τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν ἐσεληλυθότων, ὡς αὐτοῖς ἥτε πυλὶς διήρητο, καὶ αἱ κατὰ τὴν ἀγορὰν πύλαι, τοῦ μοχλοῦ διακοπέντος ἀνεώγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς πριαγαγόντες ἐσεκομίσαντο, ὅπως κατὰ νώτου, καὶ ἀμφοτέρωθεν,

τέρωθεν, τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδότας ἐξαπίνης φοβή-
σειαν. ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρός, ὡς εἴρηται ἀνέσχον.
καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς λοιποὺς ἤδη τῶν
πελταστῶν ἐσεδέχοντο. καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα,
ἔθει δρόμῳ ἀναστήσας τὸν στρατὸν, ἐμβοήσαντάς τε ἀθρόον,
καὶ ἔκπληξιν πολλὴν τοῖς ἐν τῇ πόλει παρασχόντας. καὶ
οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς ἐσέπιπτον. οἱ δὲ κατὰ δοκοὺς
τετραγώνους, αἳ ἔτυχον τῷ τείχει πεπτωκότι, καὶ οἰκο-
δομουμένῳ, πρὸς λίθων ἀνολκὴν προσκείμεναι. Βρασίδας
μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω καὶ ἐπὶ τὰ μετέωρα
τῆς πόλεως ἐτράπετο, βουλόμενος κατ' ἄκρας καὶ βε-
βαίως ἑλεῖν αὐτήν. ὁ δὲ ἄλλος ὅμιλος κατὰ πάντα
ὁμοίως ἐσκεδάννυντο. τῶν δὲ τοξωναίων γιγνομένης τῆς
ἁλώσεως, τὸ μὲν πολὺ οὐδὲν εἰδὸς, ἐθορυβεῖτο. οἱ δὲ πράσ-
σοντες, καὶ οἷς ταῦτα ἤρεσκε, μετὰ τῶν εἰσελθόντων εὐθὺς
ἦσαν. οἱ δὲ ἀθηναῖοι (ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται
καθεύδοντες ὡς πεντήκοντα) ἐπειδὴ ᾔσθοντο, οἱ μὲν τινες
ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν. τῶν δὲ λοιπῶν. οἱ
μὲν πεζῇ, οἱ δὲ ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο καταφυγόν-
τες, διασώζονται ἐς τὴν λήκυθον τὸ φρούριον, ὃ εἶχον αὐτοὶ
καταλαβόντες ἄκρον τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπει-
λημμένον ἐν στενῷ ἰσθμῷ. κατέφυγον δὲ καὶ τῶν τοξωναίων
ἐς αὐτοὺς, ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι. γεγενημένης δὲ
ἡμέρας ἤδη, καὶ βεβαίως τῆς πόλεως ἐχομένης, ὁ Βρασί-
δας τοῖς μὲν μετὰ τῶν ἀθηναίων τοξωναίοις καταπεφευ-
γόσι, κήρυγμα ἐποιήσατο, τὸν βουλόμενον ἐπὶ τὰ ἑαυτοῦ
ἐξελθόντα,

ἐξελθόντα, ἀδεῶς πολιτεύειν. τοῖς δὲ ἀθηναίοις κήρυκα
προσπέμψας, ἐξιέναι ἐκέλευον ἐκ καὶ λακύθου ὑποσπόν-
δους, καὶ τὰ ἑαυτῶν ἔχοντας, ὡς οὔσης χαλκιδέων. οἱ δὲ
ἐκλείψειν μὲν οὐκ ἔφασαν, πείσασθαι δὲ σφίσιν ἐκέλε-
υον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. ὁ δὲ ἐπείσατο δύο.
ἐν τάυταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατάνατο, καὶ
ἀθηναῖοι τὰ σφέτερα. Ⓒ ξύλλογον τῶν τορωναίων ποιή-
σας, ἔλεξε τοῖς ἐν τῇ ἀκάνθῳ παραπλήσια, ὅτι οὐ δίκαιον
εἴη, οὔτε τοὺς πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν καὶ πό-
λεως χείρους, οὐδὲ προδότας ἡγεῖσθαι. οὐδὲ γὰρ ἐπὶ δου-
λείᾳ, οὐδὲ χρήμασι πεισθέντας δρᾶσαι τοῦτο, ἀλλ' ἐπὶ ἀ-
γαθῷ καὶ ἐλευτερίᾳ καὶ πόλεως, οὔτε τοὺς μὴ μεταχόν-
τας οἴεσθαι, μὴ τῶν αὐτῶν τεύξεσθαι. ἀφῖχθαι γὰρ οὐ
διαφθερῶν οὔτε πόλιν, οὔτε ἰδιώτην οὐδένα. τὸ δὲ κήρυγ-
μα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' ἀθηναίους κατα-
πεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φι-
λίᾳ, οὐδ' ἂν σφῶν πειρασαμένους αὐτοὺς τῶν λακεδαιμο-
νίων δοκεῖν ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον ὅσῳ δικαιότερα
πράσσουσιν, εὔνους ἂν σφίσι γενέσθαι, ἀπειρίᾳ δὲ νῦν πε-
φοβῆσθαι, τούς τε πάντας παρασκευάζεσθαι ἐκέλευεν, ὡς
βεβαίους τε ἐσομένους ξυμμάχους, καὶ τὰ ἀπὸ τοῦδε ἤδη
ὅτι ἂν ἁμαρτάνωσιν, αἰτίαν ἕξοντας. τὰ δὲ πρότερα οὐ
σφεῖς ἀδικεῖσθαι, ἀλλ' ἐκείνους μᾶλλον ὑπ' ἄλλων κρεισσό-
νων. καὶ ξυγγνώμην εἶναι, εἴ τι ἠναντιοῦντο. καὶ ὁ μὲν
τοιαῦτα εἰπὼν, Ⓒ καθαρσάνας, διελθουσῶν τῶν σπονδῶν,
τὰς προσβολὰς ἐποιεῖτο τῇ λακύθῳ. οἱ δὲ ἀθηναῖοι ἠμυ-

νοντό τε ἐκ φαύλου τειχίσματος, καὶ ἀπ' οἰκιῶν, ἐπάλ-
ξεις ἐχουσῶν. καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο. τῇ δ'
ὑστεραίᾳ, μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν
ἐναντίων, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα πρα-
φράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, ἧ
ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μηχανὴν, καὶ ἦν
ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα ἀντέστησαν,
καὶ ὕδατος ἀμφορέας πολλοὺς, καὶ πίθους ἀνεφόρησαν,
καὶ λίθους μεγάλους, ἄνθρωποί τε πολλοὶ ἀνέβησαν. τὸ
δὲ οἴκημα λαβὸν μεῖζον ἄχθος, ἐξαπίνης κατεῤῥάγη.
καὶ ψόφου πολλοῦ γενομένου, τοὺς μὲν ἐγγὺς ὁρῶντας
τῶν ἀθηναίων, ἐλύπησε μᾶλλον, ἢ ἐφόβησεν. οἱ δὲ ἄπω-
θεν, καὶ μάλιστα οἱ διὰ πλείστου νομίσαντες ταύτῃ ἑαλω-
κέναι ἤδη τὸ χωρίον, φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς
ὥρμησαν. καὶ ὁ βρασίδας ὡς ᾔσθετο αὐτοὺς ἀπολείπον-
τάς τε τὰς ἐπάλξεις, καὶ τὸ γιγνόμενον ὁρῶν, ἐπιφερό-
μενος τοῦ στρατῷ, εὐθὺς τὸ τείχισμα λαμβάνει. ὃ ὅσους
ἐγκατέλαβε, διέφθειρε. καὶ οἱ μὲν ἀθηναῖοι, τοῖς δὲ πλοίοις
καὶ ταῖς ναυσὶ τούτῳ τοῦ τρόπῳ ἐκλιπόντες τὸ χωρίον,
ἐς παλλήνην διεκομίσθησαν. ὁ δὲ βρασίδας (ἔστι γὰρ ἐν
τῇ λικύθῳ ἀθηνᾶς ἱερὸν) καὶ ἔτυχε κηρύξας ὅτε ἔμελλε
προσβάλλειν τοῦ ἐπιβάντι πρώτῳ τοῦ τείχους, τριάκοντα
μνᾶς ἀργυρίου δώσειν, νομίσας ἄλλῳ τινὶ τρόπῳ, ἢ ἀν-
θρωπείῳ τὴν ἅλωσιν γενέσθαι, τάς τε τριάκοντα μνᾶς
τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερόν. καὶ τὴν λήκυθον καθελὼν,
καὶ ἀνασκευάσας, τέμενος ἀνῆκεν ἅπαν. καὶ ὁ μὲν
τολοιπὸν

τολοιπὸν τοῦ χειμῶνος ἅτε εἶχεν τῶν χωρίων καθίσαντο, καὶ τοῖς ἄλλοις ἐπεβούλευε. καὶ τοῦ χειμῶνος διελθόντος, ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ. λακεδαιμόνιοι δὲ καὶ ἀθηναῖοι, ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους, εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον, νομίσαντες ἀθηναῖοι μὲν, οὐκ ἂν ἔτι τὸν βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν, πρὶν παρασκευάσαντο καθ' ἡσυχίαν. καὶ ἅμα εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω. λακεδαιμόνιοί τε ταῦτα τοὺς ἀθηναίους ἡγούμενοι ἅπερ ἔδεισαν φοβεῖσθαι, καὶ γενομένης ἀνακωχῆς κακῶν, καὶ ταλαιπωρίας μᾶλλον ἐπιθυμήσειν αὐτοὺς πειρασαμένους ξυναλλαγῆναί τε, καὶ τοὺς ἄνδρας σφίσιν ἀποδόντας, σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι βρασίδας εὐτύχει. καὶ ἔμελλον ἐπὶ μεῖζον, χωρησάντος αὐτοῦ, καὶ ἀντίπαλα καταστήσαντος, τῶν μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι, κινδυνεύσειν, καὶ κρατήσειν. γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε, καὶ τοῖς ξυμμάχοις, ἥδε. περὶ μὲν τοῦ ἱεροῦ, καὶ τοῦ μαντείου τοῦ ἀπόλλωνος τοῦ πυθίου, δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους, τοῖς μὲν λακεδαιμονίοις ταῦτα δοκεῖ, καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσι. βοιωτοὺς δὲ καὶ φωκέας, πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι. περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ, ἐπιμελεῖσθαι ὅπως τοὺς ἀδικοῦντας ἐξευρήσωμεν, ὀρθῶς καὶ δικαίως τοῖς πατρίοις νόμοις χρώμενοι καὶ ὑμεῖς, καὶ ἡμεῖς. καὶ τῶν

ἄλλων οἱ βουλόμενοι τοῖς πατρίοις νόμοις χρώμενοι πάντες. περὶ μὲν οὖν τούτων, ἔδοξε λακεδαιμονίοις, καὶ τοῖς ἄλλοις ξυμμάχοις, ἐὰν σπονδὰς ποιῶνται οἱ ἀθηναῖοι, ἐπὶ τῆς ἑαυτῶν μένειν ἑκατέρους, ἔχοντας ἅπερ νῦν ἔχομεν. τοὺς μὲν ἐν τῷ κορυφασίῳ ἐντὸς καὶ βουφράδος, καὶ τοῦ τομέως μένοντας. τοὺς δὲ ἐν κηθύροις, μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν, μήτε ἡμᾶς πρὸς αὐτοὺς, μήτε αὐτοὺς πρὸς ἡμᾶς. τοὺς δὲ ἐν νισαίᾳ καὶ μινῴᾳ, μὴ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν πυλῶν τῶν παρὰ τοῦ νίσου ἐπὶ τὸ ποσειδώνιον. ἀπὸ δὲ τοῦ ποσειδωνίου εὐθὺς ἐπὶ τὴν γέφυραν τὴν ἐς μίνῳαν. μηδὲ μεγαρέας καὶ τοὺς ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην, καὶ τὴν νῆσον, ἣν περ ἔλαβον οἱ ἀθηναῖοι ἔχοντες, μήτε ἐπιμισγομένους μηδετέρους, μηδ' ἑτέρωσε. καὶ τὰ ἐν τροίζηνι ὅσα περ νῦν ἔχουσι, καὶ οἷα ξυνέθεντο πρὸς ἀθηναίους, καὶ τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν ἑαυτῶν, καὶ κατὰ τὴν ξυμμαχίαν, λακεδαιμονίους, καὶ τοὺς ξυμμάχους πλεῖν μὴ μακρὰ νηΐ, ἄλλῳ δὲ κωπήρει πλοίῳ, ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα. κήρυκι δὲ καὶ πρεσβείᾳ, καὶ ἀκολούθοις, ὁπόσοις ἂν δοκῇ περὶ καταλύσεως τοῦ πολέμου, καὶ δικῶν, ἐς πελοπόννησον, καὶ ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι καὶ κατὰ γῆν, καὶ κατὰ θάλασσαν. τοὺς δὲ αὐτομόλους, μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ, μήτε ἐλεύθερον, μήτε δοῦλον, μήτε ὑμᾶς, μήτε ἡμᾶς. δίκας τε διδόναι ὑμᾶς τε ἡμῖν, καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ πάτρια, τὰ ἀμφίλογα, δίκῃ διαλύοντας, ἄνευ πολέμου. τοῖς μὲν λακεδαιμονίοις καὶ

τοῖς

τοῖς ξυμμάχοις ταῦτα δοκεῖ. εἰ δέ τι ὑμῖν εἴτε κἀλλιώτερον εἴτε δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες ἐς λακεδαίμονα, διδάσκετε. οὐδενὸς γὰρ ἀποστήσονται. ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ λακεδαιμόνιοι, οὔτε οἱ ξύμμαχοι. οἱ δὲ ἰδόντες, τέλος ἔχοντες ἰόντων, ἦπερ ὁ ὑμεῖς ἡμᾶς κελεύετε. ἁι δὲ πονδαὶ, ἐνιαυτὸν ἔσονται, ἔδοξε τῷ δήμῳ ἀκάμαντις ἐπρυτάνευε, φαίνιππος ἐγραμμάτευε, νικιάδης ἐπεστάτει. λάχης εἶπε τύχῃ ἀγαθῇ τῇ ἀθηναίων, ποιεῖσθαι τὴν ἐκεχειρίαν, καθὰ ξυγχωροῦσι λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι αὐτῶν, καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτόν. ἀρχὴν δὲ τήνδε τὴν ἡμέραν τετράδα ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶνος μηνός. ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις, καὶ κήρυκας, ποιεῖσθαι τοὺς λόγους καθότι ἔσται ἡ κατάλυσις τοῦ πολέμου. ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατυγοὺς, καὶ τοὺς πρυτάνεις πρῶτον περὶ καὶ εἰρήνης βουλεύσασθαι ἀθηναίους καθότι ἂν εἰσίῃ ἡ πρεσβεία περὶ καὶ καταλύσεως τοῦ πολέμου. πείσασθαι δὲ αὐτίκα μάλα τὰς πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας, ἢ μὴν ἐμμενεῖν ἐν ταῖς πονδαῖς τὸν ἐνιαυτόν. ταῦτα ξυνέθεντο λακεδαιμόνιοι, καὶ ὡμολόγησαν καὶ οἱ ξύμμαχοι ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις μηνὸς ἐν λακεδαίμονι γεραστίου δωδεκάτῃ. ξυνετίθεντο δὲ, καὶ ἐπένδοντο λακεδαιμονίων μὲν οἵδε ταῦρος, ἐχετιμίδα. ἀθήναιος, περικλείδα. φιλοχαρίδας, ἐρυξιδαΐδα. κορινθίων δὲ αἰνέας, ὠκύτου. εὐφαμίδας, ἀριστωνύμου. σικυωνίων δὲ δαμότιμος, ναυκράτους.

ὀνάσιμος,

ὀνάσιμος, μεγακλέους μεγαρέων τὴν νίκασος, κεκάλυ.
μενεκράτης, ἀμφιδώρου. ἐπιδαυρίων δὲ ἀμφίας, εὐπαΐ-
δα. ἀθηναίων δὲ οἱ στρατηγοὶ νικόστρατος, διϊτρεφοῦς.
νικίας, νικηράτου. αὐτοκλῆς, τολμαίου. ἡ μὲν δὴ ἐκεχειρία
αὕτη ἐγένετο. καὶ ξυνήεσαν ἐν αὐτῇ περὶ τῶν μειζόνων
σπονδῶν διαπαντὸς ἐς λόγους. περὶ δὲ τὰς ἡμέρας ταν-
τας, αἷς ἐπήρχοντο, σκιώνη ἐν τῇ πελλήνῃ πόλις, ἀπέστη
ἀπ' ἀθηναίων πρὸς βρασίδαν. φασὶ δὲ οἱ σκιωναῖοι,
πελλήνῃς μὲν εἶναι ἐκ πελοποννήσου, πλέοντας δ' ἀπὸ
τροίας σφῶν τοὺς πρώτους, κατενεχθῆναι ἐς τὸ χωρίον
τοῦτο τῷδ' χειμῶνι, ᾧ ἐχρήσαντο ἀχαιοὶ, καὶ αὐτοὶ οἰκῆ-
σαι. ἀποστᾶσι δ' αὐτοῖς, ὁ βρασίδας διέπλευσε νυκτὸς ἐς
τὴν σκιώνην, τριήρει μὲν φιλίᾳ προσπλεούσῃ. αὐτὸς δὲ ἐν
κελητίῳ ἄπωθεν ἐφεπόμενος, ὅπως εἰ μέν τινι τοι κέλη-
τος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμάνοι αὐ-
τῷ. ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης, οὐ πρὸς
τὸ ἔλασσον νομίζων τρέψεσθαι, ἀλλ' ἐπὶ τὴν ναῦν, καὶ ἐν
τούτῳ αὐτὸν διασώσει. περαιωθεὶς δὲ ὁ ξύλλογον ποιή-
σας τῶν σκιωναίων, ἔλεγεν ἅ τε ἐν τῇ ἀκάνθῳ, καὶ πρώνῃ,
καὶ προσέτι φάσκων ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵ
τινες καὶ πελλήνης ἐν τῷδ' ἰσθμῷ ἀπειλημμένης ὑπὸ ἀθη-
ναίων, ποτίδαιαν ἐχόντων, καὶ ὄντες οὐδὲν ἄλλο, ἢ νησιῶ-
ται, αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν. καὶ
οὐκ ἀνέμειναν ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι,
περὶ τοι φανερῶς οἰκείου ἀγαθοῦ σημεῖόν τ' εἶναι τοι ὁ
ἀλλότι ἂν αὐτοὺς τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι, εἰ τε-
θήσεται

ἥσεται κατὰ νοῦν τὰ πράγματα. πιστοτάτους τε τῇ
ἀληθείᾳ ἡγήσεσθαι αὐτοὺς λακεδαιμονίων φίλους, καὶ
τἆλλα τιμήσειν. καὶ οἱ μὲν σκιωναῖοι ἐπῃνέθησάν τε τοῖς
λόγοις. καὶ θαρσήσαντες πάντες ὁμοίως, καὶ οἷς πρότε-
ρον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε πόλεμον διεγνώσθη
προθύμως οἴσειν, καὶ τὸν Βρασίδαν, τά τ' ἄλλα καλῶς
ἐδέξαντο. καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν, de publicis sumptibus
ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα. ἰδίᾳ δέ, ἐταινίουν τε, καὶ
προσήρχοντο, ὥσπερ ἀθλητῇ. ὁ δὲ τότε παραυτίκα φυλα-
κὰς μὲν ἃς αὐτοῖς ἐγκαταλιπὼν, διέβη πάλιν. καὶ ὕστερον
οὐ πολλῷ στρατιὰν πλείω ἐπεραίωσε. βουλόμενος μετ'
αὐτῶν φίλος τε μᾶλλον, καὶ φίλον πολιτείας ἀποπειράσαι,
ἠγόμενος καὶ τοὺς ἀθηναίους βοηθῆσαι ἂν ὡς ἐς νῆσον, Ad hanc inuehebat
καὶ βουλόμενος φθάσαι. καί τοι ἡ Ἀμφίπολις ἐπράσσετο
ἐς τὰς πόλεις ταύτας προδοσίας πέρι. καὶ ὁ μὲν ἐμελ-
λεν ἐγχειρήσειν τοῖς πόλεσι ταύταις. ὧν τότε δὲ τηνι-
καῦτα οἱ τὴν ἐκεχειρίαν πρασαγγέλοντες ἀφικνοῦνται παρ'
Ἀθηναίους μὲν, ἀρισώνυμος. λακεδαιμονίων δὲ,
Ἀθηναῖος. καὶ ὁ μὲν στρατιὰν, πάλιν διέβη ἐς τορώνην. οἱ
δὲ ἐς Βρασίδαν ἀπήγγελον τὴν ξυνθήκην. καὶ ἐδέξαντο
πάντες οἱ ἐπὶ θρᾴκης ξύμμαχοι λακεδαιμονίων τὰ πε-
πραγμένα. ἀρισώνυμος δὲ τοῖς μὲν ἄλλοις, κατῆνε.
σκιωναίους δὲ ἀπολόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν ὅτι Anacoluthon ἐφην ἐγὼ
ὕστερον ἀφεσήκοιεν, οὐκ ἔφη γνώμονας ἔσεσθαι. βρασί- chronis.
δας δὲ ἀντέλεγε πολλὰ ὡς πρότερον, καὶ οὐκ ἀφίει τὴν
πόλιν. ὡς δ' ἀπήγγελον ἐς τὰς Ἀθήνας ὁ ἀρισώνυμος

ἤρεσκε Simon. Aa πρὶ

πρὸ αὐτῶν, οἱ ἀθηναῖοι εὐθὺς ἕτοιμοι ἦσαν στρατεύειν ἐπὶ τὴν σκιώνην. οἱ δὲ λακεδαιμόνιοι πρέσβεις πέμψαντες παρεκάλεσαν ἔφασαν αὐτοὺς τὰς σπονδάς. καὶ οἱ πόλεως ἀντεποιοῦντο, βρασίδᾳ πιστεύοντες. δίκην τε ἕτοιμοι ἦσαν πρὸ αὐτῆς κρίνεσθαι. οἱ δὲ δίκην μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι, εἰ καὶ οἱ τῶν νήσων ἤδη ὄντες, ἀξιοῦσι σφῶν ἀφίστασθαι τῇ κατὰ γῆν λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. εἶχε δὲ καὶ ἀλήθεια πρὸ οἱ ἀποστάσεως μᾶλλον, ἢ οἱ ἀθηναῖοι ἐδικαίουν. δύο γὰρ ἡμέρας ὕστερον ἀπέστησαν οἱ σκιωναῖοι. φήσματί εὐθὺς ἐποιήσαντο, κλέωνος γνώμῃ πεισθέντες, σκιωναίους ἀνδραποδίσαι τε, καὶ ἀποκτεῖναι. καὶ τἄλλα ἥσσιχάζοντες, ἐς τοῦτο παρεσκευάζοντο. ὀργῇ τούτῳ δὲ μάλιστα ἀφίσαται αὐτῶν πόλις ἐν τῇ παλαιᾷ, ἐπιτρίβουν ἀποικία. καὶ αὐτοὺς ἐδέξατο ὁ βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν. ἔστι γὰρ ἃ καὶ αὐτὸς ἐνεκάλει τοῖς ἀθηναίοις παραβαίνειν τὰς σπονδάς. διὸ καὶ οἱ μενδαῖοι μᾶλλον ἐτόλμησαν, τῷ τε τοῦ βρασίδου γνώμῃ, ὀρθῶντες ἐπίμαλλα, πεπαιζόμενοι ὑπὸ σκιώνης, ὅτι οὐ προὐδίδου. καὶ ἅμα τῶν πραγμάτων σφίσιν ὀλίγων τε ὄντων, καὶ ὡς τότε ἐμέλλησαν, οὐκέτι ἀνέντων, ἀλλὰ πρὸς σφίσιν αὐτοῖς φοβουμένων τὸ κατάδηλον, καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς. οἱ δὲ ἀθηναῖοι εὐθὺς πυθόμενοι πολλῷ ἔτι μᾶλλον ὀργισθέντες, παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις. βρασίδας προσδεχόμενος τὸν πλοῦν

τὸν τῶν ἵππλοων αὐτῶν, ὑπεκκομίζεα ἐς ὅλωθον τῶν χαλκιδικῶν παῖδας, καὶ γυναῖκας τῶν σκιωναίων, καὶ μυριάδων, καὶ τῶν πελοποννησίων αὐτοῖς πεντακοσίους ὁπλίτας διέπεμψε, καὶ πελτασὰς τριακοσίους χαλκιδέων, ἄρχοντά τε τῶν ἀπ' αὐτῶν πολυδαμίδαν. καὶ οἱ μὲν τὰ πρόσφορα αὐτοὺς ὡς ἐν τάχει παρεσομένων τῶν ἀθηναίων, κοινῇ ἐυτρεπίζοντο, βρασίδας δὲ καὶ πορδίκκας, ὧν τότε στρατεύσιμα ἅμα ἐπὶ ἀρρίβαιον, τοσεύτορον ἐς λύγκον. καὶ ἦγον ὁ μὲν ἐκ μακεδόνων τῶν διαμνήμην, καὶ τῶν οἰνοκοώτων ἑκκαίδεκα ὁπλίτας. ὁ δὲ πρὸς τοῖς αὐτοῖς πελοποννησίοις τῶν πελοποννησίων, χαλκιδέας, καὶ ἀκανθίους, καὶ τῶν ἄλλων μετὰ διαμνήμην ἑκάστων. ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν ἑκκαίδεκα χιλίοι μάλιστα. ἱππῆς δ' οἱ πάντες ἠκολούθουν μακεδόνων ξὺν χαλκιδεῦσιν ὀλίγῳ ἐς χιλίους. καὶ ἄλλο ὅμιλο τῶν βαρβάρων πολύ. ἐσβαλόντες δὲ ἐς τὸν ἀρρίβαιον, καὶ εὑρόντες ἀντεσκαμμένους ἀντοῖς τοὺς λυγκηστὰς, ἀντικαθέζοντο καὶ αὐτοί. καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθε, πεδίον δὲ τὸ μέσον ὄντο, οἱ ἱππῆς ἐς αὐτὸ καταβαίνοντες, ἱππομάχησαν πρῶτα ἀμφοτέρων. ἔπειτα δὲ καὶ ὁ βρασίδας, καὶ ὁ πορδίκκας, προελθόντων προτέρων ἀπὸ τοῦ λόφου μετὰ τῶν ἱππέων τῶν λυγκηστῶν ὁπλιτῶν, καὶ ἐπιόντων μάχεσθαι ἀντιπαγαγόντες, καὶ αὐτοὶ ξυνέβαλον, καὶ ἔτρεψαν τοὺς λυγκηστάς. καὶ πολλοὺς μὲν διέφθειραν. οἱ δὲ λοιποὶ διαφεύγοντες πρὸς τὰ μετέωρα ἠύχαζον. μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες, δύο μὲν

τρεῖς ἡμέρας ἐπέσχον, τοὺς ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον
τῷ πορδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν. ἔπειτα ὁ πορδίκ-
κας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ ἀρρίβαίου κώμας, καὶ
μὴ καθῆσθαι. βρασίδας καὶ τε μένδης περιορώμενος,
μὴ τῶν ἀθηναίων πρότερον ἐπιπλευσάντων τὶ παθῇ, ⓒ 5.
ἅμα τῶν ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν, ἀλλὰ
ἀναχωρεῖν μᾶλλον. καὶ ἐν τούτῳ διαφορομένων αὐτῶν,
ἠγγέλθη ὅτι καὶ οἱ ἰλλυριοὶ μετ' ἀρρίβαίου προδόντες πρ-
δίκκαν γεγένηνται, ὥστε ἤδη ἀμφοτέροις, μὲν δοκοῦν ἀνα-
χωρεῖν διὰ τὸ δέος αὐτῶν, ὄντων ἀνθρώπων μαχίμων. 10.
κυρωθὲν δὲ οὐδὲν ἐκ καὶ διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι,
νυκτός τε ἐπιγενομένης, οἱ μὲν μακεδόνες, καὶ τὸ πλῆ-
θος τῶν βαρβάρων ἐνθὺς φοβηθέντες, ὅπερ φιλεῖ μεγά-
λα στρατόπεδα σαφῶς ἐκπλήγνυσθαι, ⓒ νομίσαντες πολ-
λαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὐδέπω παρεῖ- 15
ναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν, ἐχώρουν ἐπ' οἴκου.
καὶ τὸν πορδίκκαν τοπρῶτον οὐκ αἰσθανόμενον, ὡς ἔγνω,
ἠνάγκασαν πρὶν τὸν βρασίδαν ἰδεῖν (ἄπωθεν γὰρ πολὺ
ἀλλήλων ἐστρατοπεδεύοντο) προαπελθεῖν. βρασίδας δὲ
ἅμα τῇ ἕῳ ὡς εἶδε τοὺς μακεδόνας προκεχωρηκότας, τούς 20.
τε ἰλλυριοὺς, καὶ τὸν ἀρρίβαιον μέλλοντας ἐπιέναι, ξυνα-
γαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας,
καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβὼν, διενοεῖτο ἀνα-
χωρεῖν. ἐκδρόμους δὲ εἴπη προσβάλλοιεν αὐτοῖς, ἔταξε
τοὺς νεωτάτους. καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους, 25
τελευταῖος γνώμην εἶχεν ὑποχωρῶν τοῖς τῶν ἐναντίων
πρώτοις

πρώτοις προσκεισομένοις, ἀνθιστάμενος ἀμύνεσθαι. καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι ὡς διαταχέων, παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΒΡΑΣΙΔΟΥ.

Εἰ μὲν μὴ ὑπώπτευον ἄνδρες πελοποννήσιοι ὑμᾶς τοῦ τε μεμονῶσθαι, καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες, καὶ πολλοὶ, ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην. νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων, καὶ τὸ πλῆθος τῶν ἐναντίων, βραχεῖ ὑπομνήματι καὶ παραινέσει τὰ μέγιστα πειράσομαι πείθειν. ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσήκει τὰ πολέμια, οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε, ἀλλὰ δι' οἰκείαν ἀρετὴν, καὶ μηδὲν πλῆθος πεφοβῆσθαι ἑτέρων, οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους. οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν, ἢ τοῦ μαχόμενοι κρατεῖν. βαρβάρους δὲ οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν χρὴ, ἐξ ὧν τε προηγώνισθε τοῖς μακεδόσιν ἀυτῶν, καὶ ἀφ' ὧν ἐγὼ εἰκάζω τε, καὶ ἄλλων ἀκοῇ πυνίσαμαι, οὐ δεινοὺς ἐσομένους. καὶ γὰρ ὅσα μὲν τῷόντι ἀσθενῆ ὄντα τῶν πολεμίων δόκησιν ἔχει ἰσχύος, διδαχὴ ἀληθὴς προσγενομένη περὶ ἀυτῶν, ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους. οἷς δὲ βεβαίως τί πρόσεστιν ἀγαθὸν, μὴ προειδώς τις ἂν ἀυτοῖς τολμηρότερον προσφέροιτο. οὗτοι δὲ τὴν μέλλησιν μὲν ἔχουσι τοῖς ἀπείροις φοβεράν, καὶ γὰρ πλήθει

ὄψεως δεινοὶ, καὶ βοῆς μεγέθει ἀφόρητοι. ἥ τε διακωλύσις
ἐπαναάσφσις τὴν ὅπλων ἔχει ζυνὰ δήλωσιν ἀπειλῆς. προσ-
μίξαι δὲ τοῖς ὑπομένουσιν αὐτὰ οὐχ ὁμοίοις, οὔτε γὰρ
τάξιν ἔχοντες ἀναχωρῆσαι ἂν λιπεῖν ζυνὰ χώραν βιαζό-
μενοι, ἥτε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν ἴσην ἔχουσα δό-
ξαν τοῦ καλοῦ, ἀνεξέλεγκτον καὶ τὸ ἀνδρεῖον ἔχει. αὐτο-
κράτως δὲ μάχη μάλιστ' ἂν καὶ πρόφασιν τοῦ σώζεσθαι
τινὶ προσπόντως πορίσειε, τοῦ τε εἰς χεῖρας ἐλθεῖν, πισότε-
ρον τὸ ἐκφοβῆσαι ἡμᾶς ἀκινδύνως ἠκολούθει. ἐκείνῳ γὰρ
ἂν πρὸ τούτου ἐχώρουν. σαφῶς δὲ πᾶν τὸ προϋπάρχον
δεινὸν ἀπ' αὐτῶν, δρᾶτε. ἔργῳ μοι βραχὺ ὄν, ὀφθὲν καὶ
ἀκοῇ καταπεσόν. ὃ ὑπομείναντες ἐν φρόνημα. καὶ
ὅταν καιρὸς ᾖ κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, ἐς τε
τὸ ἀσφαλὲς θάσσον ἀφίξεσθε, καὶ γνώσεσθαι τὸ λοιπόν,
ὅτι οἱ τοιοῦτοι ὄχλοι τοῖς μὲν πρώτοις ἔφοδον δε-
ξαμένοις, ἄπωθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μεμίσησθε ἐπικομ-
πῶσιν. οἱ δ' ἂν εἴξωσιν αὐτοῖς κατὰ πόδας τὸ εὐψυχον
ξὺν τῷ ἀσφαλεῖ, ὀξέως ἐνδείκνυνται. τοιαῦτα ὁ Βρασίδας
παραινέσας, ὑπῆγε τὸ στράτευμα. οἱ δὲ βάρβαροι ἰδόν-
τες, πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο, νομίσαντες φεύ-
γειν τε αὐτὸν, καὶ καταλαβόντες διαφθείρειν. καὶ ὡς ἀν-
τοῖς ἅπασι τε ἐκδέχομαι, ὅπη προϋπτοίχθη, ἀπλήστως, καὶ ἀν-
τὸς ἔχων τοὺς λοχαγοὺς ἐπικελεύοντας, ὑβρίσαν, τῇ τε
πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέσχησαν, καὶ τὸ λοιπὸν
ἐπιφερομένους μὲν δεχόμενοι ἠμείνοντο. ἡσυχαζόντων
δὲ αὐτοὶ ὑπεχώρουν. τότε δὴ τῶν μετὰ τοῦ Βρασίδου
ἐλαφρῶν

ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν βαρβάρων ἀπέ-
χοντο. μέρος δέ τι καταλιπόντες αὐτοῖς ἐπακολου-
θοῦν προσβάλλειν, οἱ λοιποὶ χωρήσαντες δρόμῳ, ὧν τε
τοὺς φεύγοντας τῶν μακεδόνων, οἷς ἐντύχοιεν, ἔκτεινον.
καὶ τὴν ἐσβολὴν, ἣ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ ἐς
τὴν ἀρριβαίου φθάσαντες, προκατέλαβον, εἰδότες οὐκ
οὖσαν ἄλλην τῷ βρασίδᾳ ἀναχώρησιν. καὶ προσιόν-
τος αὐτοῖς, ἐς αὐτὸ ἤδη τὸ ἄπορον καὶ ὁδοῦ κυκλοῦνται
ὡς ἀποληψόμενοι. ὁ δὲ γνοὺς, προεῖπε τοῖς μεθ' αὐτοῖς
τριακοσίοις, ὃν ᾤετο μᾶλλον ἂν ἑλεῖν τῶν λόφων, χωρή-
σαντας πρὸς αὐτὸν δρόμῳ ὡς τάχιστα ἕκαστος δύναται
ἄνευ τάξεως πειρᾶσαι ἀπ' αὐτοῖς ἐκκροῦσαι τοὺς ἤδη ἐπι-
όντας βαρβάρους, πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν
αὐτόσε προσμίξαι. καὶ οἱ μὲν προσπεσόντες, ἐκράτη-
σάν τε τῶν ἐπὶ τοῖς λόφου. καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν
ἑλλήνων ῥᾷον πρὸς αὐτὸν ἐπορεύοντο. οἱ γὰρ βάρβαροι
καὶ ἐφοβήθησαν, καὶ τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης
σφῶν ἀπὸ τοῖς μετεώρου, καὶ ἐς τὸ πλεῖον οὐκέτ' ἐπικο-
λούθουν, νομίζοντες καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη,
καὶ διαπεφευγέναι. βρασίδας δὲ, ὡς ἀντελάβετο τῶν
μετεώρων κατὰ ἀσφάλειαν μᾶλλον ἰὼν, αὐθημερὸν ἀ-
φικνεῖται εἰς ἀρνίσσαν πρῶτον καὶ περδίκκου ἀρχῆς. καὶ
αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προαναχωρήσει τῶν
μακεδόνων, ὅσους ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν αὐ-
τῶν βοεικοῖς, ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, οἷα ἐν νυκτερι-
νῇ καὶ φοβερᾷ ἀναχωρήσει, εἰκὸς ἦν ξυμβῆναι, τὰ μὲν
ὑπολύοντες

ὑπολύοντες κατέκοπτον. τῶν δὲ οἰκείων σφίσιν ἐποιοῦντο
ἀπὸ τούτου τε πρῶτον Περδίκκας βασίδαν τε πολέμιον
ἐνόμισε, καὶ ἐς τὸ λοιπὸν πελοποννησίων τῇ μὲν γνώμῃ
διὰ Ἀθηναίους οὐ ξυνῆκθες μᾶσσον εἶχε, τὴν δὲ ἀναγκαίων
ξυμφορῶν διαναστάς, ἐπρασσεν ὅτῳ τρόπῳ τάχιστα, πόλεμον
μὲν ξυμβήσεται, τὴν δὲ ἀπαλλάξεται. Βασίδας δὲ ἀνα-
χωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην, καταλαμβάνει Ἀθη-
ναίους μίλωνα ἤδη ἔχοντας. καὶ αὐτοῦ ἡσυχάζων, ἐς μὲν
τὴν παλλήνην ἀφῶατο ἤδη ἐνόμιζεν εἶναι διαβὰς
ἀμωσεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν. ὑπὸ γὰρ τὸν
ἀυτὸν χρόνον, τοῖς ἐν τῇ λύγκῳ ἀξέπλευσαν, ὧν τε τὴν
μιλώνα, καὶ τὰν σκιώνην οἱ Ἀθηναῖοι, ὥσπερ παρεσκευά-
ζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν ἦσαν δέκα χῖαι. ὁπλί-
ταις δὲ χιλίοις ἑαυτῶν, καὶ τοξόταις ἑξακοσίοις, καὶ
Θρᾳξὶ μισθοφόροις χιλίοις, καὶ ἄλλοις τῶν ἀυτόθεν ξυμ-
μάχων πελτασταῖς. ἐστρατήγει δὲ νικίας ὁ νικηράτου, καὶ
νικόστρατος ὁ διϊτρεφοῦς. ἄραντες δὲ ἐκ πολιδαίας ταῖς
ναυσὶ, καὶ σχόντες κατὰ τὸ ποσειδώνιον, ἐχώρουν ἐς τοὺς
μενδαίους, οἱ δ' ἀυτοί τε καὶ σκιωναῖοι τριακόσιοι βε-
βοηθηκότες, πελοποννησίων τε οἱ ξυνεκ τοῦ κόλπου, ξύμπαντες δὲ, ἑπ-
τακόσιοι ὁπλῖται, καὶ πολυδαμίδας ὁ ἄρχων ἀυτῶν,
ἔτυχον ἀξεστρατοπεδευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου
καστρου. καὶ ἀυτοῖς νικίας μὲν, μεθωναίους τε ἔχων
εἴκοσι, καὶ ἑκατὸν φιλους, καὶ λογάδας τῶν ἀθηναίων
ὁπλιτῶν ἑξήκοντα, καὶ τοὺς τοξότας ἅπαντας, κατὰ
ἄτραπόν τινα τοῦ λόφου περιῶλθε προσελθὼν, καὶ
τραυμα-

τραυματίζόμενοι ὑπ' αὐτῶν, οὐκ ἠδυνήθη βιάσασθαι. νικήσας δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλείονος παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ ὄντι δυσβάτῳ, καὶ πάνυ ἐθορυβήθη. καὶ ἐς ὀλίγον ἀφίκετο παρὰ τὸ στράτευμα τῶν ἀθηναίων νικηθεῖσαν. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ὡς οὐκ ἐνέδοσαν οἱ μυσδαῖοι καὶ οἱ ξύμμαχοι, οἱ ἀθηναῖοι ἀναχωρήσαντες, ἐστρατοπεδεύσαντο. καὶ οἱ μυσδαῖοι νυκτὸς ἐπιλθούσης, ἐς τὴν πόλιν ἀπῆλθον. τῇ δ' ὑστεραίᾳ οἱ μὲν ἀθηναῖοι πορισάμενοι ἐς τὸ πρόσκαιρον, τό, τε πρόσθιον εἶλον, καὶ τὴν ἡμέραν ἅπασαν ἐδῄουν τὴν γῆν, οὐδενὸς ἐπεξιόντος. ἦν γάρ τι καὶ σασιασμὸς ἐν τῇ πόλει. οἱ δὲ τριακόσιοι τῶν σκιωναίων οἱ ἐπιόντες νυκτὸς ἀπεχώρησαν ἐπ' οἴκου. καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ, νικίας μὲν τὸ ἥμισυ τοῦ στρατοῦ προῆγεν, ἅμα ἐς τὰ μεδόρια τῶν σκιωναίων τὴν γῆν ἐδῄου. νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω πύλας ἢ ἐπὶ πολυδαμίδας ἔρχονται, προσεκάθητο τῇ πόλει. ὁ δὲ πολυδαμίδας (ἔτυχε γὰρ ταύτῃ τοῖς μυσδαίοις καὶ ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα κείμενα) διαπάσῃ τε ὡς ἐς μάχην, καὶ παρῆνει τοῖς μυσδαίοις ἐπεξιέναι. καί μιν αὐτῶν τῶν ἀπὸ τοῦ δήμου ἀντεθπόντος κατὰ τὸ σασιωτικόν, ὅτι οὐκ ἐπεξῆσιν, οὐδὲ δέοιτο πολεμεῖν. καὶ ὡς ἀντεῖπεν, ἐπισπασθέντος τε τῇ χειρὶ ὑπ' αὐτοῦ καὶ βουθυθέντος, ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ ὅπλα, πρὸς ὀργῆς ἐχώρει ἐπί τε πιλοποννησίους, καὶ τοὺς

τὰ ἐναντία σφίσι μετ' αὐτῶν πράξαντας. καὶ προσπε-
σόντες, τρέπουσιν ἅμα μὲν μάχῃ αἰφνιδίῳ, ἅμα δὲ τοῖς
ἀθηναίοις τῶν πυλῶν ἀνοιγομένων φοβηθέντων. ὠήθη-
σαν γὰρ ἀπὸ προειρημένου τινὸς αὐτοῖς τὴν ἐπιχείρη-
σιν γενέσθαι. καὶ οἱ μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐ-
τίκα διεφθάρησαν κατέφυγον, ἧν περ καὶ τὸ πρότερον αὐ-
τοὶ εἶχον. οἱ δὲ ἀθηναῖοι (ἤδη γὰρ καὶ ὁ νικίας ἐπανε-
στρέψας πρὸς τῇ πόλει ἦν) ἐσπεσόντες ἐς τὴν μένδην πό-
λιν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρα-
τιᾷ ὡς κατακράτος ἑλόντες, διήρπασαν. καὶ μόλις
οἱ στρατηγοὶ κατέσχον, ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθεί-
ρεσθαι. καὶ τοὺς μὲν μενδαίους, μετὰ ταῦτα πολιτεύειν
ἐκέλευον, ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντες ἐν σφίσιν
αὐτοῖς, εἴ τινας ἡγοῦνται αἰτίους εἶναι καὶ ἀποστάσεως.
τοὺς δ' ἐν τῇ ἀκροπόλει, ἀπετείχισαν ἑκατέρωθεν τείχει
ἐς θάλασσαν, καὶ φυλακὴν ἐπεκαθίσαντο. ἐπειδὴ δὲ τὰ
περὶ τὴν μένδην κατέσχον, ἐπὶ τὴν σκιώνην ἐχώρουν.
οἱ δὲ ἀντεπεξελθόντες αὐτοὶ, καὶ πελοποννήσιοι, ἱδρύθη-
σαν ἐπὶ καρτεροῦ λόφου πρὸ καὶ πόλεως, ὅν εἰ μὴ ἕλοιεν
οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. προσβα-
λόντες δ' αὐτῷ κατακράτος οἱ ἀθηναῖοι, καὶ μάχῃ ἐκ-
κρούσαντες τοὺς ἐπιόντας, ἐστρατοπεδεύσαντό τε, καὶ ἐς
τὸν περιτειχισμὸν τροπαῖον στήσαντες, παρεσκευάζοντο.
καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων, οἱ ἐκ καὶ
ἀκροπόλεως ἐν τῇ μένδῃ πολιορκούμενοι πλίκουροι,

βιασά-

βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακήν, νυκτὸς ἀφι-
κνοῦνται. καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ πῇ σκιώνῃ
στρατόπεδον, ἐσῆλθον ἐς αὐτήν. περὶ τειχιζομένης δὲ τῆς
σκιώνης, πορδίκκας τοῖς τῶν ἀθηναίων στρατηγοῖς ἐπικη-
ρυκευσάμενος, ὁμολογίαν ποιεῖται πρὸς τοὺς ἀθηναί-
ους, διὰ τὴν τοῦ βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς λύγκου
ἀναχωρήσεως, εὐθὺς τότε ἀρξάμενος πράσσειν. καὶ ἐτύγ-
χανε γὰρ τότε ἰσχαγόρας ὁ λακεδαιμόνιος στρατιὰν
μέλλων πεζῇ πορεύσειν ὡς βρασίδαν. ὁ δὲ πορδίκκας,
ἅμα μὲν κελεύοντος τοῦ νικίου ἐπειδὴ ξυνεβεβήκει ἔνδη-
λόν τι ποιεῖν τοῖς ἀθηναίοις βεβαιότητος πέρι, ἅμα δ'
αὐτὸς οὐκέτι βουλόμενος πελοποννησίους ἐς τὴν αὐτοῦ
ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν θεσσαλίᾳ ξένους,
χρώμενος αἰεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα,
καὶ τὴν παρασκευήν, ὥστε μηδὲ πειρᾶσθαι θεσσαλῶν.
ἰσχαγόρας μὲν τοι, καὶ ἀμεινίας, καὶ ἀριστεύς, αὐτοί τε ὡς
βρασίδαν ἀφίκοντο, ἐπιδεῖν πεμψάντων λακεδαιμονίων
τὰ πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄν-
δρας ἐξῆγον ἐκ σπάρτης, ὥστε τῶν πόλεων ἄρχοντας κα-
θιστάναι, καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. καὶ κλεα-
ρίδαν μὲν τὸν κλεωνύμου καθίστησιν ἐν ἀμφιπόλει. ἐπι-
τελίδαν δὲ τὸν ἡγησάνδρου, ἐν τορώνῃ. ἐν δὲ τῷδ' αὐτῷ
θέρει, θηβαῖοι θεσπιέων τεῖχος πορίειλον, ἐπικαλέσαν-
τες ἀττικισμόν. βουλόμενοι μὲν καὶ ἀεί, παρεστηκὸς δὲ
ῥᾷον, ἐπειδὴ καὶ ἐν τῇ πρὸς ἀθηναίους μάχῃ, ὅ, τι ἦν

αὐτῶν ἄνθρωπος ἀπολώλει. καὶ ὁ νεὼς τῆς ἥρας τοῦ αὐτοῦ θέρους ἐν ἄργει κατεκαύθη, χρυσίδος καὶ ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα, καὶ ἐπικαταδαρθούσης, ὥστε ἔλαθεν ἁφθέντα πάντα, καὶ καταφλεχθέντα. καὶ ἡ χρυσὶς μὲν εὐθὺς καὶ νυκτὸς δείσασα τοὺς ἀργείους, ἐς φλιοῦντα φεύγει. οἱ δὲ ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο, φαεινίδα ὄνομα. ἔτη δὲ χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ καὶ ἔννατον ἐκ μέσου, ὅτε ἐπεφεύγει. καὶ ἡ σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος, περιετετείχιστό τε παντελῶς. καὶ οἱ ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ. ἐν δὲ τῷ ἐπιόντι χειμῶνι, τὰ μὲν ἀθηναίων καὶ λακεδαιμονίων ἡσύχαζε, διὰ τὴν ἐκεχειρίαν. μαντινῆς δὲ, καὶ τεγεάται, καὶ οἱ ξύμμαχοι ἑκατέρων, ξυνέβαλλον ἐν λαοδικείῳ καὶ ὀρεσθίδος. καὶ νίκη ἀμφιδήριτος ἐγένετο. κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς, τροπαῖά τε ἀμφότεροι ἔστησαν, καὶ σκῦλα ἐς δελφοὺς ἀπέπεμψαν. διαφθαρέντων μὲν τοι πολλῶν ἑκατέροις, καὶ ἀγχωμάλου καὶ μάχης γενομένης, καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον, οἵ τε γεάται μὲν ἐπηυλίσαντό τε, καὶ εὐθὺς ἔστησαν τροπαῖον. μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς βουκολίωνα, καὶ ὕστερον ἀντέστησαν. ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ βρασίδας τελευτῶντος, καὶ πρὸς ἔαρ ἤδη, ποτιδαίας. προσελθὼν γὰρ νυκτὸς, καὶ κλίμακα προσθεὶς, μέχρι μὲν τούτου ἔλαθε.

ἔλαθε. τοι γὰρ κώδωνος παρενεχθέντος, οὕτως ἐς τὸ διάκενον πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτὸν, ἡ πρόσθεσις ἐγένετο. ἔπειτα μέν τοι ἐνθὺς αἰσθομένων πρὶν προσβῆναι, ἀπήγαγε πάλιν κατατάχος τὴν στρατιὰν, καὶ οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι. καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ἔννατον ἔτος τῷδε πολέμῳ ἐτελεύτα τῷδε, ὃν θουκυδίδης ξυνέγραψε.

τέλος.

WITEBERGÆ
EXCVDEBAT LAVREN-
TIVS SCHVVENCK.

1561.



Τὴν ἀρχήν ἐ prorsus. pag. 168.a.u. 7: ἢ 172.b.u.5:

ἀποθνήσκειν ὑπό τινος ἐ interfici. pag. 185.b.u. 21.

ἀκόλουθοι ~~[illegible]~~ 179 b. u. 19.

βιάζεσθαι. pag. 139.a.u.13: b.u.7.17.
154 a.u. 8: 186 u.1.

βραχύς ἐ parvus. pag. 174.b.u.11
175.a.u. 22.

καταπροδοῦναι. 139.b.u.2.

σπονδαί 179 b.u:3.21.

deus in sctis suis deus isti Ipse dabit
fortitudinē plebi sue bñdi-
. Com̄. Qđ dico vobis ī
icite ī lumine: dicit dñs: et
e auditis p̄dicate sup̄ tecta
a missa fiet de vigilia
vigilia in sabbatum
venerit: nihil de vigilia fiat ni
si ieiuniū. Ideo sūma missa fi
at de assumptōe virginis ma
rie: tunc festū cū missa de vigi
lia differendū est in sedam fe

BIBLJOTEKA KÓRNICKA
14111

Benedicti dñi sup̄ capitu
iusti. Ideo dedit illi he
reditatē: ⁊ diuisit ei partē in tri
bub⁹ duodecim: ⁊ inuenit gra
tiaz in cōspectu oīs carnis. Et
magnificauit eū in timore ini
micorū: ⁊ ī verbis suis mōstra
placauit. Glificauit illū in cō
spetu regū: ⁊ ostēdit illi gloriā
suaz. In fide ⁊ lenitate ipsius
sctm̄ fecit illū: ⁊ elegit illū ex oī
carne Dedit illi cor ad p̄cepta

[illegible]
mortē ⁊ pr̄ filiū: ⁊ ꝯsurgēt filij
in parētes: ⁊ morte eos afficiēt
Et eritis odio omnibus hominibus
propter nomē meū. Qui aūt su-
stinuerit in finē hic saluꝰ erit.
Et ego nō dr̄. Offer̄. Mirabilis
deus in sctis suis [illegible] dabit
[illegible] ortitudinē [illegible]

[illegible]
Obesumus op̄s deꝰ: ut be-
atus andreas apl̄s tuū ꝑ no-
bis imploret auxiliū: ut a no-
stris reatibꝰ absoluti a cūctis
etiā periculis eruamur. Per Io.
Libri Sap̄. Eccl. xliij. xlv.
Benedictū dn̄i sup̄ caput
iusti. Ideo dedit illi [illegible]